ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
+100 ΒΕΡΟΙΑΣ
'Αριθ. είσ. 684
ΔΩΡΕΑ Άντων. Τσούλκα
GRVER-00189

ΚΡΑΤΙΚΟΝ ΝΟΣΟΚΟΜΕΙΟΝ ΒΕΡΡΟΙΑΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΡΑΤΙΚΟΝ ΝΟΣΟΚΟΜΕΙΟΝ ΒΕΡΡΟΙΑΣ
ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΣΤΟΙΧΕΙΑ
## ΤΗΣ
# ΜΕΤΑΦΥΣΙΚΗΣ.

ΚΡΑΤΙΚΟΝ ΝΟΣΟΚΟΜΕΙΟΝ ΒΕΡΡΟΙΑΣ
ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΣΤΟΙΧΕΙΑ
# ΤΗΣ ΜΕΤΑΦΥΣΙΚΗΣ
ΥΠΟ
## ΕΥΓΕΝΙΟΥ ΤΟΥ ΒΟΥΛΓΑΡΕΩΣ

Διακόνου ἔτι ὄντος, καὶ ἐνιαχοῦ σχολαρχοῦντος τοῖς αὐτοῦ Ἀκροωμένοις πρώην ἀναπτυσσόμενα·

Νῦν δὲ παρὰ τῶν

## ΖΩΣΙΜΑΔΩΝ ΑΥΤΑΔΕΛΦΩΝ

ΑΝΑΣΤΑΣΙΟΥ, ΝΙΚΟΛΑΟΥ, ΖΩΗ, ΚΑΙ ΜΙΧΑΗΛ

Τοῖς
Ὁμογενέσι Φιλολόγοις φιλοτίμῳ δαπάνῃ ἐπὶ τῷ διανεμηθῆναι δωρεὰν τύποις ἐκδοθέντα.

*Ἐπιστασίᾳ Σπυρίδωνος Βλαντῆ.*

---

ΤΜΗΜΑ Α΄.

---

Ὅπερ ἐστὶν

## Η ΟΝΤΟΛΟΓΙΑ.

---

ΕΝΕΤΙΗΣΙΝ.

Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων.

1805.

Αρ Εισ. 684

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΣΤΟΙΧΕΙΑ ΤΗΣ ΜΕΤΑΦΥΣΙΚΗΣ ΕΝ ΤΕΣΣΑΡΣΙ ΒΙΒΛΙΟΙΣ

Ἐπιτετμημένως καὶ ἀμεθόδως ἐκτιθέμενα.

---

## ΠΡΟΛΕΓΟΜΕΝΑ.

§. α΄. Τῆς Μεταφυσικῆς εἰς δύο τὰ πρῶτα μεριζομένης, δίχα αὖθις τῶν μερῶν ἑκάτερον ὑποτέμνεται. Καὶ τοῦ μὲν πρώτου περὶ τὰ κατ᾽ ἀφαίρεσιν, εἴθ᾽ ἁπλῶς ἁπασησοῦν, εἴτε καὶ τῶν ἐν τοῖς εἴδεσιν ἐνυφισαμένων ὑλῶν ὑπεριδρυμένα ἀσχολουμένου, Ὀντολογία μὲν τὸ Α΄, τὸ περὶ τοῦ τῶν πάντων ὑπεραναβεβηκότος ὄντος καθ᾽ αὑτὸ καὶ τῶν ὑπαρχόντων αὐτῷ· Κοσμολογία δὲ τὸ Β΄, τὸ περὶ τοῦ ὅλου διακόσμου, καὶ τῶν καθόλου ἐπιθεωρουμένων αὐτῷ ἐπιγέγραπται. Τοῦ δὲ δευτέρου ὑπόθεσιν ἰδίαν τὰ φύσει κρείττονα ὕλης ὑποβάλλοντος, Ψυχολογία μὲν τὸ περὶ ψυχῶν, καὶ δαιμόνων πραγματευόμενον· Θεολογία δὲ τὸ, ὅσον γε δυνάμει νοῦ ἐφικτόν ἐστιν, εἰς θεωρίαν τῆς ἀκτίστου καὶ ἀκηράτου φύσεως ἀνάγον, ἐπιπεφήμισται.

§. β΄. Τούτων ἐν μέρει ἑκάστῳ τὸ ἐπιβάλλον εἰς σκέψιν ἀποκεκλήρωται· τῷ μὲν τὸ ὂν ἐν γένει, ᾗπερ τινῶν γενικωτάτων παθῶν μετείληχε· τῷ δὲ τὸ πᾶν ᾗ λόγοις τισὶ, καὶ θεσμοῖς πρεσβυτάτοις συνήδρασαι· τῷ δὲ ἡ δημιουργητὴ νοερὰ φύσις, ἥτε σῶμα ὀργανικὸν εἰδοποιεῖν λαχοῦσα, καὶ ἡ μὴ, ᾗ ποικίλων δυνάμεών τε καὶ ἐνεργειῶν εὐμοιρήσασα, ὑλικῆς οἱασοῦν περιπαθείας φύσει ἐξῄρηται· τῷ δὲ ἡ ἀκροτάτη καὶ ὑπερτελὴς, ἡ δημιουργικὴ καὶ τῶν ὅλων οὐσιοποιὸς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐσία, ἢ πυρσῷ τῷ τοῦ ἐν ἡμῖν λόγου ὁδηγουμένοις ἐστὶ θηράσιμος.

§. γ΄. Ἀλλ᾽ ἔδοξεν ἄλλοις ἄλλως τῇ ἕξει διαιτῆσαι τὸ ὑποκείμενον. Καί τις εἰς αὐτὸ τὸ ὂν, ᾗ ὂν ἐστὶν εὑρὼν ὡς τὸ γενικώτατον, ἐν μόνῳ ταύτην τῶν τεσσάρων τῷ πρώτῳ βιβλίῳ συνέσφιγξεν. Ὁ δὲ τῆς Θεολογίας αἰδεσθεὶς τὸ σεμνὸν, καὶ τὸ τέταρτον τῷ πρώτῳ συνῆψεν, ἐν τοῖς δυσὶ τούτοις ἀπαρτίσας τῆς πραγματείας τὴν ὁλοσχέρειαν. Ἄλλος δὲ τῇ Λογικῇ ἀποκληρώσας τῆς περὶ τὰ καθόλου θεωρίας τὸ ὑψηλὸν, καὶ μετάρσιον, τὴν πνευματικὴν μόνην οὐσίαν καὶ ἄϋλον τῷ μεταφυσικῷ λόγῳ φέρων ἀπέδωκεν. Ἀλλ᾽ ἐξενίκησε τέως καθ᾽ ἡμᾶς, καὶ τῶν φιλοσοφούντων τοῖς ἐνδοξοτάτοις ἐγκέκριται ἡ εἰς τὰ τέτταρα ἐκτεθεῖσα ( §. α΄. β΄. ) καὶ τοῦ ἐπιστητοῦ καὶ τῆς ἐπιστήμης διαίρεσις.

§. δ΄. Ἐκ τούτων γὰρ δὴ καὶ τῆς ὁλοσχεροῦς ἕξεως συγκροτεῖται τὸ ὁλομελὲς ὑποκείμενον, καὶ ὁ ὁρισμὸς ἀποδίδοται. Ὅλη γὰρ ὅλον τὸ ὂν εἰς θεωρίαν ἑαυτῇ προστησαμένη, ὅσον τε νοεραῖς ἐπιβολαῖς, καὶ ὅσον φύσει τε καὶ καθ᾽ αὐτὸ, τῆς ἐν ὕλῃ παχύτητος ὑπεριδρυμένον ἀπήλλακται· τὸ ἁπλῶς φημὶ κατά τε τῆς δημιουργητῆς οὐσίας, καὶ τῆς δημιουργοῦ, καὶ ὧν αὖ ταύταις προσῆ, ὡς τὰ ἀφ᾽ ἑνὸς, ἢ πρὸς ἓν λεγόμενον, καὶ νοούμενον. Εἰκότως αὖ ὁρισθείη ἐπιστήμη τῶν ὑπὲρ τὴν ὕλην ὁπωσοῦν γινομένων θεωρητική. Ἢ μᾶλλον ἀκριβῶς ἐπιστήμη ἡ τῷ ὄντι, ᾗ ὂν ἁπλῶς, καὶ τῷ κόσμῳ ἐν γένει, καὶ τοῖς ἀσωμάτοις ἐν εἴδει, τὰ προσόντα διὰ τῶν πρωτίστων ἀρχῶν ἀποδεικνύουσα.

§. ε΄. Καὶ τὰ τῶν προσηγοριῶν δὲ οὐκ ἀπεοικότα ( ὃ Πλάτων ἐν Κρατύλῳ νομοθετεῖ ) τῆς ἐπαγγελίας ἐπετέθη τῇ ἕξει. Ἣν γὰρ Μεταφυσικὴν, ἀπὸ τῆς ἐπιγραφῆς πάντως τῶν μετὰ τὰ Φυσικὰ ἐναγόμενοι, ᾗ τὰ σχεδιασθέντα τῷ Ἀριστοτέλει Βιβλία περισεσήμαντο, ὅ,τε ἐξ Ἀφροδισιάδος Ἀλέξανδρος, καὶ ὁ Φιλόπονος προσειρήκατον, καὶ οἱ ἄλλοι ἅπαντες ἀποκαλεῖν ἐδοκίμασαν, ἅτε δὴ τὴν περὶ τῆς φύσεως ἐκ τοῦ ἐφεξῆς διαδεχομένην εἰσήγησιν, ἢ ὅτι λόγος αὐτῇ περὶ τῶν τῆς ἐνύλου φύσεως γινομένων ἐπέκεινα ( §. δ΄. ), ταύτην, δι᾽ ἣν ὑπὲρ τὰς ἄλλας τῶν ἐπιστημῶν φέρει ὑπεροχήν τε, καὶ χρῆσιν, περιωνυμόν τε καὶ πολυώνυ-

μον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὲν ὁ Σταγειρίτης αὐτὸς ἐναπέφηνε. Καὶ γὰρ καὶ Σοφίαν αὐτὴν ἐκεῖνος (1) προσεῖπεν, οἷα δὴ τῶν ὑπερτάτων ὑπερτάτην τινὰ γνῶσιν τυγχάνουσαν. Καὶ Φρόνησιν (2) ἐξ ἀναλόγου, τῶν λοιπῶν ὑπερτεροῦσαν κατ᾽ ἐπιστήμας ἕξεων, ὃν τρόπον ἐκείνη τῶν ἠθικωτέρων τὰ πρεσβεῖα ὀφείλεται. Καὶ Φιλοσοφίαν (3) ἐξ ἀντονομασίας, τὸ τοῦ ὅλου ἐπώνυμον τοῦ μέρους οἰκειουμένου. Καὶ Φιλοσοφίαν πρώτην (4), καὶ τῶν λοιπῶν ἀρχικωτάτην, καὶ ἡγεμονικωτάτην ἐπιστήμην, ὡς αὐτὴν μὲν αὐτῆς ἕνεκα, τῶν δ᾽ ἄλλων καὶ δι᾽ ἄλλας ἐστὶν ἃς χρείας διωκομένων, καὶ αὐτῇ πως ὑποπιπτομένων, κἀξ αὐτῆς τὰς πρὸς ἀπόδειξιν ἀρχὰς ἐρανιζομένων. Καὶ φυσικὴν Θεολογίαν τὸ ἔσχατον ὡς ἐπὶ τῶν ὄντων τοῦ Ἀκροτάτου τὴν γνῶσιν ἀνυψουμένην, καὶ αὐτὴν ἐπιβαίνουσαν τῶν κατ᾽ ἀνθρώπους γνώσεων τὴν ἀκρότητα. Οὗ χάριν καὶ μεταρσιολογία παρ᾽ ἄλλοις, οὐκ ἐν σκώμματι, οἷον ὁ Κωμικὸς τοῖς μεταρσιολέσχαις ἐπέσκωψεν, ἐν ἐπαίνου δὲ λόγῳ δικαιοτάτου παρὰ τὸ ὕψος τῶν θεωρημάτων, ἀκήκοε.

§. ϛ'. Ἀλλ᾽ εἰ καὶ δαψιλὴς οὕτως ἡμῖν τὰς προσηγορίας τῆς ἐν χερσὶν ἕξεως ὁ Φιλόσοφος, κοινῇ γε μὴν ὡς ἐλλιπῶς πεπραγματευμένος τὰ κατ᾽ αὐτὴν κρίνεται. Ἦν μὲν γὰρ ἄρα, φασὶ, καὶ λίαν εἰκὸς, τὸν ἐς πλάτος ἐν τοῖς Φυσιολογικοῖς, τὰ περὶ τῆς σωματικῆς οὐσίας ἐκθέμενον, καὶ τὰ περὶ τῆς ἀσωμάτου ἐν τοῖς μετὰ τὰ Φυσικὰ διαρθρῶσαι. Ὁ δὲ δι᾽ ἑνὸς καὶ τετταράκοντα ἐπὶ ἑκατὸν κεφαλαίοις, ἐν τεσσαρεσκαίδεκα Βίβλοις τὸν μεταφυσικὸν ἀποτείνας λόγον, μόλις που ἐπὶ μόνοις τοῖς ἐσχάτοις πέντε τῶν Κεφαλαίων τοῦ ιβ'. Βιβλίου, τῆς προθέσεως ἥψατο. (5) Καὶ κατὰ τὰ στοιχεῖα δὲ τῶν γραμμάτων τὰ Βιβλία διαταξάμενος, καὶ ταύτῃ, ὡς ἐπὶ τὸ ω ἔσπευδε, τεκμηριῶσαι παρεχόμενος (ᾧ δὴ τεκμηρίῳ καὶ τὰ παρὰ τοῖς Ἄραψι φερόμενα κδ'. περὶ τῶν μετὰ τὰ φυσικὰ Βιβλία τυχὸν ἐρείδεται (6)), ἐπὶ

(1) Ἀριστ. Μεταφ. ά. Κεφ. ά. καὶ β'. (2) Α'. Μεταφ. μεῖζ. Κεφ. β'.
(3) Μεταφ. Γ'. Κεφ. β'. καὶ γ'. (4) Δ'. Μεταφ. Κεφ. έ.
(5) Γασσενδ. Βιβλ. ά. κατὰ τῶν Ἀριστοτελικῶν διατριβῇ έ.
(6) Κορυδαλ. ἐν προοιμ. τῶν Μεταφ. Παραφρασ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπὶ τὸ ν κατέπαυσεν. Ἔνθεντοι καὶ ἡμιτελὲς ὡς ἡμᾶς τὸ ἔργον αἰτιῶνται φέρεσθαι, ἤτοι πάντως τῶν συγγραμμάτων τοῦ ἀνδρὸς τύχῃ μὴ δεξιᾷ χρησαμένων, ὥσπερ ἱςόρηται· (1) ἢ καὶ τοῦ Συγγραφέως εἰς πέρας ἀφικέσθαι τοῦ βίου, πρὶν ἢ τοῦ Βιβλίου, φθάσαντος.

§. ζ΄. Ὅπως ἂν οὖν ἔχῃ τὰ περὶ τούτου, τῶν Ἀριςοτέλους αὐτοὶ πιδάκων, καίτοι οὐδὲ τούτων βραχὺ πάνυ καὶ πεφεισμένον ἀποςαζουσῶν, καὶ δὴ καὶ ἐξ ἄλλων πηγῶν, εἴτινες εἰσὶν, ὅσον πότιμον ἀρυσάμενοι, καὶ εἰς ἓν συναγαγόντες τὰ παρὰ πολλοῖς ἐν μέρει ἀναπιδύοντα μεταφυσικὰ νάματα, φέρε δὴ ὑπὸ Θεῷ ἡγεμόνι, ἀνας ομώσωμεν τοῖς τῷ καλῷ δίψει τῆς Σοφίας συνεχομένοις, πηγὴν ταύτην τετράκρουνον. Οὕτω γάρ τοι καὶ τῇ ἐγκριθείσῃ τοῖς Σοφωτέροις (§. γ΄.) διαιρέσει, μηδὲν παρὰ τὴν χρείαν καινοτομοῦντες ἐμμένειν δόξομεν, καὶ τοῖς ςοιχειωθῆναι τὴν διδασκαλίαν ταύτην ἐφιεμένοις ἐπιτετμημένην μὲν, ἀποχρῶσαν δὲ τὴν πραγματείαν ἀποδεδωκότες ἐσόμεθα.

ΤΗΣ

(1) Στράβ. Γεωγρ. Βιβλ. ιγ΄. Ἀθηναι. Βιβλ. έ. Δειπνοσ. Καὶ Πλουταρχ. εἰς Σύλλ. βίον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΤΗΣ ΜΕΤΑΦΥΣΙΚΗΣ

## ΒΙΒΛΙΟΝ Α΄.

ΟΠΕΡ ΕΣΤΙΝ·

## Η ΟΝΤΟΛΟΓΙΑ.

---

§. ά. Τίς δήποτε ἡ τοῦ Βιβλίου πρόθεσις, καὶ περὶ τίνος αὐτοῦ ἡ σκέψις, αὐτόθεν ἐκ τῆς ἐπιγραφῆς δῆλον γίγνεται. Ἁπλῶς τὸ ὂν συστολῆς αὐτοῦ οἰασοῦν, καὶ διορισμοῦ, εἰς θεωρίαν προβάλλεται. Τὸ γὰρ ὂν εἰς εἴδη παντοῖα ἀναμεριζόμενον, ταῖς ἐν μέρει διδασκαλίαις, ἢ τοιόνδε, ἢ τοιόνδε τινὰ ποιὰν εἶναι τοῦ πῶς ἔχειν τριβὴν παρέχεται. Οἷον τοῦ μὲν φύσει τῇ παρωνύμῳ Φυσιολογίᾳ, τοῦ δὲ ἤθει τῇ Ἠθικῇ, τοῦ δὲ ποσῷ τῇ Μαθηματικῇ, καὶ τούτων ταῖς μερικωτέραις, καὶ μᾶλλον ὡρισμένως. Τὸ γὰρ συνεχὲς τοῦ ποσοῦ ἡ Γεωμετρία προσκτησαμένη, τῇ Ἀριθμητικῇ τὸ θέσιν μὴ ἔχον παρέλιπε. Διὸ καὶ μερικώτεραι ταῖς προσθήκαις αἱ ἕξεις καθίστανται· καὶ πλεονεκτοῦσαι τῷ βάθει, μειονεκτοῦσι τῷ πλάτει τοῦ ἐπιστητοῦ. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τοῦ ἀκριβοῦς ἀποπίπτουσιν. „ Αἱ γὰρ ἐξ ἐλασσόνων καὶ ἀ-
„ κριβέστεραι τῶν ἐκ προσθέσεως λεγομένων· οἷον Ἀριθμητι-
„ κὴ Γεωμετρίας· (1) ἢ ( ὃ καὶ μᾶλλον σαφὲς ) ἡ μὲν Μουσι-

---

(1) Μεταφ. ά. τὸ μεῖζον.
„ Καὶ ἡ ἐξ ἐλαττόνων ( ἀκριβεστέρα ) τῆς ἐκ προσθέσεως, οἷον Γεωμε-
„ τρίας Ἀριθμητική. Λέγω δὲ ἐκ προσθέσεως, οἷον μονὰς οὐσία ἄθε-
„ τος, στιγμὴ δὲ οὐσία θετός· ταύτην ἐκ προσθέσεως.
Ἀριστ. Ὑστέρων ἀναλυτ. βιβλ. ά. Κεφ. κγ΄.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μυσικῆς, ἡ δὲ τῆς Μηχανικῆς. (1) Ἡ δὲ προκειμένη διῶσα τὴν ἀκρίβειαν, παρῃτήσατο τὰς προθήκας, καὶ ἔσω κιγκλίδων τὰς ἄλλας ἐάσασα, αἷς ἐγκαθείργνυνται, διὰ παντὸς τοῦ ὄντος, καὶ ὅσα αὐτῷ τῷ ὄντι παρεπηδεῖ ᾗ ὄν, περιΐπταται. „ Διόπερ οὐδεμιᾷ αὕτη τῶν ἐν μέρει λεγομένων ἐστὶν ἡ αὐτή. Οὐδεμία γὰρ τῶν ἄλλων ἐπισκοπεῖ καθόλου περὶ τοῦ ὄντος, ᾗ ὄν, ἀλλὰ μέρος αὐτοῦ τι ἀποτεμόμεναι, θεωροῦσι περὶ τούτου τὸ συμβεβηκός. Ἡ δὲ ἐπιστήμη ἐστὶν, ἣ θεωρεῖ τὸ ὄν, ᾗ ὄν, καὶ τὰ τούτῳ ὑπάρχοντα καθ᾽αὑτό· τουτέστι καθ᾽ ἣν ἔχει ὀντότητα, οὐσιωδῶς τε καὶ μὴ κατὰ συμβεβηκός. Καὶ αὕτη δὲ ἡ Ὀντολογία.

§. θ΄. Ἐπιστήμη δὲ οὖσα, οὐ μόνον τὸν κατὰ τοὔνομα λόγον, τῶν ἐν ταῖς λοιπαῖς ἐπιστήμαις ἐν χρήσει γινομένων φωνῶν ἀποδίδωσιν· οἷον τί ἐστὶν ὄν, καὶ τί οὐσία, τί δὲ ὑπόστασις, καὶ τί τάξις, καὶ τί τὸ δυνατὸν, καὶ τὸ μὴ, καὶ τὸ ἀναγκαῖον, καὶ τὸ παρ᾽ ἐκεῖνο, καὶ ὅσα τοιαῦτα, ὡς εἴπερ οἷον λεξικόν τι προὔκειτο τοιοῦτον, εἰς τὸ φιλοσοφεῖν ὀρθῶς ὑπουργοῦν, καὶ πλέον οὐδὲν, ὅτισιν ἔδοξεν. Ἀλλὰ καὶ τὰ ὑπάρχοντα τῷ ὄντι καθ᾽ αὑτὸ, διὰ τῶν αὐτοῦ ἀρχῶν, κατ᾽ αὐτὸ ἀποδεικνύειν πρὸ ἔργου πεποίηται. Διότι δὲ καθόλου τοῦ ὄντος ζητεῖ τὰ αἴτια τὰ πρῶτα, καὶ τὰς ἀρχὰς τὰς πρώτας, καὶ τὰ πάθη τὰ πρῶτα, ταύτητοι καὶ πρώτη Φιλοσοφία αὕτη καὶ ὑπερτάτη ἐπιστήμη, καὶ ὅσα ἄλλα σὺν Ἀριστοτέλει φθάσαντες ( §. έ. ) αὐτὴν ἐξυμνήσαμεν.

§. ί. Ἐπεὶ δέ τοι καὶ τὰ εἰς θεωρίαν ὑποκείμενα ταῖς λοιπαῖς ἐπιστήμαις, τοῦ κατὰ τὴν Ὀντολογίαν ἐπιστητοῦ ἀποτέτμηνται, καὶ προσθέσει μεμείωται. ( §. ή. ) Καὶ δὴ καὶ δι᾽ ἀρχῶν κἀκεῖναι ( οἷα εἰκὸς ἐπιστημονικὰς ἕξεις οὔσας ) τὰς ἰδίας αὐτῶν ἀποδείξεις περαίνουσιν, ἃς παρὰ τῆς περὶ τὰς ἀρ-

---

„ (1) Γίνεται μὲν γὰρ τὰ γεωμετρούμενα τοῦ ποσοῦ μέγεθος προσλαβόντος. Τὰ δὲ στερεὰ τοῦ μεγέθους βάθος. Τὰ δὲ ἀστρολογούμενα τοῦ στερεοῦ κίνησιν. Τὰ δὲ ἁρμονικὰ τῷ κινουμένῳ σώματι φωνῆς προσγενομένης. Ὅθεν ἀφαιροῦντες φωνὴν μὲν τῶν κινουμένων, κίνησιν δὲ τῶν στερεῶν, βάθος δὲ τῶν ἐπιπέδων, μέγεθος δὲ τῶν ποσῶν, ἐν αὐταῖς γενησόμεθα ταῖς νοηταῖς ἰδέαις. Πλουτάρχ. Ζητήμ. Πλατωνικά.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀρχὰς ἐναχολουμένης λαβούσαι ἔχουσιν, ἐντεῦθεν καὶ τὸ ἡγεμονεύειν ἐπὶ πασῶν, τῆς Ὀντολογικῆς Σοφίας ἐστὶ πρεσβεῖον. Καὶ ταύτης αὐτὴν οὐδὲν ὑγιὲς, οὐδὲ βέβαιον ἐκείναις θηρεύεται. Ἀλλὰ περὶ μὲν τῆς ἐπιγραφομένης Ὀντολογίας τίτε ἐστὶ, καὶ τίσι διαφέρει, τοσαῦτα.

# ΚΕΦΑΛΑΙΟΝ Α'.

## Περὶ Ἀρχῶν, καὶ Αἰτίων.

§. ιά. Τὴν δὲ ἀρχικωτάτην οὖσαν ἐπιστήμην, καὶ περὶ τὰς πρώτας ἀρχὰς ἀσχολουμένην τοῦ ὄντος, εἰκὸς καὶ τὶ, καὶ ποσαπλῆ ἡ ἀρχὴ, καὶ τὶς ἡ κατὰ τὸ γινώσκειν πρωτίστη, καὶ ὡς αἱ ἄλλαι αὐτῆς ἀπήρτηνται, ἀρχομένην εὐθὺς ἀποδοῦναι. Καθόλου μὲν οὖν ἀποφαινομένοις, ἔστιν οἷς ἔδοξε τὴν ἀρχὴν ὁρίσασθαι, ἀφ' οὗ τι πρόεισι, τοῖς δὲ ἀφ' οὗ τι ἤρτηται, καὶ ἐν ᾧ τινος ἑτέρου ὁ λόγος. Ὅτι γεμὴν τὸ προϊὸν πρὸς τὸ προϊὲν, καὶ τὸ ἠρτημένον πρὸς τὸ ἀφ' οὗ ἤρτηται, καὶ ὅλως πρὸς τὸ ἐν ᾧ ὁ λόγος τοῦ εἶναι ἕκαστον, αναγκαιοτέρας τινὸς συναφείας ἔμφασιν ἐπιφέρει, ταῖς κατὰ συμβεβηκὸς, καὶ κατὰ στέρησιν λεγομέναις ἀρχαῖς μὴ προσηκούσης, βέλτιον ἴσως ἀρχὴν καθολικώτερον ὑπογράψαι, πρὸς ὃ, ὡς πρότερον πέρας ὂν, τὸ ἔσχατον πέρας ἀφορᾷ τῆς ἐκβάσεως. „ Πέρας γὰρ ἐστὶν, οὗ ἔξω μηδὲν ἐστὶ λαβεῖν πρώτου, „ καὶ οὗ εἴσω πάντα πρώτου (1), ὁμοίως δὲ καὶ ἐσχάτου. Ἐλήφθη δὲ κοινῇ ἐπί τε τῆς ἀρχῆς, καὶ τοῦ ἐξ αὐτῆς ἐν τῷ λόγῳ, διὰ τὸ ἄμφω λέγεσθαι καὶ ἀφ' οὗ, καὶ ἐφ' ὅ. Καὶ γένους τάξιν εἰκότως ἔλαχεν. Ἡ μὲν γὰρ ἀρχὴ πέρας τί· τὸ δὲ πέρας οὐ πάντως καὶ ἀρχή· διαφοραὶ δὲ τὸ πρότερον εἶναι καὶ ὕστερον.

§. ιβ'. Τοιαύτη δὲ οὖσα ἡ μὲν ἐκτὸς ἐστὶ τοῦ ἐκβαίνοντος, ἡ δὲ

(1) Ἀριστ. Μεταφ. Δ'.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ δὲ μὴ ἐκτός. Καὶ ἡ μὲν ἐκτὸς ἢ αὐτουργὸς, ἢ συνεργὸς, ἢ ὑπουργὸς, ἢ ἀρχηγὸς. ἢ ὁδηγὸς, ἢ παρορμῶσα, καὶ τούτῳ ἤτοι οὖσα τι, ἢ σκοπουμένη. Ἡ δὲ μὴ ἐκτὸς, ἀλλ' ἤτοι ἐπ' αὐτῷ, ἢ ἐν αὐτῷ, ἢ ἐν ᾗ αὐτό. Τῆς μὲν οὖν ἐκτὸς, ὅθεν γίνεται πρῶτον μὴ ἐνυπαρχούσης, αὐτουργὸς μὲν ἡ ἀρχὴ ἡ ἀφ' ἑαυτῆς ποιητικὴ, οἷον ἡ ναῦς ἐκ τοῦ ναυπηγοῦ, μάλιστα δὲ ὁ κόσμος ἐκ τοῦ Θεοῦ, τῷ μὲν γὰρ ὀργάνων τε καὶ συνεργῶν, πρὸ δὲ τούτων, καὶ ὕλης χρεία προϋφεστώσης ποιοῦντι· τῷ δὲ, οὐδὲ ταύτης. Συνεργὸς δὲ ἡ συμπαρακτικὴ, ἥτις ἢ ὁμοειδὴς ἐστὶ τῇ σὺν ᾗ, οἷον ἡ τοῦ ὄγκου κίνησις ἐκ τοῦ συνεπιλαβομένου, ἢ ἑτεροειδὴς, οἷον ὁ ἐμπρησμὸς ἐκ τοῦ ὑφάψαντος τὸ πῦρ· ὑπουργὸς δὲ εἰρήσθω ἡ ὀργανικὴ, οἷον ἐκ τοῦ ὑπομοχλίου ἡ τοῦ βάρους μετάστασις· καὶ ἡ ὑπὸ τὴν ἀρχηγόν. Ἀρχηγὸς δὲ ἧς κατὰ προαίρεσιν κινεῖται τὰ κινούμενα, καὶ μεταβάλλει τὰ μεταβάλλοντα, ὥσπερ αἱ κατὰ πόλεις ἀρχαὶ, καὶ αἱ δυναστεῖαι, καὶ αἱ βασιλεῖαι, καὶ τυραννίδες. Ὁδηγὸς δὲ, οἷον ἐκ τοῦ κατασκόπου ἡ ἅλωσις· ὥσπερ οὖν ἀρχαὶ καὶ αἱ τέχναι, καὶ τούτων αἱ ἀρχιτεκτονικαὶ μάλιστα· καὶ τὸ παραδειγματικὸν πρὸς οὗ τὴν μίμησιν γίνεται τὸ γινόμενον. Ἡ δὲ παρορμῶσα, καὶ ἤτοι προϋφεστῶσα, οἷον ἡ μάχη ἐκ τῆς λοιδορίας, καὶ ἐκ τῆς δημηγορίας ἡ στάσις, ἢ τῇ νοήσει, ὡς τὸ οὗ ἕνεκα, οἷον ἡ χρεία, καὶ ἡ μάθησις τέλος ἐστὶ τῆς τῶν αἰσθήσεων ἀγαπήσεως, καὶ διὰ τὴν εἰρήνην ἡ μάχη. Καὶ τὰ μὲν τῶν ἀρχῶν εἴδη τῶν ἐκτὸς τῶν ἐξ αὐτῶν ταῦτα. Ἀρχὴ δὲ μὴ ἐκτὸς τοῦ ἐκβαίνοντος, ὅθεν τούτου ὁπωσοῦν ἐνυπαρχούσης, ἡ μὲν ἐπ' αὐτῷ ἐστὶν ὡς ὅρος, ὅθεν ἄν τις τοῦ πράγματος κινηθείη ἄ. οἷον τοῦ μήκους, καὶ ὁδοῦ, καὶ τὸ σημεῖον τῆς γραμμῆς ἀφ' οὗ ἡ ῥύσις, καὶ ἡ μονὰς ἐν τῷ ἀριθμεῖν ἀφ' ἧς ἡ χύσις· ἡ δὲ ὅθεν ἂν κάλλιον ἕκαστον γένοιτο· οἷον καὶ μαθήσεως οὐκ ἀπὸ τοῦ πρώτου, καὶ τῆς τοῦ πράγματος ἀρχῆς ἐνίοτε ἀρκτέον, ἀλλ' ὅθεν ῥᾷστ' ἂν μάθοι. Ἡ δὲ ἐπ' αὐτῷ ὡς στέρησις ἀφ' ἧς ἄρχεται μεταβάλλειν τὸ μεταβάλλον, οἷον ἀπὸ τοῦ μὴ εἶναι πῦρ εἰς τὸ γενέσθαι τὸ ξύλον, καὶ ἐξ ἀπαιδεύτου ὁ διδασκόμενος. Ἡ δὲ ἐπ' αὐτῷ ὡς μέρος, ὅθεν πρῶτον γίνεταί τι ἐνυπάρχοντος, οἷον ὡς πλοίου τρόπις, καὶ οἰκίας θεμέλιος, καὶ τῶν ζώων οἱ μὲν καρδίαν, οἱ δὲ ἐγκέφαλον, οἱ δ' ὅ,τι ἂν τύ-

χωσι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χωσι τοιοῦτον ὑπολαμβάνουσι, μηδὲν τούτων ἴσως πρότερον ὄν· οὕτω δ' ἂν εἴη καὶ ἡ μονὰς ἀρχὴ ἀριθμοῦ, εἴγε καὶ μέρος. Ἡ δὲ ἀρχὴ ἐν αὐτῷ, ἤτοι ὡς ὑποκείμενον, καὶ ὑλική, οἷον ὁ χαλκὸς ἐξ οὗ ὁ ἀνδριάς, ἢ ὡς τὸ τί ἦν εἶναι καὶ εἰδική, οἷον ἡ μορφὴ καὶ τὸ εἶδος τοῦ Ἀλεξάνδρου. Ἡ δὲ ἐν ᾗ αὐτὸ ἀρχή, ἤτοι γεννητικὴ οὖσα, οἷον ἐκ τῆς ὄρνιθος τὸ ᾠόν, καὶ ἀνάπαλιν καὶ τὸ τέκνον ἐκ τοῦ πατρὸς καὶ τῆς μητρός. Ἢ ἄλλως προβλητική, οἷον τὸ φῶς ἐξ ἡλίου τυχόν, καὶ ἡ ὀσμὴ ἀπὸ τοῦ ἄνθους· ἢ τέως διανοητική τε καὶ γνωστική, οἷον ἐκ τῶν ὑποθέσεων αἱ ἀποδείξεις, καὶ ἁπλῶς τὸ συμβαῖνον ἐκ τῶν τεθέντων. Τοσαῦτα γοῦν καὶ τῶν μὴ ἐκτὸς τῶν ἐκβαινόντων, ἀρχῶν τὰ εἴδη. Ἃ καὶ εἰ μετά τινος διαφορᾶς πρὸς τὸ Ἀριστοτέλει δοκοῦν (1) λέγεται, μὴ μέντοι τοῦτο ἐν αἰτίᾳ γινέσθω, ἀλλ' εἰ μὴ ὀρθῶς λέγεται.

§. ιγ΄. Ἓν μὲν δὴ τοῦτο κοινῇ ταῖς ἀρχαῖς προσῆκον, εἶναι τί πρῶτον. Ἕτερον δέ, καὶ ἐξ ἐκείνου τὸ λόγον ποιὸν ἔχειν ἀναφορᾶς πρὸς τὸ ἐξ αὐτῶν ἀποβαῖνον. Εἰ μὴ γὰρ πρὸς ἄλλο τι, καθ' ἑαυτὸ πρῶτον οὐδέν. Εἰ δὲ τοῦτο, κἀκεῖνο πάντως. Διαφοραὶ δὲ γενικώταται ἀρχῶν τρεῖς, τὸ ἐξ αὐτῶν ἢ εἶναι, ἢ γίνεσθαι, ἢ γινώσκεσθαι. (2) Καθ' ἃς αἱ μὲν ἀρχαὶ εἶναι λέγονται τῆς συνθέσεως, αἷς τὸ ὂν συνίσταται, οἷον αἱ ἐν αὐτῷ. Αἱ δὲ γενέσεως, αἷς μὴ ὂν γίγνεται, οἷον αἱ ἐκτὸς αὐτοῦ, καὶ αἱ ἐπ' αὐτῷ, πλὴν τῆς ὡς μέρος, αὕτη γάρ πως συνθέσεως. Καὶ ἐν αἷς αὐτό. Αἱ δὲ τῆς γνώσεως, αἷς ἀγνοούμενον γνωρίζεται. (3) Οὐδὲν δὲ πλέον ἔφασαν, καὶ οἱ εἰπόντες τὰς μὲν εἶναι ἀρχὰς οὐσίας, τὰς δὲ ὑπάρξεως, τὰς δὲ τάξεως, τὰς δὲ ἐπιστήμης. Οὐσίας μὲν γὰρ ἀρχὴ ἂν εἴη, ἡ ὅθεν τι πρῶτον ἐστίν· ὑπάρξεως δὲ ἡ ὅθεν γίνεται· τάξεως δὲ ἡ ὅθεν αὖτις τοῦ πράγματος κινηθείη πρῶτον, ἢ ὅθεν κάλλιον· ἐπιστήμης δὲ ἡ ὅθεν γινώσκεται. Ἔτι τῶν ἀρχῶν αἱ μὲν αἰτιωδῶς τὸ εἶναι τινὶ ἐπιρρέουσιν, οἷον ὅσαι οὐσίας εἴρηνται καὶ ὑπάρξεως. Αἱ δὲ ἁπλῶς ἔχουσι τὸ εἶναι πρότερον· ὡς αἱ

ἁπλῶς

(1) Μεταφ. Δ΄. (2) Μεταφ. Δ΄. (3) §. 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἁπλῶς τῆς τάξεως, οἷον ὁ ὄρθρος ἀρχὴ τῆς ἡμέρας· οὐ γὰρ ἀποτελεῖ, ἀλλ᾽ ἡγεῖται. Ἐξ ὧν δὲ τὸ εἶναί τινι ἢ γίνεσθαι, ταῦτα ἰδιαίτερον καλεῖται αἴτια. Γενικώτερον δὲ ἡ ἀρχὴ τοῦ αἰτίου, πάντα γὰρ τὰ αἴτια ἀρχαί (1).

## ΚΕΦΑΛΑΙΟΝ Β΄.

### Περὶ ἀρχῶν τῶν κατὰ τὸ γινώσκεσθαι, καὶ περὶ τοῦ Κριτηρίου.

§. ιδ΄. Ἀρχῶν δὲ οὐσῶν καὶ τῶν κατὰ γνῶσιν λεγομένων (§. ιγ΄.) τοιαῦτα εἶναι ἀνάγκη καὶ τὰ ἐξ αὐτῶν, ἀμέλειτοι γνώσεις ἐκ γνώσεων. Οὐ γὰρ ἐκ τῆς παρ᾽ ἡμῖν γνώσεως τὰ παρ᾽ ἡμᾶς, οὔτε φύσει, οὔτε συνθέσει, ὅτι μὴ κατὰ τέλος ἔνια ὑφ᾽ ἡμῶν. (§. ιβ΄.) Ἀλλ᾽ οὐδ᾽ ἡμεῖς, ἢ ὁ νοῦς ὁ ἐν ἡμῖν, μεταφυσικῶς δ᾽ αὖ εἴποι τις τὸ ἀνάπαλιν, ὡς εἰρήσεται. Ὥστε ὁριζέσθω ἡ κατὰ τὸ γινώσκειν ἀρχὴ, γνῶσις γνῶσιν κύουσα, ἡ προτέρα τὴν ὕστερον. Καὶ ἧς μὴ προηγησαμένης οὐκ ἂν ἡ ἐξ αὐτῆς ἔφοιτο.

§. ιε΄. Τῆς δὲ γνώσεως τριττῆς ὑποτιθεμένης τὸ εἶδος, καὶ ἤτοι ἐν ἁπλαῖς ἐπιβολαῖς, ἢ ἐν συνθέσει, ἢ διαιρέσει, ἢ κατ᾽ ἐπιφορὰν θεωρουμένης (2), τῇ παραθέσει πῇ μὲν τῶν ἑτεροειδῶν πρὸς ἀλλήλας, πῇ δὲ καὶ τῶν εἴδει ἐνιζομένων, τὸ προγνωστέον ἀεὶ καὶ γνωριμώτερον, ἀρχὴ ἔσται τοῦ ὑστέρου, καὶ τοῦ ἧττον· ἐπείτε τὸ μὲν φύσει, καὶ τῷ λόγῳ μᾶλλον διατελεῖ γνώριμον, οἷα τὰ καθόλου. Τὸ δὲ ἡμῖν, καὶ τῇ αἰσθήσει, οἷα τὰ καθ᾽ ἕκαστα. (καθ᾽ αὑτὸ γὰρ τῶν μὲν καθόλου ἅπτεται νοῦς, τῶν δ᾽ ἀτόμων αἴσθησις· κατὰ συμβεβηκὸς δὲ τοὐναντίον. Νοῶ γὰρ τὸν Σωκράτην, διότι ἄνθρωπον. Αἰσθάνομαί τε ἀνθρώπου, διότι τοῦ Σωκράτους) τὸ μὲν κατὰ τὸν λόγον, καὶ ἁπλῶς εἰρήσθω γνωριμώτερον, τὸ δὲ

κατὰ

(1) Ἀριστ. Μεταφ. Δ΄. (2) Λογικ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατὰ τὴν αἴσθησιν, καὶ πῇ (1). Καὶ περὶ ἐκείνου μάλιστα ἡ σκέψις γινέσθω.

§. ιϛ'. Ἐν φύσει μὲν οὖν τὰς πρώτας ταῖς δευτέραις, καὶ ταύτας ταῖς τρίταις τῶν γνώσεων, τὰς ἑτεροειδεῖς ταῖς ἑτεροειδέσι παρατιθέμενοι, ἀρχὰς εἶναι τὰς πρωτοταγεῖς λέγομεν· οἷον τὰς μὲν ἁπλᾶς ἐπιβολὰς τῶν ἀποφάνσεων, τὰς δὲ, τῶν συμπερασμάτων, ἀμέσως. Ἀποφαίνεσθαι γὰρ μηδὲν προενθυμηθέντας ἀδύνατον, ὥσπερ δὴ καὶ ἀποδεικνῦναι μὴ προαποφηναμένους. Διὸ δὴ καὶ τὸν Νεώτερον (2) ἀποδεχόμεθα, ἐν οἷς τῷ ἀριθμῷ τῶν ἰδεῶν (ὡς ἐκεῖνος φησὶν) ἤτοι τῶν ἐννοιῶν, τῆς κατὰ τὸν ἐν ἡμῖν νοῦν δυνάμεως τὴν περιουσίαν ἐπιλογίζεσθαι παραινεῖ, καὶ τῆς ἐν ἑκάστῳ γνώσεως τὸ μέγεθος τῇ τε ἐκείνων πληθύϊ, καί γε τῇ προχείρῳ ἀναμνήσει (οἷον εἰπεῖν Πλατωνικῶς τῆς ψυχῆς τῷ πτερώματι) καὶ μὴν καὶ τῇ τοῦ λόγου ὀξύτητι, ἐν συνθέσει ἀνάλογον ἀποφαίνεται. Δέον ἐνεῖναι μὲν τῷ νῷ (Οἰνοπίδης ἂν ἔφησε τῷ στήθει) πλεῖστα ἐναποκείμενα, παρεῖναι δὲ ἐξ ἑτοίμου τῇ ἀναμνήσει ἐν δέοντι χορηγούμενα, προσεῖναι δὲ καὶ τὸ τῆς ἀγχινοίας γοργὸν, εἰ μέλλοι τις κατὰ σκοπὸν περὶ ὁτουοῦν κρίνειν, καὶ εἰσβάλλειν εὐστόχως τὸ συμβαῖνον ταῖς κρίσεσι.

## Περὶ τῆς κατὰ τὰς ἐννοίας Ἀρχῆς.

§. ιζ'. Ἐν εἴδει δὲ καὶ ἔννοιαι ἐννοιῶν εἰσὶ διατελοῦσαι ἀρχαὶ, καὶ ἀποφάνσεις ἀποφάνσεων, καὶ ἀποδείξεις ἀποδείξεων. Καὶ Α'. ἀρχικαὶ μὲν ἔννοιαι εἰσὶν αἱ καθόλου, αἱ δὲ μᾶλλον, καὶ ἀρχικώτεραι· (3) οἷον ἡ ἀνθρώπου τῆς τοῦ Σωκράτους, κἀκείνης ἡ τοῦ ζώου, καὶ ἁπλῶς ἐξ ὧν τὸ βάθος τῆς ἐννοίας ἀναγκαίως (4) συνίσταται. Καί γε εὐλόγως. Ἁπλούστεραι γάρ τε ἔστι, καὶ τὰς ἐξ αὐτῶν γνωρίζουσαι,

---

(1) Ἀριστ. Μεταφ. Δ'. (2) Λώκιος βιβλ. δ'. περὶ Νοῦ Κεφ. γ'.
(3) Μετ. Δ'. (4) Λογικ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαι, εἰσὶ καὶ πρότεραι πρὸς ἀντίληψιν. Σχολῇ γὰρ ἂν εἰδείη τί κύκλος, ὃς μὴ τί σχῆμα πρότερον, καὶ τί ἐπίπεδον, καὶ τί καμπύλη φθάσας ἐνόησε. Διὸ καὶ τὰ γενικώτατα γνωριμώτατα, καὶ ὁρισμῶν οὔτ' ἐπιδεκτὰ, οὔτ' ἐπιδεῆ.

§. ιη'. Β'. δὲ καὶ τὸ συμβεβηκὸς τοῦ ὅλου πρότερον γινώσκεσθαι πέφυκε. Νοήσεις δὲ ὅλον τὸ συγκεκριμένον (1) οἷον τὸ μουσικὸν, τοῦ μουσικοῦ ἀνθρώπου· οὐ γὰρ ἔσται ὁ λόγος ἄνευ τοῦ μέρους. Πῶς γὰρ ἄν τις τὸν μουσικὸν ἀνασκέψασθαι ὅλως, μὴ προεσκεμμένον περὶ τῆς κατὰ τὴν μουσικὴν ἕξεως. Καί τοι οὐκ ἐνδέχεται μουσικὸν εἶναι, μὴ ὄντος μουσικοῦ τινός. Ἀλλὰ γὰρ οὐκ ἐνδέχεται οὐδὲ μουσικόν τινα νοηθῆναι, μὴ προνενοημένου τοῦ μουσικοῦ. Καὶ ὃ προτερεύει ἐν τούτοις τῇ καταβολῇ οὕτω φάναι τῇ καθ' ὑπόστασιν, καθυστερεῖ τῇ ἐπιβολῇ τῇ κατὰ τὴν γνῶσιν. (2)

§. ιθ'. Γ'. Πρότερον εἰσὶ γινωσκόμενα καὶ τὰ τῶν προτέρων πάθη, οἷον εὐθύτης λειότητος. Τὸ μὲν γὰρ γραμμῆς καθ' αὐτὴν πάθος, τὸ δὲ ἐπιφανείας. Προτέρα δὲ πάντως ἡ γραμμὴ, ὅτι καὶ ἕπεται. Διὰ τὸν αὐτὸν δὲ λόγον καὶ ἡ ταυτότης ἡγεῖται νοουμένη τῆς ἑτερότητος, καὶ ἡ ἑνότης τῆς διαιρέσεως. Τὰ μὲν γὰρ τοῦ ἑνὸς εἰσὶ πάθη, τὰ δὲ τοῦ ἀριθμοῦ. (3)

## Θεώρημα Α'.

§. κ'. „ Ἀρχὴ ἡ πρωτίστη τῶν καθ' ἁπλῆν ἐπιβολὴν „ γνώσεων, ἐστὶν ἡ τοῦ ὄντος, ᾗ ὄν, ἔννοια.

Τῶν γὰρ κατὰ τὰς ἁπλῶς ἐπιβολὰς γνώσεων ἀρχικώτεραι εἰσὶν αἱ γενικώτεραι καὶ ἁπλούστεραι ( §. ιζ'. ) Καὶ τά γε συμβεβηκότα τοῦ ὅλου· ( §. ιη'. ) καὶ τὰ τῶν προτέρων πάθη. ( §. ιθ'. ) Ἀλλὰ μὴν ἡ τοῦ ὄντος, ᾗ ὄν, ἔννοια, καὶ τῶν γενικωτάτων ὑπερελήλαται (4). Ὂν γὰρ καὶ ἡ οὐσία, καὶ ὅ,τι δήποτε τῶν περὶ τὴν οὐσίαν ἀπ' αὐτῆς τε εἶναι, καὶ πρὸς

(1) Λογικ. (2) Μεταφ. Δ'. (3) Αὐτόθι. (4) Λογικ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς αὐτὴν νοεῖται καὶ λέγεται. Καὶ πᾶν ἁπλῶς, ὃ μὴ ἢ μηδέν. Ἡγεῖται γοῦν καὶ συμβεβηκότος παντὸς, καὶ πάθους, καὶ αὐτῶν πάντως, ἢ τοιαῦτα, τοῦ εἶναι ὁπωσοῦν μετεχόντων. Ἀρχὴ ἄρα ἡ πρωτίστη κτ. Ο. Ε. Δ.

## Πόρισμα.

§. κά. Ἐπειδὴ τοίνυν τὸ ὑπὲρ ἅπαντα πεπηγμένον καὶ διαβατικώτατον ὂν, ἢ ὂν, τὸ κατὰ ἁπλῆν ἐπιβολὴν πρώτιστον ἐστὶ, καὶ ἀειδηλότατον τοῦτ' αὐτὸ ἔσται, ὧν ἂν ὁ νοῦς ἐπιδράξαιτο. Ὥστε μοι καὶ παραπαίουσιν ἐοικέναι δοκεῖν, τοὺς ὁρισμὸν ἀποδοῦναι βιαζομένους τοῦ ὄντος, καὶ παραπλήσια πάσχειν τοῖς δι' ἀμυδροῦ φλογίου ἐμφανίζειν οἰομένοις τὸ ἀφ' ἡλίου εἰλικρινῶς πεμπόμενον σέλας τὸ φανώτατον. Εἴ τι γὰρ ἂν προτεθῇ νοεραῖς ἐμφάσεσι τυπούμενον, τοῦτό τοι πρὸ παντὸς ἢ ὂν παρίσταται. Κἂν στερήσεις τύχωσι, κἂν ἀποφάσεις τὰ νοούμενα, ἀεὶ καὶ τούτοις ἡγουμένως προσεπαυγάζει, ἡ διὰ πάντων, καὶ ὑπὲρ ἅπαντα τοῦ ὄντος ἔννοια, οὗ στερήσεις, ἢ ἀποφάσεις ἐκεῖναι εἰσίν. (1)

## Θεώρημα Β'.

§. κβ'. „Ἡ τοῦ ὄντος γνῶσις ἁπλῶς ἢ ὂν, καὶ πασῶν „τῶν μὴ καθ' ἁπλᾶς ἐπιβολὰς γνώσεων, ἀρχὴ ἐστί.

Ἀρχαὶ γὰρ τῶν συμπερασμάτων αἱ ἀποφάνσεις, τῶν δὲ ἀποφάνσεων αἱ κατὰ ἁπλῆν ἐπιβολὴν ἀντιλήψεις. (§. ις'.) Ἀρχὴ δὲ ἡ τοῦ ὄντος τῶν κατὰ ἁπλῆν ἐπιβολὴν γνώσεων ἁπασῶν. (§. κ'.) Ἄρα ἡ τοῦ ὄντος γνῶσις κτ. Ο. Ε. Δ.

Περὶ

(1) Λογικ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Περὶ τῆς ἐν Ἀποφάνσεσιν Ἀρχῆς.

§. κγ'. Ἀλλὰ καὶ ἀρχικώτεραι εἰσὶν ἀποφάνσεις ἀποφάνσεων, ἄλλαι ἄλλων· οἷον αἱ μὲν ἐποπτικῶς, ἢ ἐννοηματικῶς τοιαῦται τῶν διὰ μέσου, ὧν τὰς μὲν πρώτας καὶ ἀξιώματα καλοῦσι, τὰς δευτέρας δὲ θεωρήματα. Ἔστιν οὖν ἐποπτικὴ (καλείσθω γὰρ οὕτως ἀδιαφόρως καὶ ἡ ἐννοηματικὴ, τῆς μεταξὺ τῶν ἰδιαίτερον ἐποπτικῶν, καὶ τῶν ἐννοηματικῶν διακρίσεως, περὶ ἧς ἐν τῇ Λογικῇ, ὡς μηδὲν συντελέσης ἐπὶ τοῦ παρόντος ἀμελουμένης.) ἀπόφανσις, ἐν συνθέσει μὲν ἧς κατὰ τῆς ὑποκειμένης ἐννοίας, κατηγορεῖται ἡ ἀμέσως προτέρα (§. ιζ'.), οἷον ἡ Σωκράτης ἐστὶν ἄνθρωπος. Ἐν διαιρέσει δὲ, ἧς τῆς ὑποκειμένης ἐννοίας ἀποζεύγνυται, ἡ τῇ ἀμέσως προτέρᾳ ἀντικειμένη, οἷον ἡ ἄνθρωπος οὐκ ἔστιν ἄλογον. Ἡ δὲ κλῆσις αὐταῖς παρωνύμως ἀπὸ τοῦ ἐν αὐτῷ τῷ ὑποκειμένῳ τὸν κατηγορούμενον ὅρον, οἰκείως ἔχοντα, ἢ μὴ, καθαρῶς ἐποπτεύεσθαι. Ἀπόφανσις δὲ διὰ μέσου κατὰ σύνθεσιν, ἢ διαίρεσιν, ἔνθα τῇ ὑποκειμένῃ ἐννοίᾳ ἡ προτέρα μὲν, ἔμμεσος δὲ, καὶ πορρωτέρω, διὰ καταφάσεως ἢ ἀποφάσεως ἐπιπλέκεται· οἷον Σωκράτης ἐστὶ ζῶον, Σωκράτης οὐκ ἔστιν ἄλογον. Αἱ μὲν οὖν ἐποπτικαὶ οὐδὲ δείξεως εἰσὶ χρῄζουσαι (καίτοι ἄλλως ἀποδεικταὶ καὶ αὐταὶ διὰ προτέρας οὖσαι, ὡς ἑξῆς δῆλον ἔσται.) καὶ γὰρ τοῖς πᾶσιν ἠξίωνται. Αἱ δὲ διὰ μέσου καὶ θεωρηματικαὶ ἀνήκουσαι, καὶ δεῖξιν τὴν διὰ τῶν ἐποπτικῶν ἐπιδέχονται. Προκειμένης τοίνυν ἀποφάνσεως ἐν συνθέσει, τῆς διὰ μέσου, ὅτι Σωκράτης ἐστὶ ζῶον, ἔξεστι τὴν ἀπόδειξιν ἀποδοῦναι διὰ μέσου τοῦ ἀνθρώπου, ἐποπτικὰς δύο προταξαμένους, τὴν μὲν, ὅτι Σωκράτης ἐστὶν ἄνθρωπος, τὴν δὲ ὅτι ἄνθρωπος ζῶον. Προκειμένης δὲ ἀποφάνσεως ἐν διαιρέσει τῆς διὰ μέσου, ὅτι Σωκράτης οὐκ ἔστιν ἄλογος, μέσῳ τῷ αὐτῷ χρησαμένοις, ἔξεστι τὴν κατασκευὴν ποιήσασθαι δι' ἐποπτικῶν αὖ δύο, τῆς μὲν, Σωκράτης ἐστὶν ἄνθρωπος· τῆς δὲ ὁ ἄνθρωπος οὐκ ἔστιν ἄλογος. Ἐφ' οἷς σημειωτέον, ὅτι καὶ διὰ πλειόνων παρεμπιπτουσῶν, δεήσει πολλάκις ἡμῖν ἐπὶ τὰς ἐποπτικὰς ἀνάγεσθαι, ἐν αἷς τὰ τῆς ἀποδεί-

δει-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δείξεως, ὡς ἐν ἀρχαῖς ἵσαται· ὃ μάλιστα συμβαίνειν εἴωθεν, ἐπειδὰν ἡ ἐμμέσως προηγουμένη ἔννοια, τῆς ὑποκειμένης κατὰ θέσιν, ἢ ἄρσιν, διὰ πλειόνων κατηγορεῖται.

§. κδ΄. Ἄξιον δὲ ἐν τούτοις ἐστὶν ἐπιστῆσαι, ὅτι πολλαῖς ἐστὶν ἐντυγχάνειν τῶν κατὰ ἀπόφανσιν γνώσεων, ἃς οὐδὲ ἐποπτικὰς οὔσας, οὐδὲ μὲν οὖν τῶν διὰ μέσου, ἢ μέσων, οὔτε ταῖς ἀρχαῖς ἔνι συγκαταλέγειν, οὐδὲ ταῖς ἐκ τῶν ἀρχῶν. Ταύτας γοῦν οὐδ᾽ ἀξιώματα ἀποκαλεῖν ἀξιούμενον, οὔτε θεωρήματα· τῷ γὰρ ὄντι οὐδέτερον εἰσίν. Οὐδὲ γὰρ οὐδὲ τὰς ἀμέσως ἡγουμένας ἐννοίας κατηγοροῦσιν, οὐδὲ τὰς ἐμμέσως, τοιαῦτα δέ τινα, ὧν ἀμήχανον ἐστὶν εὑρέσθαι τὸ μέσον τῆς συναφείας, ἢ διαζεύξεως. Ὑπολήψεις αὐτὰς τὰς τοιαύτας, ἢ δόξας, ἢ τί τοιοῦτο καλέσειεν· οἷον φέρω (φησὶν ὁ Ἄγγλος Μεταφυσικὸς (1)) ἔννοιαν τοῦ σώματος πάνυ σαφῆ, φέρω δὲ καὶ τῆς νοήσεως. Ἀλλά τις ἐμοὶ, τούτων μεταξὺ, ἔννοια ὕπεστιν οὐδεμία, δι᾽ ἧς τὴν κατὰ τὸ νοεῖν ἐνέργειαν τῇ σωματικῇ φύσει συνάψαιμι, ἢ ταύτης ἀποζεύξαιμι. Ἀλλὰ τοῦτο μὲν ἡμῖν φυλακτέον οὕτως ἔχειν ἡγεῖσθαι, οἷα τῷ Ἄγγλῳ Φιλοσόφῳ ὑπείληπται· ταῦτα γὰρ ἐν ἀμφισβητησίμοις τάττει τῆς λογικῆς ψυχῆς τὸ ἄϋλον, ὃ καὶ ὁ φιλόσοφος λόγος οἶδε πρεσβεύειν· οὐ χάριν δὲ εἴρηται, ἀληθεύει παντάπασι· δῆλον δὲ καὶ ἐκ τούτου, ὅπερ αὐτὸς ἐκεῖνος (2) προσέθετο, ὅτι πᾶσι μὲν ληπτὸν καὶ ξυνετὸν τί ποτε βούλεται προβαλλόμενον τὸ συνεξισοῦσθαι κύκλῳ τετράγωνον· μέσον δέ τι, ᾧ περ ἂν ἀποδειχθείη τῳδὶ τῷ κύκλῳ ἴσον εἶναι τοδὶ τὸ τετράγωνον, οὐθ᾽ εὕρηται τινὶ ὅλως ἔς γε καὶ νῦν, οὔτε τυχὸν εὑρεθήσεται. Πῶς γὰρ; εἰ τὰς εἰς ἑαυτὰς ἐπανιούσας καμπύλας, ἀνευθυνούσας εἶναι ἐπ᾽ ἀκριβὲς τῷ Νεύτωνι ἀποδέδεικται; (3) Χρὴ τοίνυν ἐπὶ τῶν οὕτως ἐχουσῶν ἀποφάνσεων, τὸν εἰκότα λόγον θηρᾶσθαι, καὶ ὅς ἂν ἀποτρέψειε τῶν ἀντικειμένων τὴν ἑτέραν πρὸ τῆς ἑ-

τέρας

(1) Λώκ. περὶ Νοῦ Βιβλ. δ΄. Κεφ. γ΄.
(2) Λώκ. ἔνθα ἀνωτέρω.
(3) Ὅρα Γενουΐσ. λογικοκειτικῆς Κεφ. β΄. §. β΄. Βιβλ. ι΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τέρας ἀναπεῖσαι προσέσθαι δόξαν. Τοῦ δὲ λόγου οὐδ᾽ ἄχρι τοῦ εἰκότος γοῦν ἐπιφώσκοντος, ἐπέχειν, ὡς εἰ καὶ περὶ ἀριθμοῦ τῶν ψάμμου μορίων, ἢ ἀστέρων ζήτησις προὔκειτο, πότερον περιττὸς τυγχάνει, ἢ ἄρτιος. Ἀλλὰ ταῦτα μὲν ταύτῃγε διωρίσθω.

§. κέ. Ἡμῖν δὲ τῶν μὲν ἐν ταῖς ἀποφαντικαῖς γνώσεσιν ἀρχικῶν οὐσῶν, τῶν δ᾽ ἐξ ἐκείνων πορίζομένων τὸ γνώριμον (§. κγ΄.) ἰτέον καὶ προσωτέρω, καὶ ζητητέον, εἴτις ἐστὶν ἀπόφανσις, καὶ τῶν ἀρχικῶν αὐτῶν ἀρχικωτάτη, ταυτὸν εἰπεῖν, ἁπασῶν πρωτίστη. Ἄπταιστος μὲν ὡς εἰκὸς καθ᾽ ἑαυτήν, ἀναπόδεικτος δὲ, καὶ ἀπὸ ἄλλης οἱασοῦν ἀνεξάρτητος, καὶ τοιαύτη ἁπλῶς εἰπεῖν, πρὸς ἣν, οἷα πρὸς λύδιον λίθον πᾶσαν γνῶσιν ἀποφαντικήν, κἄντε τῶν ἐποπτικῶν ᾖ, κἄντε καὶ τῶν ὑπ᾽ ἐκείναις θεωρηματικῶν, ὁπωσποτε περὶ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ἔχει δοκιμάζεσθαι. Εἶτα καὶ εἴτις καὶ περὶ τὰ μὴ ἀποδεικτὰ ἐν ἀβεβαιότητι (§. κδ΄.) κανὼν ὕπεστιν, ὑφ᾽ οὗ ὁδηγουμένοις, εἰ μὴ τέλεον, ὡς ἔνι ἔγγιστα γοῦν γίνεσθαι συμβαίνει, τῆς κατὰ τὰς δόξας ὀρθότητος. Περὶ δὴ τούτων κἀν ταῖς λογικαῖς μεθόδοις, ὡς ἐν τύπῳ ἡμῖν τὰ ἐπιβάλλοντα εἴρηται. „ Ἐπεὶ
„ δὲ προσήκει τὸν μάλιστα γνωρίζοντα περὶ ἕκαστον γένος
„ ἔχειν λέγειν τὰς βεβαιοτάτας ἀρχὰς τοῦ πράγματος, ὥ-
„ στε καὶ τὸν περὶ τῶν ὄντων, ᾗ ὄντα, τὰς πάντων βεβαιο-
„ τάτας, ἀναγκαῖον ἡγούμεθα κἀν τούτοις τὸν περὶ ἐκείνων
„ λόγον ἀναλαβεῖν ἀκριβέστερον.

## Θεώρημα Γ΄.

§. κς΄. „ Εἴτις γνῶσις ἀποφαντική, ἀρχικωτέρα οὖσα
„ τῶν ἐποπτικῶν ἀποφάνσεων.

Ταῖς γὰρ ἐποπτικαῖς πολλαῖς τε οὔσαις, καὶ εἴδει διαφερούσαις, κοινὸν τὸ εἶναι ἀποδεικτικὰς τῶν θεωρηματικῶν. (§. κγ΄.). Τοῦτο δὲ ἄρα αὐταῖς ἐν γένει προσήκει, διά τινα καθόλου λόγον, ὃς κοινῇ πάσαις ἅτε γένος ἐνθεωρεῖται. Ὁ δὲ λόγος οὗτος, ἡ μὲν ἀποφάνσεων γένος, ἀποφαντική

τική

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τικὴ γνῶσις ἐςίν· ἡ δὲ καθόλυ, καὶ ἀρχικώτερος. (§. ιζ΄.) Ἄρα ἔςι τις γνῶσις ἀποφαντικὴ ἀρχικωτέρα κτ.

## Πόρισμα.

§. κζ΄. Ἡ δὲ τοιαύτη ἀπόφανσις, καὶ τῶν ἐν εἴδει ἐποπτικῶν ἁπασῶν, (καίτοι διὰ τὸ περιὸν τῆς ἐν αὐταῖς ἐναργείας δείξεως ἄλλως μὴ ἐπιδεῶν) ἐςὶν ἀποδεικτική. (§. κγ΄.)

## Θεώρημα Δ΄.

§. κή. „ Τῶν ἐποπτικῶν ἁπασῶν γνώσεων γνῶσις ἀρ-„ χική τε καὶ ἀποδεικτικὴ ἐςὶν ἡ ἀποφαινομένη τὸ ἐν τῇ τῷ „ ὑποκειμένυ ἐναργεῖ τε καὶ οἰκείᾳ ἐννοίᾳ περιεχόμενον „ κατ' ἐκείνυ ἐξ ἀνάγκης, καὶ κατηγορεῖσθαι, τὸ δὲ μή, ὐ-„ χί· ἀλλ' ἀποζεύγνυσθαι.

Τοιαύτη γὰρ δή, ἡ καὶ τῶν κατ' εἶδος ἐποπτικῶν γένος ὖσα, καὶ ταύτας κατασκευάζυσα καὶ κρατιωῦσα. (§.κς΄. κζ΄.) „ Ἀλλ. ἡ ἀποφαινομένη τὸ ἐν τῇ τῷ ὑποκειμένυ ἐναργεῖ τε καὶ „ οἰκείᾳ ἐννοίᾳ περιεχόμενον, κτ. πλυτεῖ ἑκάτερον.

Α΄. γάρ, ἡ ὁ ἄνθρωπος ἐςὶ λογικός, ἢ ὐκ ἔςι λίθος· καὶ ἡ ὁ κύκλος ἐςὶ σχῆμα, ἢ ὐχὶ ςερεόν. Καὶ ὅσαι τοιαῦται, τὸ ἐν τῇ τῷ ὑποκειμένυ ἐναργεῖ τε καὶ οἰκείᾳ ἐννοίᾳ περιεχόμενον κατηγορῦσι, τὸ δὲ μή, ἀποζευγνύυσιν.

Β΄. Ἐπὶ τύπων ἐντεῦθεν ἑτοίμως ἔνι λαβεῖν τὴν ἀπόδειξιν ὅτι ἀληθεῖς, εἰπόντας, τὸ ἐν τῇ τῷ ὑποκειμένυ ἐναργεῖ τε κτ. ἀληθῶς κατ' αὐτῷ λέγεται. Ἀλλ. τὸ λογικὸν ἐν τῇ τῷ ἀνθρώπυ, καὶ τὸ σχῆμα ἐν τῇ τῷ κύκλυ, καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως, ἄρα ἀληθῶς καὶ κατηγορῦνται. Λίθος δ' ἐν ἀνθρώπῳ ὐδαμῶς ἐννοεῖται, ὐδὲ τὸ ςερεὸν ἐν τῷ κύκλῳ, ἀληθῶς ἄρα ἀποζεύγνυνται.

Τῶν ἄρα ἐποπτικῶν ἁπασῶν γνώσεων, γνῶσις ἀρχική τε, καὶ ἀποδεικτική, κτ. Ο. Ε. Δ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Σχόλιον.

§. κθ΄. Τῶν δὲ τῶν δικαιοτάτων πρεσβείων ἡ κατὰ τὸν Νεώτερον Καρτέσιον ὡς ἁπασῶν ἄρα πρωτίστη προβαλλομένη ἀρχὴ, ἀπολαυέτω, ὑπὲρ τὰς ἐποπτικὰς ἁπάσας τὸ κράτος ἔχουσα· (§. κη΄.) μᾶλλον δὲ, ἀντὶ αὐτῶν ἐκείνων καθόλου τε καὶ ἀορίστως νοουμένων, τελοῦσα. Ἀλλὰ γὰρ ἐπεί τις ἂν ἔχοι εἰκότως διαπυθέσθαι, καὶ τίς ὁ λόγος δι' ὃν, τὸ ἐν τῇ ἐναργεῖ τε καὶ ἀκραιφνεῖ παντὸς ἐννοίᾳ περιεχόμενον, αὐτοῦ τούτου κατηγορητέον. Τῷ δὲ οὕτω πυθομένῳ ῥᾴδιον ἀπαντῆσαι, ὅτι κατηγορητέον ἄρα ἵνα μὴ ἀντίφασις ἕψηται, πρὸς ἣν καὶ αὐτοφθαλμῆσαι τὸν νοῦν, κἂν σφόδρα τύχοι ἐκβιαζόμενος, ἀδύνατον, ταύτῃ τοι ὑπὲρ αὐτὴν προσωτέρω χωρουμένοις, πρεσβυτάτην οἷον, καὶ πρωτίστην ἀρχὴν, καὶ τῷ ὄντι ὑπάτην ὑποθετέον σὺν Ἀριστοτέλει τὴν ἐφεξῆς.

## Θεώρημα Ε΄.

§. λ΄. „ Ἀρχὴ ἁπασῶν πρωτίστη ἐστὶν ἡ ἀποφαινομένη,
„ τὸ αὐτὸ ὑπάρχειν, καὶ μὴ ὑπάρχειν ἀδύνατον.

Πᾶσα γὰρ ἀποφαντικὴ γνῶσις ἤτοι ὄντι κατηγορεῖ, ἤτοι μὴ ὄν. Καὶ εἴτε ἐκείνου ᾧ ἔνεστιν, εἴθ' ᾧ μὴ ἔνεστι· μὴ ἐξὸν τὸ ὂν, καὶ τὸ μὴ ὂν ἅμα· οὔθ' ᾧπερ ἔνεστι, καὶ μὴ ἅμα· οὐδὲ τἀναντία. (διὰ τὴν ἀρχὴν, ἣν ἀληθῆ μὲν ὑποτιθέαμεν, πρώτην δὲ δείκνυμεν.) Ἀλλ' εἰ μὲν τὸ ὂν, ᾧ μὴ ἔνεστιν ἐνεῖναι διὰ τῆς κατηγορίας ἀποφαίνοιτο, καὶ τὸ μὴ ὂν, ᾧπερ ἔνεστι, συνάψει μὲν κατὰ τὸ αὐτὸ τὸ ὂν καὶ μὴ ὂν, ὡς ἐκείνως, ταυτίσει δὲ ἅμα τὸ μὴ ὂν καὶ τὸ ὂν, ὥς γε οὕτως. (ἐξ ὑποθέσεως) ταῦτα δὲ ἀδύνατα. (διὰ τὴν ἀρχήν.) Πᾶσα ἄρα ἀνάγκη ἐνεῖναι μὲν ἀποφαίνεσθαι τὸ ὂν, ᾧ ἔνεστι, μὴ ἐνεῖναι δὲ τὸ μὴ ὂν ᾧ οὐκ ἔνεστιν. Οἱαδήποτε ἄρα ἀποφάνσει τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ἐκ τοῦ λόγου τῆς ἀντιφάσεως προφανῆ ἔχει τὸν ἔλεγχον. Ἀλλ' ὅθεν ταῖς ἀποφάνσεσιν ἡ ἀπόδειξις, ἐκείνη τούτων οὖσα ἀρχικὴ

ὡμο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὡμολόγηται. ( §. κγ΄. ) Ἡ δ' ἀφ' ἧς ἁπάσαις, καὶ ἁπασῶν. ( §. κέ. ) Ἀρχὴ ἄρα ἁπασῶν πρωτίστη, κτ. Ο. Ε. Δ.

Ἄλλως. Ἀρχὴ ὁμολογουμένως τῶν ἄλλων, εἰς ἣν πᾶσαι ἀνάγονται ὅσαι ἄλλαι, ἡ δὲ εἰς οὐδεμίαν αὐτῆς προτέρουσαν ( §. κέ. ). Οὕτω δὲ ἔχει ἡ προτεθεῖσα „ πάντες γὰρ „ ἀποδεικνῦντες εἰς ταύτην ἀνάγουσιν ἐσχάτην δόξαν. Τὰ μὲν γὰρ θεωρήματα δείκνυται διὰ τῶν ἀξιωμάτων, ( §. κγ΄. ) τὰ δ' ἀξιώματα, διὰ τῆς τοῦ Νεωτέρου καθόλου ἐποπτικῆς οὔσης ἀρχῆς. ( §. κή. κθ΄. ) Αὕτη δὲ διὰ τῆς Ἀριστοτελείου· φανερὸν γὰρ ὅτι τὸ ἐνεῖναι νοουμένον τινι, τούτω καὶ προσάπτεται, μὴ πεφυκὸς ἅμα ἐνεῖναι καὶ μή. Τὸ δὲ μὴ, καὶ ἀπάγεται, ἐπεὶ οὐ δυνατὸν, μὴ ὂν, καὶ εἶναι. ( διὰ τὴν ἀρχήν. ) Ἡ δὲ δι' ἄλλης οὐκ ἂν ἀποδειχθείη προτέρας. οὔκουν γὰρ διὰ θεωρηματικῆς, αὗται γὰρ ὕστεραι, ( §. κγ΄. ) καὶ ἀποδεικταί. Ἀλλ' οὐδὲ δι' ἐποπτικῆς τινὸς, ἐκεῖναι γὰρ ἀποδεικταὶ ( §. κή. ) ἧς αὕτη ἀποδεικτικὴ, πρὸ μικροῦ ὤφθη. Ἄρα ἀρχὴ ἁπασῶν πρωτίστη κτ. Ο. Ε. Δ.

## Πόρισμα.

§. λά. „ Ἐπεὶ δὲ φύσει ἐστὶν ἀρχὴ καὶ τῶν ἄλλων ἀξιω- „ μάτων αὕτη πάντων ἡ προτεθεῖσα. (1) ( §. λ΄. ) Καὶ κριτήριον ἡμῖν ἄρα ἀψευδὲς ὑποκείσεται ἡ αὐτὴ, καὶ γνώμων ἀκριβὴς ἀληθείας, καὶ βάσανος δοκιμωτάτη ἁπάσης ἀπταίστου γνώσεως. ( §. κέ. )

## Σχόλιον Α΄.

§. λβ΄. Περισπούδαστος, εἴπερ τινὸς ἄλλου, ἡ τοῦ Κριτηρίου θήρα, τοῖς ἐξ οἱασδήποτε αἱρέσεως πεφιλοσοφηκόσιν ἐγένετο. Ἡ δ' ἐπιτυχία οὔπω καὶ νῦν τοῖς πᾶσιν ὁμόλογος, ἄλ-

λου

(1) Ἀρις. Μεταφ. γ΄.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λου ἄλλο τι προχειρισαμένου. Οἱ μὲν οὖν περὶ τὸν Πλάτωνα, τό,τε κρῖνον, καὶ τὸ κρινόμενον, καὶ τὴν κρίσιν πάνυ καλῶς διακρίνειν εἰδότες· καὶ τὸ μὲν κρῖνον Κριτήριον κοινῶς ὀνομάζοντες, Κριτήριον δὲ τὸ κυρίως τὴν Κρίσιν. Εἶτ' ἐκεῖνο εἰς Κριτὴν τὸν μὲν ὑφ' οὗ, ὅς ὁ νοῦς ἐστὶν ὁ φιλόσοφος, τὸν δὲ δι' οὗ, ὅς ὁ φυσικὸς ἐστὶν αὐτοῖς λόγος, τὸ Κριτικὸν ( κατ' αὐτοὺς εἰπεῖν ) ὄργανον ὑποδιαιροῦντες, τὸν μὲν περὶ τὰ νοητὰ τὸν ἐπιστημονικόν τε καὶ βέβαιον, οὗ νόησις ἀρχή· τὸν δὲ περὶ τὰ αἰσθητὰ, τὸν δοξαστικόν τε καὶ πιθανὸν, οὗ ἀρχὴ αἴσθησις, οὐδὲν πλέον περὶ τοῦ κυρίως ὁμολογουμένου Κριτηρίου εἰπεῖν, οὐδὲ τὰ περὶ τῆς ζητουμένης Κρίσεως, τίς ἄρα καὶ εἴη, ἀκριβῶσαι ἠξίωσαν. (1) Τοῖς δὲ Ἐπικουρείοις εἰς τρία τὰ Κριτήρια ἐπληθύνετο, κατὰ τὴν διαφορὰν τῶν περὶ ἃ ἡ Κρίσις. (2) Καὶ γάρ τοι τὸ μὲν τῶν ἐνύλων ἀντιληπτικὸν αὐτοῖς ὑπετίθετο, ἡ αἴσθησις. Τὸ δὲ τῶν νοητῶν ἡ δι' αἰσθήσεων προκατάληψις. Τὸ δὲ τῶν πρακτέων, ἢ μὴ, ἡ καθ' ἡδονὴν δηλονότι, ἢ ἀηδίαν ἡμῖν ἐμποιουμένη πάθησις· ἐπὶ τούτοις τὰς φυσικὰς τῶν ἐννοιῶν, ἤτοι τὰς προλήψεις, οἱ ἐκ τῆς Στοᾶς μετεπέμποντο, καὶ ταύτας οἷον τινα βάσανον ἀληθείας δοκιμωτάτην ἡμῖν προὐβάλλοντο. „ Ὁ γὰρ λόγος καθ' ὃν προσαγορευόμεθα „ λογικοὶ ἐκ τῶν προλήψεων συμπληροῦσθαι λέγεται, κατὰ „ τὴν πρώτην ἑβδομάδα. (3) Ἁμαρτάνουσιν οὖν οὗτοι, ἢ ὅτι τὰς δυνάμεις, καὶ δι' ὧν κρίνειν πεφύκαμεν, ἢ ὅτι τὰς ἐνεργείας κοινῇ πάσας, ταυτὸν εἰπεῖν ἃς κρίσεις περὶ ἕκαστον φέρομεν, ἀντὶ τοῦ ζητουμένου Κριτηρίου ὑποτιθέμενοι, καί τοι ἑκατέρας ἑκάτερον, πῇ μὲν ἀληθεύειν, πῇ δὲ καὶ σφάλλεσθαι ἐνδεχομένας, δικαστὴν τὸν αὐτὸν ἡμῖν καθιστῶσι, καὶ μάρτυρα ἀληθείας ἐχέγγυον, τὸν δικαζόμενον. Προὔκειτο δὲ οὐ τοῦτο εἰπεῖν, τίς ἡ δύναμις ᾗ νοοῦμεν, ἢ αἰσθανόμεθα, ἀλλὰ τίς ποτε ὁ Κανὼν εἴη, ᾧ περ αὖ κατὰ τὰς διὰ νοῦ, ἢ αἰσθήσεως γινομένας ἡμῖν γνωστικὰς ἀντιλήψεις, εὐθυ-

(1) Ἀλκίνοος Εἰσαγ. τῶν δογμ. τοῦ Πλάτων. Κ. δ'.
(2) Λαέρτιος βιβλ. ι.
(3) Πλούταρχ. Ἀρεσκ. Βιβλ. δ'. Κ. ια'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εὐθυνόμενοι, μὴ σφαλλοίμεθα. Οἱ δὲ οὐδ᾽ ἀμυδρὸν γοῦν ἡμῖν εἰς ὁδηγίαν τὸν σπινθῆρα ἀνάψαντες, κατέλιπον ἡμᾶς, οἷς εἰρήκασιν, οὐδὲν ἧττον, ἄτης ἐν λειμῶνι κατὰ σκότον ἠλάσκοντας. Καὶ τὴν ἄρα Ἀριστοτέλους κἂν τούτοις ἀπαλλάξαι τῆς ἀπαλαμίας, τὸν πυρσὸν τῆς ἀντιφάσεως ἀράντος, καὶ ψευδὲς εἶναι καθάπαξ τὸ εἰς ἀντίφασιν εἰσελαῦνον ἡμᾶς διορισαμένου, διὰ τὴν ἁπασῶν βεβαιοτάτην ἀρχὴν, τὴν ἀποφαινομένην ,, τὸ αὐτὸ ἅμα ὑπάρχειν, καὶ μὴ ὑπάρχειν, ἀδύνατον. Ἀνθ᾽ ἧς ἔγνω μὲν ὁ εἰς τὴν Φιλοσοφίαν περιττῶς καινοτομήσας Καρτέσιος (1) ἑτέραν ἀντικαθιδρῦσαι ἀρχὴν προτέραν, ὡς ᾤετο, τὸ ἐναργὲς τῆς ἐννοίας προμνηστευσάμενος, οὐμὴν ἀλλ᾽ οὐκ ἔσχε κατισχῦσαι ἐν τούτῳ τῆς τοῦ Σταγειρίτου ἀγχινοίας ὁ Γάλλος Φιλόσοφος· τὸ γὰρ καθόλου ἐκεῖνο ἀξιώσας, ὃ γένος οἷον ἡμῖν ἐδείχθη ἁπασῶν τῶν ἐποπτικῶν ἀποφάνσεων (§. κή. κθ΄.), ἐπεὶ συνοῖδε μηδὲ τοῦτον ὅρον ἔσεσθαι τῶν πεύσεων ἔσχατον, (τί γὰρ δήποτε τὸ τῇ ἐννοίᾳ τοῦ ὑποκειμένου προσεννοούμενον, κατ᾽ αὐτοῦ κατηγορητέον;) ἐπ᾽ αὐτὴν τοῦ λόγου ἀνέδραμε τὴν ἐνάργειαν, τῇ ἐνυποτεθείσῃ σαφεῖ ἐννοίᾳ, τὴν κατ᾽ αὐτὸν βασιμωτάτην ἀρχὴν κρηπιδώσας. Ἀλλ᾽ ἔλαθεν ἄρα, οὐκ ἀπόφανσιν οὕτως ἀντὶ κριτηρίου ὑποβαλλόμενος, τὴν δὲ κρίνουσαν δύναμιν διὰ τοῦ ἐν αὐτῇ νοεροῦ φωτὸς ἐπιστήσας. Ὃ γὰρ φησὶν, ἀληθὲς εἶναι τὸ ἐναργῶς τε καὶ εἰλικρινῶς τῇ ψυχῇ παριστάμενον, οὐκ ἔξω πάντως τοῦ ἀληθοῦς ὂν, ἅπαντες ἂν ὁμολογήσειαν, καὶ αὐτοὶ τάχα οἱ περὶ Σέξτον, καὶ Πύῤῥωνα· οὐδὲ γὰρ ἐστί τι καινὸν τὸ λεγόμενον, ἀλλ᾽ οἷόν φησί τις (2) σύμπαντες οἱ ἐξ Ἀδὰμ ἄχρις ἡμῶν κοινῇ φρονοῦντες ἐγένοντο ἄνθρωποι· ζητεῖν δὲ περαιτέρω πρόκειται τούτων ἑκάτερον. Ἀμέλει τοι Α΄. ὁποῖον εἶναι λεκτέον, τὸ ἐναργῶς τε καὶ εἰλικρινῶς τῷ νῷ παριστάμενον; Οὐδὲ γὰρ ἅλις ἔχειν δοκεῖ, τὸ φάσκειν μηδὲν εἶναι πλέον ἢ τοῦτο ἐπαποκρίνασθαι, ὡς αὐτὸ τοῦτο ὄν,

(1) Μελέτ. Ε΄. τῆς Α΄ρ. Φιλοσοφ.
(2) Γενουήσ. βιβλ. γ΄. Λογικοκριτικ. Κ. γ΄. §. γ΄.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὄν, ὃ καθαρῶς παρίσαται. (1) Ὅσα γὰρ ἐναργέστατα εἰδέναι φασὶ καί τοι σφαλλόμενοι καὶ διαμαρτάνοντες; Β΄. δὲ καὶ τί δήποτε τῷ οὕτω παρισαμένῳ, τὸ τοῦ ἀληθοῦς γνώρισμα ἐπιφημιστέον; Πρὸς ἄμφω δὲ ἀπαντήσεως ὅρος ἀκριβὴς ὁ τῆς ἀντιφάσεως. Ἐναργέστατα γὰρ παρίσασθαι λέγομεν, ᾧ νοουμένῳ ἀντίφασις οὐ παροπηδεῖ· ἢ ὥσπερ αὖ παρὰ πόδας εὐθὺς τὰ τῆς ἀντιφάσεως μὴ οὕπως ἐννοουμένῳ. Ὃ δὴ καὶ ἀληθῶς ἔχειν ἐντεῦθεν ἀποφαινόμεθα, τὴν αὐτὴν ὑπεκκλίνοντες ἀτοπίαν τὴν ἐκ τῆς ἀντιφάσεως, πρὸς ἣν, οἷον πρὸς σκότος περιπίπτον τὸ γνωστικὸν ἀποσβέννυταί πως καὶ ἐκτυφλοῦται, μηδὲ βραχὺ περαιτέρω χωρεῖν δυνάμενον.

## Σχόλιον Β΄.

§. λγ΄. Γνωρίσματα κατ᾽ Ἀριστοτέλην τῆς ἀρχῆς ταύτης ἐπισημότατα, Α΄. „ τὸ τοιαύτην εἶναι περὶ ἣν διαψευσθῆ-
„ ναι ἀδύνατον, γνωριμωτάτην γὰρ ἀναγκαῖον εἶναι τὴν
„ τοιαύτην. Περὶ γὰρ ἃ μὴ γνωρίζουσιν ἀπατῶνται πάν-
„ τες. Β΄. καὶ ἀνυπόθετον, ἣν γὰρ ἀναγκαῖον ἔχειν τὸν
„ ὁτιοῦν ξυνιέντα τῶν ὄντων, τοῦτο οὐχ ὑπόθεσις. Γ΄. καὶ ἀεὶ
„ παροῦσαν, καί πως συμπεφυκεῖαν τῷ ἔχοντι. Ὃ γὰρ
„ γνωρίζειν ἀναγκαῖον τῷ ὁτιοῦν γνωρίζοντι, καὶ ἥκειν ἔ-
„ χοντι ἀναγκαῖον. (2) Ἁπλούστερον οὖν εἰπεῖν δεῖ τὴν τοιαύτην ἀρχὴν ἀδιάψευστον εἶναι, ἀδιάσειστον, ἀδιάλειπτον, ἐξ αὐτῆς γὰρ καὶ τὸ ἀληθεύειν, καὶ τὸ διαπιστοῦσθαι, καὶ τὸ νοεῖσθαι, ἐπὶ τὰς ἄλλας γνώσεις τὰς μετ᾽ αὐτήν, ὡς ἐκ πηγῆς πρωτίστης μετοχετεύεται. Οὖσαν δὲ προδήλως τὴν τεθεῖσαν τοῖς εἰρημένοις χαρακτῆρσιν ἐπίσημον, καὶ κατὰ τῶν θρασυνομένων, καὶ δεικνύειν οὐχ ἧττον, ἢ ἀναιρεῖν πειρωμένων, εὐσθενέσι λόγοις ὁ Σταγειρίτης ἐπανατείνεται, καὶ τοὺς

---

(1) Γενουέν. Μεταφ. μέρ. β΄. Αἴτημ. β΄.
(2) Μεταφυσ. Γ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοὺς μὲν ὑποκρίσεως αἰτιᾶται, ὡς ἄρα λέγειν ἐπιχειροῦν-
τας παρ' ὃ νοοῦσιν· (οὐ γάρ ἐστιν ἀναγκαῖον, φησίν, ἅτις
„ λέγει, ταῦτα καὶ ὑπολαμβάνειν.) τοὺς δὲ ἀπαιδευσίας·
„ ἔστι γὰρ ἀπαιδευσία τὸ μὴ γινώσκειν τίνων δεῖ ζητεῖν
„ ἀπόδειξιν, καὶ τίνων οὐ δεῖ. Ὅλως μὲν γὰρ ἁπάντων
„ ἀδύνατον ἀπόδειξιν εἶναι. Εἰς ἄπειρον γὰρ ἂν βαδίζοι,
„ ὥστε μηδὲ οὕτως εἶναι ἀπόδειξιν. Εἰ δέ τινων μὴ δεῖ ζη-
„ τεῖν ἀπόδειξιν, τίνα ἀξιοῦσιν εἶναι μᾶλλον ἀρχήν, οὐκ
„ ἂν ἔχοιεν εἰπεῖν. Πλὴν ἀλλά καί τοι οὕτω περὶ τούτου
ἀποφαινόμενος, ἐλεγκτικῶς ἀποδεῖξαι τὸ ἀδύνατον, τῆς εἰς
ταυτὸ τοῦ εἶναι, καὶ τοῦ μὴ εἶναι συνώσεως, δι' ὅλου σχεδὸν
τοῦ Γ'. βιβλίου ἐπιχειρεῖ. Ἀνακεφαλαιώσειε δ' αὖτις τὸν ἔ-
λεγχον εἰς τοὺς ἐφεξῆς λόγους ἐπιτεμών. Α'. Ὑποτιθέμενος
σημαντικά τινων εἶναι τὰ ὀνόματα, ἐκ δὲ τοῦ σημαινομένου
τῷ τοῦ ἀνθρώπου ὀνόματι, κατασκευάσας ὅτι ἀναγκαῖον ἐ-
στὶ τὸν ἄνθρωπον δίπουν εἶναι, ἐπιφέρει ὡς οὐκ ἐνδέχεται,
μὴ εἶναι αὐτὸν ζῶον δίπουν. Ἐπεὶ δὲ τὸ μὲν ἐστὶ, τὸ δί-
πουν· τὸ δὲ οὐκ ἔστι, τὸ μὴ δίπουν. „ Οὐκ ἄρα ἐνδέχεται
„ ἅμα ἀληθὲς εἶναι τὸ εἰπεῖν, τὸ αὐτὸ ἄνθρωπον εἶναι,
„ καὶ μὴ ἄνθρωπον εἶναι. Β'. Διορισάμενος τὰ μὲν οὐσιω-
δῶς τινῶν κατηγορεῖσθαι, τὰ δὲ κατὰ συμβεβηκὸς, ἐπάγει
ὅτι τοῖς ἀναιροῦσι τὴν τεθεῖσαν ἀρχὴν ἀνάγκη πάντα λέ-
γειν κατὰ συμβεβηκός· κἀντεῦθεν τὸ ἀτοπώτατον, ὡς ἀνάγ-
„ κη ἄρα εἰς ἄπειρον ἰέναι. Γ'. Ὅτι εἰ ἀληθεῖς αἱ ἀντι-
φάσεις ἅμα κατὰ τοῦ αὐτοῦ, δῆλον ὡς ἅπαντα ἔσται ἕν. Ἔσται
„ ἄρα τὸ αὐτὸ ὁμοῦ καὶ τριήρης, καὶ τοῖχος, καὶ ἄνθρω-
„ πος, κτ. Καὶ γίνεται δὴ τὸ τοῦ Ἀναξαγόρου „ ὁμοῦ πάντα
„ χρήματα. Δ'. Πρὸ τῶν ἄλλων καὶ ταῦτα συνάγει, ὅτι πάν-
„ τες ἂν οὕτως ἀληθεύοιεν, καὶ πάντες ἂν ψεύδοιντο, καὶ αὐ-
„ τὸς αὑτὸν ὁμολογεῖ ψεύδεσθαι. Καὶ ὅτι ὁ οὕτω φρονῶν
οὐδὲν λέγει· οὔτε γὰρ οὕτως, οὔτε οὐχ οὕτως λέγει· ἀλλ' οὕτω
„ τε καὶ οὐχ οὕτως. Ε'. Εἰσβάλλει ὅτι ἅπαντες ἄρα καὶ ψεύ-
δονται καὶ ἀληθεύουσι. Διὸ καὶ οὔτε φθέγγεσθαι οὔτε εἰπεῖν
„ τῷ τοιούτῳ ἐστίν· ἅμα γὰρ ταυτά τε καὶ οὐ ταυτὰ λέγει.
„ Εἰ δὲ μηδὲν ὑπολαμβάνει, ἀλλ' ὁμοίως οἴεται, καὶ οὐκ
„ οἴεται, τί ἂν διαφερόντως ἔχοι τῶν πεφυκότων; ϛ'. Θλί-
βει καὶ ἄγχει πως τὸν ἐχόμενον τῆς ἀντιφάσεως, ἀποδει-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κνὺς ἐθελοψευδοῦντα, καὶ μὴ σύμφωνον τῷ φρονήματι τὴν πρᾶξιν παρεχόμενον. „Διατί γάρ, φησί, βαδίζει Μεγάραδε; ἀλλ' οὐχ ἡσυχάζει οἰόμενος βαδίζειν; Οὐδ' εὐθέως ἕωθεν πορεύεται εἰς φρέαρ, ἢ εἰς φάραγγα ἐὰν τύχῃ, ἀλλὰ φαίνεται εὐλαβούμενος, ὡς οὐχ ὁμοίως οἰόμενος μὴ ἀγαθὸν εἶναι τὸ ἐμπεσεῖν, καὶ ἀγαθόν; δῆλον ἄρα ὅτι τὸ μὲν βέλτιον ὑπολαμβάνει, τὸ δὲ οὐ βέλτιον. Ζ'. Ἐκ τοῦ τὸ μᾶλλον καὶ ἧττον εἶναι ἐν τοῖς οὖσι, καὶ ψεῦδος ψεύδους τὸ μὲν μεῖζον, τὸ δ' ἔλαττον, (οὐ γὰρ ὁμοίως φησὶ „διέψευσται ὁ τὰ τέτταρα, πέντε εἶναι οἰόμενος, καὶ ὁ χίλια. Ἀλλ' ἐκεῖνος ἧττον ψευδόμενος, μᾶλλον ἀληθεύει.) ἐντεῦθεν ἐπιφέρει· „εἰ οὖν τὸ μᾶλλον, ἐγγύτερον, εἴηγε ἄν τι ἀληθές, οὗ ἐγγύτερον τὸ μᾶλλον ἀληθές. Ἀλλὰ γὰρ ταῦτα, καίτοι ἐκ τῶν πολλῶν οὓς συμπλέκει τὸν ἔλεγχον ὁ Φιλόσοφος, ὀλίγα ἱκανὰ ὥστε ἐκείνων δεῖξαι τὴν ἄνοιαν. Εἰ γάρ, ὡς αὐτὸς παραινεῖ, πρὸς τοὺς ἀναιροῦντας τὰς ἀρχὰς λόγος οὐδείς, πρός γε τοὺς μὴ ἀποδεχομένους τῶν ἀρχῶν τὴν πρωτίστην, καὶ οἱ ἐπενεχθέντες λόγοι, πάνυ εἰσὶ πολλοί. Ἀρκέσει γὰρ (κἂν μηδέν τις εἴπῃ) εἰς πίστιν τὴν ἐκείνης τὸ νοερὸν φῶς, ᾧ φύσει καταυγαζόμεθα. Οὐδὲν γὰρ οὕτως ἐναργές ἐστι, καὶ τῶν κοινῶν ἐχόμενον ἐννοιῶν, „ὡς τὸ εἴ τι μὴ ἔμψυχον ἐστίν, ἐκεῖνο ἄψυχον εἶναι, φησί που Πλούταρχος. (1) Ἀλλ' ἄγε δὴ οὖν, δόκημα νυκτερωπὸν ἐννύχων Σοφιστῶν ὕπαρ ἐλέγχειν ἐάσαντες, τὰ προσεχῶς ἐκ τοῦ πρωτίστου ἀξιώματος ἐπιφερόμενα πορισμάτια ταῦτα σὺν Ἀριστοτέλει ὑποσυνάψομεν.

## Πόρισμα Α'.

§. λδ'. „Ἐπεὶ δ' ἀδύνατον τὴν ἀντίφασιν ἀληθεύεσθαι „ἅμα κατὰ τοῦ αὐτοῦ (§. λγ'.) φανερὸν ὅτι οὐδὲ τ' ἀναντία „ἅμα ὑπάρχειν ἐνδέχεται τῷ αὐτῷ (2)· τῶν μὲν γὰρ „ἐναν-

(1) Περὶ Στωϊκ. ἐναντιωμ.
(2) Ἀριστ. Αὐτόθι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ ἐναντίων θάτερον στέρησίς ἐστιν οὐχ ἧττον. Οὐσίας δὲ „ στέρησις, ἀπόφασίς ἐστιν ἀπό τινος ὡρισμένου γένους. Τὸ γὰρ θατέρου τῶν ἐναντίων ἐν μεθέξει ὂν, οἷον θερμότητος, ἀμοιρῆσαν τοῦ ἀντικειμένου εἴδους, φέρ' εἰπεῖν τῆς φύσεως τῆς ψυχρότητος, τοῦ ὡρισμένου τῶν ψυχρῶν γένους ταύτῃ ἐκπέπτωκεν, ὡς εἶναι λέγειν ἀληθεύοντα ὅτι οὐκ ἔστι ψυχρὸν, ἤγε θερμόν. Καὶ ψυχρὸν δὲ, ἅμα ὑπάρχοντος τῷ αὐτῷ τοῦ ἐναντίου. „ Εἰ οὖν ἀδύνατον ἅμα καταφάναι, καὶ „ ἀποφάναι ἀληθῶς, ἀδύνατον καὶ τ' ἀναντία ὑπάρχειν ἅ„ μα. Ἀλλ' ἢ πῆ ἄμφω ( οὐκ ἐὰν ἢ δυνάμει ἀμφότερα. ψυχρὸν γὰρ πῶν τοῦ Ἀκυνάτου τοῦτο γε. (1) οὐ γὰρ τὰ δυνάμει ὑπάρχει. ) τοῦτο δὲ ἐστὶ κατὰ μέρος, ἢ πρὸς ἄλλο καὶ ἄλλο. Ἢ θάτερον μὲν πῆ, θάτερον δὲ ἁπλῶς, ( οὐχὶ τὸ μὲν ὂν δυνάμει, τὸ δ' ἐνεργείᾳ ἧπερ Ἀκυνάτης ὑπέλαβεν. (2) ) τοῦ μὲν ἐν μέρει, τοῦ δὲ παρ' ἐκεῖνο δι' ὅλου ὑπάρχοντος.

## Πόρισμα Β΄.

§. λέ. „ Ἀλλὰ μὴν οὐδὲ μεταξὺ ἀντιφάσεως ἐνδέχεται „ εἶναι οὐθέν. Ἀλλ' ἀνάγκη ἢ φάναι, ἢ ἀποφάναι ἓν καθ' „ ἑνὸς ὁτιοῦν. (3) ῥᾴδιον δὲ καὶ τοῦτο ἐκ τῆς Α΄. ἀρχῆς εἰσβαλεῖν, περιττὸν ἡγουμένοις διὰ πλειόνων καὶ τούτου σὺν Ἀριστοτέλει περαίνειν τὸν ἔλεγχον. Ἤτοι γὰρ ἔσται τί μεταξὺ τῆς ἀντιφάσεως, οἷον εἰπεῖν μίξει· ἢ μηδέτερον, οἷον ἂν εἴποιμεν κατ' ἀποβολὴν τῶν ἄκρων εἰπόντες. Ἀλλ' εἰ μὲν ἐκεῖνο, ἔσται ἄρα καὶ οὐκ ἔσται τὸ αὐτὸ ἅμα. Εἰ δὲ τοῦτο οὐδ' ἔσται δὴ, οὐδ' οὐκ ἔσται· ἑκάτερον δὲ ἀδυνάτως ἔχει. (§. λγ΄.) Ἄρα κτ.

Σχό-

(1) Ἀκυν. Μεταφ. γ΄. Ἀναγν. ιέ.
(2) Αὐτ. Αὐτόθι. (3) Ἀρις. Μεταφ. γ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Σχόλιον.

§. λϛʹ. Ῥᾷστα οὖν οἱ τῶν λόγων τῶνδε τῆς ἀντιφάσεως χρῆσθαι εἰδότες τοὺς τοῦ ἀληθοῦς καταθρασυνομένους ἐπιστομίζειν δυνήσονται. Οἷον ἠξίωται τὸν Σωκράτην ἄνθρωπον εἶναι. Ὁ δέ τις ἀπὸ τῶν Ἀκαδημαϊκῶν στραγγαλίδων κενὴν δόξαν οἰόμενος συμπορίζεσθαι, τὸν Σωκράτην ἄνθρωπον μὴ εἶναι ἡμῖν ἀπῄτηκεν. Ἔχοις αὖ οὖν παρ᾽ αὐτὰ τῆς ἀτοπίας λαβεῖν τὸν ἔλεγχον. Ἔσται γὰρ ἄνθρωπος, ὅτι πρότερον (§. ιζʹ.), καὶ οὐκ ἄνθρωπος, ὅτι δὴ τούτῳ δοκεῖ. Τὸ αὐτὸ δηλονότι ὑπάρχον, καὶ μὴ ὑπάρχον. Ἀλλὰ καὶ ἐκ θατέρου μέρους, καὶ γὰρ εἰ μὴ ἄνθρωπος ὁ Σωκράτης, τὸ ἄτομον, οὐδ᾽ ἄτομον Καὶ εἰς τἀναντία αὖθις σοι περιστήσεται ὁ γενναῖος. Μὴ ἐνδιδοὺς δὲ τὸ παράπαν τῷ ἑτέρῳ μορίῳ ὅτι Σωκράτης ἄνθρωπος, ἀποδέξεται τὸ ὅλον, τὸν Σωκράτην, αὐτὸ τοῦ μέρους τοῦ ἄνθρωπον, καὶ ὅλον ἕξει τὸ αὐτὸ, καὶ μή. Ὁμοίως δὲ, καὶ εἰ μὴ τὸ ὅλον ὁ ἄνθρωπος, οὐδὲ τὸ μέρος. Εἰ μὴ γὰρ, ἤρθη τὸ ὅλον, καὶ οὐκ ἤρθη μέρους ἀπολειφθέντος. Καὶ δὴ κατ᾽ αὐτὰ, καὶ ἀπελείφθη τὸ μέρος, ὅτι Σωκράτης, καὶ οὐκ ἀπελείφθη. Τῷ γὰρ ὅλῳ συνανῃρέθη. Παραπλησίως ὅτι τὸν ἄνθρωπον μὴ εἶναι ἄλογον οὐ δοκεῖ, ἀνθυποίσομεν τὸ εἶναι ἄλογον· καὶ δι᾽ ἑκατέρου εἰς ἀντίφασιν συνώσομεν, ἄνθρωπον εἶναι κατ᾽ αὐτὸ ἐπιφέροντες τὸ ὑποτιθέμενον, καὶ μὴ, ἅτε δὴ μὴ τὸ συστατικὸν, ᾧπερ αὖ ἄνθρωπος εἴη, ἤτοι τὸν λόγον προσεπαγόμενον. Καὶ ἄλογον ἐπείτοι δοκεῖ, καὶ οὐκ ἄλογον· λογικὸν γὰρ, τὸ συμπληρωτικὸν κεκτημένον τῆς ἀνθρώπου φύσεως τῆς λόγῳ συγκροτουμένης. Καὶ τὰ μᾶλλον δὲ καθόλου τῶν ἀξιωμάτων διὰ ταύτης ὁμοίως κρατύνεται τῆς ἀρχῆς· οἷον τὸ ὅλον εἶναι μεῖζον τοῦ μέρους πᾶσα ἀνάγκη ὁμολογῆσαι, εἰ μὴ μέλλοιμεν ὅλον τὸ αὐτὸ ὑπολαμβάνειν καὶ μὴ, ἢ μέρος τὸ αὐτὸ καὶ μή. Καὶ τὰ ἴσα τῷ ἴσῳ καὶ ἀλλήλοις ἴσα εἶναι, εἰ μὴ σύμμετρα δεήσοι νομίζειν τ᾽ αὐτὰ, καὶ ἀσυμμέτρως ἔχειν ἀλλήλοις παραβαλλόμενα. Καὶ τὰ δὶς δύω τέσσαρα εἶναι, ἵνα μὴ τετράκις ἐπ᾽ αὐτῶν τῆς μονάδος ληφθείσης, ἅμα ληφθῇ ὅτι καὶ οὐχὶ τετράκις. Ἀλλὰ καὶ ἐπὶ τῶν συλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συλλογισμῶν, τῶν πρὸς κανένα, καὶ σχήματι, καὶ τρόπῳ ἠκριβωμένων, τοὺς δέοντας μὲν τὰ τεθέντα, ἐπὶ δὲ τῷ συμβαίνοντι ἐπέχοντας, τῇ εἰς ἀδύνατον ἀπαγωγῇ χρησάμενοι, εἰς τὴν αὐτὴν ἀντίφασιν περιϊστᾶν, ἐν τοῖς Διαλεκτικοῖς (1) παιδευόμεθα, κἀντεῦθεν δοκοῦμεν ἀπαραιτήτως ἡμῖν ἔχειν τὸ πρὶν συναφθέν. Ὥστε ἔπεστιν ἐπιφέρειν σὺν Ἀριστοτέλει (2) ὡς „ φύσει ἐστὶν ἀρχὴ καὶ τῶν ἄλλων ἀξιω-
„ μάτων αὕτη πάντων ἡ προτεθεῖσα. Καὶ οὐδ' ἂν ἐκείνην ἐξαιρεῖν ἔχοις τὴν Καρτεσιάνειον. ( §. κθ'. ) Καὶ γὰρ διὰ ταύτης κἀκείνην ἐνὶ κατασκευάσαι, ἢ τὸ ἀνάπαλιν. Φέρε γὰρ ἀποφασκέτω τις κατηγορητέον εἶναι τοῦ ὑποκειμένου, τὸ ἐν ἐκείνῳ ἐναργῶς θεωρούμενον, καὶ μὴ λεγέτω προσεῖναι, ὅπερ σαφῶς προσεῖναι ὑπὸ τῆς ἐναργείας τοῦ λόγου δείκνυται, οὐ δυσχερὲς τὸν οὕτως ἀφραίνοντα ἐφεῖναι τῷ Κριτηρίῳ τῷ δὲ τῆς ἀντιφάσεως. Τὸ γὰρ αὐτὸ εἶναι τε καὶ μὴ εἶναι ἀδύνατον. Ἀλλὰ μὴν ὁ μὴ κατηγορῶν τὸ ἐναργῶς τινι προσεῖναι νοούμενον, εἶναι τε δίδωσιν, ᾗ προσὸν ἐννοεῖ, καὶ μὴ εἶναι, ἅτε δὴ μὴ προσὸν ὁμολογεῖν ἀνεχόμενος· ὁ ἄρα τι ἐναργῶς ἐνθεωρῶν ἐντινι, καὶ τοῦ αὐτοῦ τοῦτο αὐτὸ μὴ κατηγορῶν, εἰς ἀδύνατα κατὰ τὸ αὐτὸ ἀντιπεριάγεται. ( §. λ'. ) Ἀλλὰ γὰρ δῶμεν εἶναι καὶ τινά, τὸν συνωθεῖν εἰς ταὐτὸ τὸ εἶναι καὶ μὴ παραβιαζόμενον, οὐδ' ἀδυνάτως ἔχον τὸ τοιοῦτον ἀποφαινόμενον. Παρέστω δὲ ἄρα ἡμῖν καὶ Καρτέσιος ἐπισείων αὐτοῦ τὸ ἀξίωμα. Τίς ἄρα ἔσται ἡ θαυμαστὴ ἀπόδειξις; „Πᾶν ὅ,τι ἐρεῖ ἐν τῇ ἐναργεῖ καὶ σα-
„ φεῖ τινὸς ἐννοίᾳ ἐνθεωρεῖται περιεχόμενον, τοῦτ' ἐξ ἀνά-
„ γκης ἐκείνου κατηγορεῖται. Ἀλλὰ μὴν ἐν τῇ ἐναργεῖ καὶ σαφεῖ ἐννοίᾳ τοῦ εἶναι ἅμα καὶ μὴ εἶναι, ἐνθεωρεῖται περιεχόμενον τὸ ἀδύνατον. Ἄρα κτ. Καὶ μὴν οὐδένα τῶν ἀφ' οὗ γεγόνασιν ἄνθρωποι, οἶμαι, εἰς τοσοῦτον ἀνοίας ἐλάσαι ποτέ, ὥστ' ἐναργῆ ἔννοιαν καὶ σαφῆ αὐχῆσαι τοῦ κατὰ τὸ αὐτὸ εἶναι καὶ μὴ εἶναι, ἢ ὅλως τῶν ἀδυνάτων τινός· ὅπου γε αἱ τῶν ἀδυνάτων ἔννοιαι (3) τοσοῦτον ἀποδέουσιν ἐναργείας,

(1) Λογικ. (2) Μεταφ. γ'. (3) Ἐν τῇ Λογικῇ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γείας, ὥστε καὶ αὗται εἰκότως τοῖς ἀδυνάτοις συγκαταλέγονται. Οὐ γὰρ ἔστι λέγειν ὅτι δι᾽ αὐτὸ ἀδυνάτου οὔσης τῆς ἐννοίας κατηγορεῖται καὶ τὸ ἀδύνατον. Ἔδει γὰρ, εἴπερ, ἄρα μετασκευάσαι καὶ τὸ φίλτατον τῶν ἀξιωμάτων, εἰς τὸ, τὸ ἀδύνατον νοηθῆναι, ἐστὶν ἀδύνατον, ὅπως προσληφθέντος τοῦ, τὸ εἶναι ἅμα τὸ αὐτὸ καὶ μὴ εἶναι ἀδύνατον νοηθῆναι ὀρθῶς ἐπαχθείη, τὸ ἄρα εἶναι καὶ μὴ εἶναι ἀδύνατον. Ἀλλὰ πρός γε τῷ ἑτεροῖον εἶναι τὸ τοιοῦτο τοῦ προχειρισθέντος αὐτῷ ἀξιώματος, τίς οὐ ξυμφορὰ ὅτι καὶ τοῦτο εἰς τὴν ἀρχικωτάτην ἐκείνην ἀναγαγεῖν ἔξεσται τοῖς μὴ δεχομένοις; εἰ γὰρ μὴ ἀδύνατον, δυνατὸν δηλονότι. Καὶ δὴ ( ἐννοίας ἔννοιαν μηδαμῶς ἀναιρούσης ) καὶ νοητὸν, τὸ ( κατὰ τὴν ὑπόθεσιν ) νοηθῆναι ἀδύνατον. Ἐφ᾽ οἷς οὐδ᾽ ἐκεῖνο παρέλθοιμι ἂν, ὡς τὸ τοῦ Γάλλου Κριτήριον, ἐμοὶ καὶ μᾶλλον ἀσθενὲς ὂν πεφώραται, ἅτε μὴ μόνον εἰς κατασκευὴν τοῦ Ἀριστοτελείου ἐκείνου μηδὲν συμβαλλόμενον, τοῦ μηδὲ χρήζοντος, ἢ ὅλως ὑφισταμένου, ἀλλὰ καὶ εἰς τὴν τῶν πλειόνων δεῖξιν ἀσυντελὲς ὂν, καὶ ἀπρόσφορον. Ἔστω γὰρ εἴ τι ἐναργείας ἔμφασιν φέρει, ἀληθείας ἐχόμενον· καὶ κατηγορείσθω ἀνενδοιάστως διὰ τοῦτο τοῦ κύκλου τὸ περιφερὲς, καὶ τοῦ τριγώνου τὸ τρίπλευρον. Πότερον ἄρα ἔπεστι τῶν αὐτῶν κατηγορῆσαι καὶ τ᾽ ἀναντία, ἢ ἕτερα; οἷον τοῦ μὲν, τὸ μὴ περιφερὲς, ἢ τ᾽ εὐθύγραμμον, τοῦ δὲ, τὸ μὴ τρίπλευρον, ἢ τὸ τετράπλευρον; Εἰ δ᾽ οὐχί; Τίς ὁ λόγος, δι᾽ ὃν ταῦτα ψευδόμενα ἡμῖν φωραθήσεται; Ἆρ᾽ ὅτι τῇ ἐναργείᾳ τοῦ ὑποκειμένου οὐδαμῶς ἐμφαίνεται, οὐδ᾽ ἐνεπαυγάζει καθαρῶς ἐννοουμένῳ συνεννοούμενα; Ἀλλ᾽ οὕτω καὶ δευτέρου ἡμῖν κριτηρίου δεήσει ἐπὶ τῶν ἀποφάσεων τοῦ ἀποφαινομένου, πάνθ᾽ ὅσα τῷ ἐναργῶς νοηθέντι οὐδαμῶς ἐπιφαίνεται, ἀπάγειν δεῖν τοῦ αὐτοῦ ὡς ὄντα ἀλλότρια. Τίς δὲ τοῦ λόγου τούτου γένοιτ᾽ ἂν μάρτυς ἐχέγγυος; πολλὰ γὰρ οἶμαι πλείω τῶν ἀληθῶν ἠγνόηται, καὶ τῆλε μάλ᾽ ἦχι βύθιστον ὑπὸ χθονὸς ἐστὶ βέρεθρον, ἅττα εἰς φῶς ἀνιμήσασθαι, μὴ ὅτι γε ἡ Δημοκρίτου, ἀλλ᾽ οὐδ᾽ ἂν ἄλλου οὑτινοσοῦν ἡ ἱμονιὰ ἐξίκοιτο, καὶ δέος ἔπεισιν οὐ μικρὸν, μὴ πάντα ἄρδην, ὅσα τε θεῖα περιτραπῇ, ὅσα τ᾽ ἀνθρώπινα, τοῦ θεσμοῦ ἅπαξ κρατήσαντος, τοῦ τὰ ἀσαφεία συνειλημμένα ἐξόμνυσθαι χρῆναι διαγορεύοντος. Ὥστε τὴν ἀτοπίαν ἐκκλίνον-

τας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πας ἐπὶ τὴν πρωτίστην ἐκείνην ἀρχὴν ἀνιτέον· καὶ ἀνάγκη, τοῦ περιφερὲς οἰκειουμένου τὸν κύκλον μὴ καὶ τὸ μὴ περιφερές, ἢ τ' εὐθύγραμμον προσεῖναι ὑπολαμβάνειν αὐτῷ, ἵνα μὴ ταυτὸν ἅμα ᾖ καὶ μὴ ᾖ. Καὶ τό γε τετράπλευρον ἀπεῖναι λέγειν τοῦ τριγώνου, ἵνα μὴ εἰς ταυτὸ συνεκβιασθῇ τὸ εἶναι, καὶ μὴ εἶναι κατὰ τὸ αὐτὸ τρίπλευρον. Ὅτι μὲν οὖν πᾶσαν ἀπόφανσιν, καὶ δὴ καὶ τὴν τοῦ Νεωτέρου, διὰ τῆς τοῦ Ἀριστοτέλους ἀρχῆς ἀποδεικνύειν ἐστὶν, ἅλις οἶμαι φανερὸν ἐκ τῶν εἰρημένων.

## Περὶ λόγου τοῦ εἰς πειθὼ ἀποχρῶντος.

§. λζ΄. Ταῖς δὲ κατὰ τὴν γνῶσιν θεωρουμέναις ἀποφαντικαῖς ἀρχαῖς πάρεργον ἂν εἴη, καὶ τὴν τοῦ λόγου, ᾗ φασὶ, τοῦ ἀποχρῶντος, [F]συγκαταλέξαι. Ἔστι δὲ λόγος ἀποχρῶν εἰρημένος, δι' οὗ τὸ ἁπλῶς εἶναί τι, ἢ τοιόνδε εἶναι εἰσβάλλομεν. Ἐπιστάμενοι γὰρ ὅσον ἀπόχρη εἰδότας, ὁμολογῆσαί τινος τὴν ἐν τοῖς οὖσιν ὕπαρξιν, ἢ τὸ τί ἦν εἶναι, ἢ ἄλλην ἡντιναοῦν μεταβολὴν ἐπισυμβαίνουσαν αὐτῷ, ἢ σχέσιν παρεπομένην, ἐντεῦθεν εἰς συγκατάθεσιν ἐναγόμεθα τῷ τοιῷδε λόγῳ πειθόμενοι· ὃς κατ' αὐτὰ διοριζόμενος πῇ μὲν ὑπάρξεως ἤκουσε, πῇ δ' οὐσίας, πῇ δὲ τροπῆς ποιᾶς τινος, πῇ δ' ἀναφορᾶς τε καὶ σχέσεως. Διέλοι δ' αὖτις τὸν ἐν τοῖς οὖσι τοῦ κατὰ τὸν νοῦν, ὡς οὐ μικρὰν διαφορὰν πρὸς ἀλλήλους ἐχόντων, τοῦ μὲν, εἴς τι τῶν αἰτίων, οἷς τὸ ὂν ἐστὶν (§. ιγ΄.) ἀναγομένου, τοῦ δὲ, εἴς τι τῶν οἷς γινώσκεται. (§. Αὐτ.) καὶ οὐδ' εἰς ταυτὸν ἀεὶ συνιόντων, ἐξὸν ἐντυχεῖν θατέρῳ τὰ πολλὰ παρὰ θάτερον. Οὐ γὰρ ὅτι τοδὶ ἐκ τοῦδὶ, κἀμὲ εἰδέναι, ἅλις ἔχει. Τῶν γὰρ πλειόνων λανθάνει τὰ αἴτια. Οὐδὲ μὲν οὖν, εἰ ἐκ τοῦδε τόδε εἰσβάλλοιμι, ἤδη καὶ καθ' ἑαυτὰ οὕτως ἔχει τὰ πράγματα. Ἀλλ' ἐξηπάτημαι τυχὸν, κἂν μὴ, τὰ πολλὰ μέντοι συνείκασα ἐκ τῶν ὑστέρων τὰ πρότερα, καὶ ἐκ τῶν αἰτιατῶν ἐπὶ τὴν γνῶσιν τῶν αἰτίων ἀνέδραμον, ὃν δὴ τρόπον τοὺς λόγους ἀντίστροφα βαίνειν ἀλλήλοις ῥᾴδιον συνιδεῖν ἐπιστήσαντας. Πρὸς μὲν γὰρ τὸ εἶναι, τῷ β, τὸ α ἀπέχρησε, τοὐναντίον δὲ

πολ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολλάκις περίνοιαν τȣ̃ α δȣ̃ναι τὸ β ἐξήρκεσεν. Καὶ διακειτέον ἄρα ἑκάτερον. Καὶ μηδὲν μὲν εἶναι ὁμολογητέον καθ' ἑαυτὸ ὅλως, ἄνευ λόγȣ τȣ̃ ἀποχρῶντος, ὃν ἤτοι ἐν ἑαυτῷ ἔχοι, ἢ ἐν ἄλλῳ. Πλεῖστα δὲ ὑφεστάναι δοτέον, ὧν ἡμῖν ὁ πρὸς τὸ εἶναι ἀποχρῶν λόγος ἠγνόηται. Μηδὲν τε ἡμῖν γινώσκεσθαι νομιστέον δίχα λόγȣ τινὸς, τȣ̃ ὁπωσȣ̃ν εἰς γνῶσιν ἡμᾶς τȣ̃ τοιȣ́τȣ ἐνάγοντος. Τῷ μὲν ȣ̃ν ἀποχρῶντι τȣ́τῳ λόγῳ, ȣ̓χ ὅσον ἦν ἀποχρῶν, ἀπειροκάλως δὲ πάντῃ, οἱ ἐκ τῆς Γερμανῶν καθ' ἡμᾶς φιλοσοφήσαντες (1) κατεχρήσαντο, δόξαντες καινόν τι τȣ̃το εἰσενεγκεῖν εἰς Φιλοσοφίαν, τὸ παλαιότατον, καὶ ἐνδίκως ȣ̓́πω τὸν ἔλεγχον ὑποστάντες, τȣ̃ μὴ ἐπιμελὲς αὐτοῖς ἄρα γενέσθαι τοῖς Ἀριστοτέλȣς πολλαχȣ̃, καὶ Πλάτωνος ἐν Τιμαίῳ, καὶ τῶν ἄλλων ἀρχαιοτέρων, ὅσον ἐχρῆν ἐγκύψαι συγγράμμασιν. (2)

## Θεώρημα ϛʹ.

§. λή. „ Τὸ μὴ ὂν ȣ̓κ ἂν περιέχοι λόγον ἀποχρῶντα „ τȣ̃ εἶναι τί, ἢ ὧδέ πως εἶναι.

Τὸ γὰρ περιέχον ἐστίν. ( §. κή. ) Εἶναι δὲ τὸ μὴ ὂν ἀδύνατον. ( §. λ'. κτ. ) Ἄρα. Ο. Ε. Δ.

## Θεώρημα Ζʹ.

§. λθ'. „ Οὐδὲν ἂν γένοιτο ἄνευ λόγȣ τȣ̃ ἀποχρῶντος.

Φέρε γὰρ ἔστω τί γινόμενον μὲν, εἰς μηδὲν δὲ ὅλως τὸν ἀποχρῶντα λόγον τȣ̃ αὐτὸ γίνεσθαι ἀναφερόν. Τȣ́τȣ γȣ̃ν τὸ μὴ ὂν περιέξει τὸν ἀποχρῶντα λόγον ( ἐξ ὑποθ. ) τȣ̃ εἶναι. Ἀλλ' ȣ̓κ ἔνι. ( §. ἀνωτ. ) Ἄρα. Ο. Ε. Δ.

Θεώ-

---

(1) Λεϊβνίτιος, Οὐόλφιος, καὶ ἄλλοι.
(2) Ὅρα Γεννάδ. Ὅρ. μθ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα Η'.

§. μ'. „ Τὸ μὴ ὂν ἁπλῶς, ὡς ἐνδέχεται νῷ προσληφθὲν, οὐκ ἂν εἴη λόγος ἀποχρῶν τοῦ γινώσκεσθαί τι τῶν „ ὄντων.

Τὸ γὰρ μὴ ὂν οὔπω προσληφθὲν ἀπόφασιν τοῦ ὄντος ἐκφαίνει ( ἐξ ὑποθ. )· Καὶ εἰς θέσιν ἄρα ὄντος οὐδαμῶς ἐνάγει. ( §. λ'. κτ'. ) Ἀλλ. ὁ λόγος ὁ ἀποχρῶν τοῦ γινώσκεσθαί τι, εἰς τὸ κατὰ γνῶσιν τιθέναι τί ἡμᾶς ἐνάγει. ( § λζ'. ). Ἄρα κτ. Ο. Ε. Δ.

## Θεώρημα Θ'.

§. μα'. „ Τὸ μὴ ὂν κατά τι ἀποχρήσειέ ποτε, ὄντος τοῦ „ κατά τι, γνῶσιν ἡμῖν μνηστεύσασθαι.

Ἐπὶ γὰρ τῶν ἀμέσως ἀντικειμένων, ἐφ' οἷς πᾶσα ἀνάγκη προσεῖναι θάτερον, ἡ θατέρου ἀπόφασις παρεισάγει τὸ ἕτερον. Οὐ δὲ γὰρ οὐδ' ἅμα ταῦτα ὑπάρχειν ἐνδέχεται τῷ αὐτῷ. ( §. λδ'. ) οὐδὲ μηδέτερον ( ἐξ ὑποθ. ), οὐδὲ μεταξύ. Ἄρα κτ.

## Θεώρημα Ι'.

§. μβ'. „ Ὁ μὲν ἀποχρῶν λόγος τοῦ εἶναί τι, ἤτοι ἐν „ αὐτῷ ἐστὶν, ἢ ἐκτὸς αὐτοῦ. Ὁ δὲ τοῦ γινώσκεσθαι ἐν ᾧ „ αὐτὸ, ᾗ γινώσκεται.

Ὁ τοῦ εἶναί τι ἀποχρῶν πεῖσαι λόγος, εἴς τι τῶν αἰτίων ἀνάγεται ἐξ ὧν αὐτό. ( §. λζ'. ) Τῶν δὲ αἰτίων τὰ μὲν ἐν αὐτῷ εἰσὶ τῷ ἐξ αὐτῶν, τὰ δὲ ἐκτὸς αὐτοῦ. ( §. ιβ'. ιγ'. ) Ἄρα τὸ Α'.

Ὁ δὲ τοῦ γινώσκεσθαι γνῶσίς τις ἐστὶν ἡγουμένη, ἐξ ἧς γνῶσιν τινὰ ἑπομένην εἰσβάλλομεν. ( §. λζ'. ) Ἀεὶ δὲ

αὕτη

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὕτη ἐν ἐκείνῃ κατά τινα λόγον περιοχῆς γνωστικῶς ἐμπεριέχεται. (1) Ἄρα καὶ τὸ β΄.

## Θεώρημα ΙΑ΄.

§. μγ΄. „ Τοῦ ἐν ᾧ τι ἔχει τὸν ἀποχρῶντα λόγον τοῦ εἶ-
„ ναι, νῷ προσληφθέν, τὸν κατὰ τὴν γνῶσιν ἀποχρῶντα
„ λόγον περιέχει πάντως, τοὐλάχιστον συγκεχυμένως.

Τὸ εἰς γνῶσιν τινὸς ἡμᾶς ἐνάγον, τοῦτο τὸν κατὰ τὸ γινώσκεσθαι ἀποχρῶντα λόγον περιέχει πάντως. (§. λζ΄.) Ἐνάγει δὲ τὸ νοηθέν, εἰς γνῶσιν τοῦ ἐν ᾧ ἔχει τὸν ἀποχρῶντα λόγον τοῦ εἶναι, τοὐλάχιστον συγκεχυμένως. Οὐδὲν γὰρ ἂν γένοιτο ἄνευ λόγου τοῦ ἀποχρῶντος. (§. λθ΄.) Ἄρα κτ.

## Σχόλιον.

§. μδ΄. Τούτῳ δὴ τῷ θεωρήματι, ταῖς ἐκ τῶν ὑστέρων ἀποδείξεσι, ταῖς ἐκ τοῦ ὅτι λεγομέναις (2) ἡ περιοῦσα πίστις ὀφείλεται. Καὶ γὰρ καὶ τὰ αἰτιατὰ πράγματι ὄντα, αἴτια τῇ νοήσει καθίσαται, καὶ ἀνάπαλιν.

## Θεώρημα ΙΒ΄.

§. με΄. „ Τοῦ ἀδυνάτου, ὁ πρὸς τὸ εἶναι ἀποχρῶν λόγος
„ ἐν μηδενί.

Ἀπέχρησε γάρ, εἴπερ, τὸ μὲν παρέχειν τὸ εἶναι, τὸ δὲ λαβεῖν. (§. λζ΄.) Καὶ ἦν ἂν ἄρα τὸ αὐτὸ ἅμα καὶ δυνατὸν διὰ τὸ ἀκόλουθον, καὶ μή, διὰ τὴν ὑπόθεσιν. Ἀλλ' οὐκ ἔστιν. (§. λ΄. κτ΄.) Ἄρα.

Σχό-

---

(1) Λογικ. (2) Λογικ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Σχόλιον.

§. μϛ΄. Ὥστε πάνυ ὀρθῶς ἔχει τὸ εἰρημένον (1) ὡς ἐὰν ἐκ δοθέντος, ἢ ληφθέντος, ἢ ὁποιασοῦν ὑποθέσεως, ὀρθῶς τε καὶ ἀναγκαίως ἐχούσῃ τῇ ἀκολουθίᾳ τὰ ὑπ᾽ ἀλλήλων ἀναιρούμενα ἕπηται, τὸ δοθὲν, ἢ ληφθὲν, ἢ ἡ ὁποιαδηποτοῦν ὑπόθεσις, ἀδυνάτως ἕξει. Καὶ ἀνάπαλιν δὲ, δοθὲν, ἢ ληφθὲν, ἢ ὁπωσοῦν ὑποτεθὲν, οὐδόλως ἐν τοῖς ἀδυνάτοις τακτέον, εἰμὴ πρὶν φθάσῃ δειχθῆναι τὰ ἐντεῦθεν ἑπόμενα, ὑπ᾽ ἀλλήλων ἀναιρέπεσθαι. (2) Ἔνθεν τοι καὶ τῷ Ἀριστοτέλει (3) τὴν ἐν χρόνῳ τοῦ κόσμου ὑπὸ τοῦ κρείττονος παραγωγὴν τῶν ἀδυνάτων εἶναι ὑπολαμβάνοντι προαποδεικτέον ἂν εἴη τὴν ἐντεῦθεν ἑπομένην ἀντίφασιν. Ἡμῖν δὲ τοὐλάχιστον ἐν τοῖς δυνατοῖς τακτέον τὸ πρᾶγμα, ἕως οὔτις τῶν τοῖς ἐκείνου δεισιδαιμόνως στοιχούντων δόγμασιν, ἐμφανὲς στήσῃ τὸ ἐκ τούτου ἐπιφερόμενον ἄτοπον.

## Θεώρημα ΙΓ΄.

§. μζ΄. „ Οὗπερ ἂν ὁ ἀποχρῶν λόγος ἔν τινι κεῖται „ φανερὸν ᾖ, ἐκεῖνο καὶ δυνατόν.

„ Εἰ γὰρ ἀδύνατον, τοῦ τοιούτου ὁ ἀποχρῶν λόγος ἐν μηδενί. ( §. με΄. ) Ἅμα δὲ καὶ φανερὸν ( ἐξ ὑπ. ) ὅτι ἔν τινι. Ἀλλ᾽ οὐκ ἔστιν. ( §. λ΄. κξ΄. ) Ἄρα κτ.

## Σχόλιον.

§. μη΄. Ὃς ἂν ἄρα ὑποθείη τίνι δήποτε λόγῳ ἔχοι αὐτι εἰς πέρας ἀχθῆναι, δυνατὸν πάντως τὸ περὶ οὗ ὁ λόγος

(1) Ἀντών. Γενουήνσ. Μεταφ. μέρ. α΄. Κεφ. α΄. Τερ. Δ΄.
(2) Αὐτ. προτ. ε΄. (3) Ἐν τοῖς περὶ οὐρανοῦ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γος ἐςὶν, ἀναδείξει (1). „ Οὕτω γάρ τοι καὶ Ἀρχιμήδης, „ Ἱέρωνι τῷ βασιλεῖ συγγενεῖ τε ὄντι καὶ φίλῳ, ἔγραψεν ὡς „ τῇ δοθείσῃ δυνάμει, τὸ δοθὲν βάρος κινῆσαι δυνατὸν „ ἐςί· καὶ νεανιευσάμενος (ὥς φασι) ῥώμῃ τῆς ἀποδεί- „ ξεως, (καθ᾿ ἣν ἀμέλει τὸν λόγον ὑπετίθετο, ὥπερ αὖ ὀξείη εἰς πέρας αὐτῷ ἀχθῆναι τὸ προβαλλόμενον) εἶπεν „ ὡς εἰ γῆν εἶχεν ἑτέραν, ἐκίνησεν αὖ ταύτην μεταβὰς „ εἰς ἐκείνην. (2) Προσεκτέον ἀλλ᾿ οὖν μὴ πλέον ἢ δυνατὸν, τὸ οὕτως ἀποδειχθὲν ἡγεῖσθαι, οἴεσθαι δὲ καὶ ἄλλων ἔτι λόγων προσδεῖν εἰς κατασκευὴν τοῦ αὐτὸ ὑπάρχειν. Πολὺ γάρ τι διαφέρει τὸ εἶναι τοῦ δύνασθαι. Διὸ καὶ ὁ μηχανικὸς, ἐπεὶ γῆς ἔξω μὴ εἶχε ποῦ ςῆ, οὐδὲ ἐκίνησε. „ Δός γάρ ποῦ ςῶ, καὶ τὴν γῆν κινήσω.

## Θεώρημα ΙΔ΄.

§. μθ΄. „ Ἀποχρῶντα λόγον, καὶ μὴ, τὸν αὐτὸν τοῦ αὐ- „ τοῦ, εἴς τε τὸ εἶναι, καὶ τὸ γινώσκεσθαι, εὑρεῖν δυνατόν.

Τὰ πολλὰ γὰρ ὁ αὐτὸς λόγος παρίςησι μέν τι δυνατόν. (§. μζ΄.) Καὶ τοῦτ᾿ ἐςὶ τὸ ά.

Οὐμὴν δὲ καὶ ἐνεργείᾳ ὑφεςός. (§. μή.) καὶ τοῦτο τὸ δεύτερον.

Καὶ λόγος δέ τις μέχρι τινὸς ἀπέχρησε πεῖσαι. (3) Ο. Η. τὸ γ΄.

Οὐμὴν δὲ καὶ τέλεον εἰς συγκατάθεσιν τὸν νοῦν ἐκβιάσασθαι. (4) Ο. Η. τὸ δ΄.

## Περὶ τῶν ἐν Ἀποδείξεσιν Ἀρχικωτάτων.

§. ν΄. Ὅτι μὲν οὖν καὶ ἀποδείξεις ἀποδείξεων ἄλλαι ἄλλων, εἰσὶν ἀρχικώτεραι, καὶ ἀνωτέρω (§. ιζ΄.) ὑπηνιξάμε-

(1) Γενεύσ. ἔνθα ἀνωτ. Προτ. ς΄.
(2) Ὅρα Πλουτάρχ. εἰς βίον Μαρκέλλου. (3) Λογικ. (4) Λογικ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μεθα. Ἀρχικὰς οὖν σὺν Ἀριστοτέλει (1) φαμὲν, τὰς στοιχειώδεις, καὶ ὧν αἱ προκείμεναι ὑποθέσεις εἰσὶ, ταυτὸν εἰπεῖν, προτάσεις ἐποπτικαί τε καὶ ἀξιωματικαί. (§. κγ'.) Αἱ δὲ τοιαῦται ἀποδείξεις καὶ πρῶται. „ Πρῶται δὲ καθὸ „ καὶ ἐν πλείοσιν ἀποδείξεσιν ἐνυπάρχουσαι. Εἰσὶ δὲ τοιοῦ„ τοι συλλογισμοὶ οἱ πρῶτοι ἐκ τῶν τριῶν δι' ἑνὸς μέσου. „ Οἱ αὐτοὶ δὲ καὶ ἔσχατοι. (2) Πρῶτοι μὲν συνθέσει, ἔσχατοι δὲ ἀναλύσει. Οἷον εἰ δέοι τὸ τρίγωνον ἀποδεῖξαι τοῦ τετραγώνου ἁπλούστερον εἶναι, διὰ δυοῖν συλλογισμῶν τὴν δεῖξιν περανεῖς, ὧν ὁ μὲν α'. ἐκ προκειμένων τοῦ μὲν ἀξιώματος, τοῦ δὲ ὁρισμοῦ, καὶ διὰ τοῦτο ἀναποδείκτων, ἔσται ὁδί. Τὸ ἐκ τριῶν ἁπλούστερον τοῦ ἐκ τεσσάρων· τὸ δὲ τρίγωνον ἐκ τριῶν, τὸ ἄρα τρίγωνον ἁπλούστερον τοῦ ἐκ τεσσάρων. Ὁ δὲ β'. ἐξ ὁρισμοῦ καὶ τοῦ συμπερανθέντος τοῦ α'. καὶ ἤδη ὑποτιθεμένου, οὕτος. Τὸ ἐκ τεσσάρων τετράγωνον. Τὸ τρίγωνον ἁπλούστερον τοῦ ἐκ τεσσάρων. Τὸ ἄρα τρίγωνον ἁπλούστερον τοῦ τετραγώνου. Ὡς εἴγε τοῦτον α'. σκοπήσαις, καὶ τὴν ἐλάσσονα οὐθ' ὁρισμὸν οὖσαν, οὔτε ὅλως ὑπόθεσιν, κρατῦναι ἐπιχειρήσαις, ἐπ' ἐκεῖνον τέως ἐπανελεύσῃ τὸν δι' αὐτοπίστων, ὁρισμοῦ λέγω καὶ ἀξιώματος ὑποσυνάπτοντα καὶ ταύτην, καὶ πέρας σοι ἕξει ἐπὶ τοῦ στοιχειώδους ἐκείνου τὰ τῆς ἀναλύσεως. Ὃν οὐδὲ ἔργον ὅλως οὐδὲν, ἐκ τριῶν ὅρων δι' ἑνὸς μέσου συγκείμενον ἐπιγνῶναι, τὰ μὴ ἐπιδεῆ δείξεως ὑποτιθέμενον, κἂν τούτῳ τοῦ β'. διαφέροντα τοῦ τὴν ἐλάσσονα φέροντος μὴ αὐτόπιστον, ἀλλὰ διὰ μέσου β'. τοῦ ἐν τῷ προτέρῳ συλλογισμῷ χώραν ἔχοντος ἀποδεικνυμένην. Καὶ ταῦτα μὲν οὕτως ἔχει. Ἀπορῆσαι δὲ ἄξιον οἶμαι, εἴτις ἐστὶ συλλογισμὸς τῶν πάντων ἀρχικώτατος, οἷα δὴ καὶ ἀπόφανσις φέρεταί τις οὖσα πρωτίστη, (§. λ'.) καὶ ἔννοια, (§. κ'.) τοῦτο γὰρ ὑπολαβεῖν οὐ δοκεῖ. Ἔοικε δὲ τὰς ἐξ ὑποθέσεως ἁπάσας ὁμοταγεῖς εἶναι, ὅτι πρὸς τὴν αὐτὴν τὰς προκειμένας ἀρχὴν ἀμέσως ἀνάγουσιν. Οἷον τοῦ α'. τῶν ἐπαχθέντων συλλογισμῶν ἡ α'. καὶ ἡ δευτέρα, αὐτόθεν πορίζονται

(1) Μεταφ. Δ'. (2) Μεταφ. Δ'.

ται τὰ τῆς πίστεως. Εἰ γὰρ μὴ ἁπλούστερον, καὶ ἁπλούστερον ὅτι ἐκ τριῶν πρὸς τέτταρα. Καὶ εἰ μὴ τὸ τρίγωνον ἐκ τριῶν, καὶ ἐκ τριῶν ἅμα ὅτι καὶ τρίγωνον. Καὶ ἐπὶ τῶν ἄλλων ἀποδείξεων ὡσαύτως, ὅσαι ἐξ αὐτοπίστων συγκροτούμεναι πρῶται εἰσὶ, καὶ προτέρας ἄλλας αὐτῶν οὐκ ἔχουσι. Τοῦ γὰρ πρώτου πρῶτον οὐδέν. Εἰ δέ τῳ δόξειε πρώτιστον καὶ ἀρχικώτατον Συλλογισμὸν, τὸν πρώτως ἡμῖν ἐπιβάλλοντα ἐξειπεῖν, καὶ οὗ μάλιστα ἡμῖν διαφέρει τὸ συναγόμενον, οὐδεὶς ἂν τῶν πρωτείων ἀμφισβητήσειεν εἰκότως τῷ τοῦ Καρτεσίου ἐκείνῳ, δι' οὗ πρωτίστην τινὰ ἀπόδειξιν εὑρεῖν διασκοπῶν, ἥπερ ἂν ἔξω ἐνδοιασμοῦ τοῦ συνέχοντος αὐτὸν γένοιτο, τὴν ἰδίαν συνῆκε πρώτως κατασκευάζων ὕπαρξιν αὐτὸς τὴν αὐτοῦ, καρπὸν τῆς γινομένης αὐτῷ μελέτης, τὸ ἐπιστημόνως, ὅτι ἐστὶν εἰδέναι ἀπενεγκάμενος. Ὁ γὰρ νοῶν (εἰσέβαλλεν ἐκεῖνος) ἐστίν. Εἰ χρὴ διαφυγεῖν τὴν ἀντίφασιν; Ἀλλ' αὐτὸς ἤδη νοῶ. Ἄρα εἰμί. Cogito. Ergo sum.

## ΚΕΦΑΛΑΙΟΝ Γ'.

### Περὶ Ἀρχῶν Γενέσεως καὶ Συνθέσεως, ἤτοι περὶ Αἰτίων.

§. να'. Αἴτια, τὰ ἀπὸ τῶν, ἃς φθάσαντες κατελέξαμεν (§. ιβ'. ιγ'.), ἀρχῶν ἀφοριζόμενα, ἀριθμεῖται τὰ θρυλλούμενα τέτταρα. Τὸ ποιητικὸν, τὸ τελικὸν, τὸ ὑλικὸν, τὸ εἰδικόν. Ὧν τὰ μὲν δύω ἐκτὸς εἰσὶ τοῦ αἰτιατοῦ, τὰ δὲ ἐν αὐτῷ ἐνυπάρχοντα. Καὶ ποιητικὸν μὲν ὑφ' οὗ· τελικὸν δὲ οὗ ἕνεκα, ἢ δι' ὅ· ὑλικὸν δὲ ἐξ οὗ· εἰδικὸν δὲ καθ' ὅ,τι τὸ εἶναι ἔχει λαβὸν, ὡς ἡ ἔξωθεν σοφία, τῇ περὶ τὰς συλλαβὰς τεχνολογίᾳ (1) ταῦτα διέκρινεν. Ἀλλὰ φιλοσοφεῖν βουλομένους, τῇ δοκιμασθείσῃ τοῖς ἀρχαίοις τῶν ὀνομάτων χρή-

(1) Βασίλ. περὶ Πνεύμ. Κεφ. γ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χρήσει ἐμμένειν εἰκός· ἐκεῖνο δὲ θαυμαστὸν, ὅτι οὐδὲ τὸν ἀριθμὸν τινὲς ἐῶσιν ἀπαρακίνητον. Οἱ μὲν γὰρ τοῖς εἰρημένοις καὶ τὸ ὀργανικὸν δι' οὗ, καὶ τὸ παραδειγματικὸν πρὸς ὃ παρασυνάπτοντες (καί τοι τοῦ μὲν ἐπὶ τὸ ποιητικὸν, τοῦ δὲ ἐπὶ τὸ εἰδικὸν, καταχρηστικώτερον, ἀνακαλουμένων) εἰς ἑξάδα τὸν ἀριθμὸν τῶν αἰτίων πληθύνουσιν. Οἱ δὲ δύω μόνα εἰσάγουσι, τὸ μὲν πρακτικὸν, τὸ ποιητικόν. Τὸ δὲ συστατικὸν, ὅπερ εἰς τὸ ὑλικὸν καὶ τὸ εἰδικὸν διανέμουσι. Τὸ γὰρ τελικὸν ὡς μηδὲν ὂν, ἢ κατ' ἐπίνοιαν, καὶ μετὰ τὴν ἀπόβασιν ὑφιστάμενον (μετὰ γὰρ τὸ περιπατεῖν, φασὶν, ἡ ὑγίεια πράγματι.) καὶ μηδὲν οἷον εἰς παραγωγὴν, ἢ συμπλήρωσίν τι συντελέσαι, τῆς τετρακτύος τῶν αἰτίων ἀποστερίττουσιν. Οἱ δὲ μονώτατον τὸ ποιητικὸν ἀποδέχονται, τὸ δραστήριον καὶ ἐνεργὸν εἶναι, εἰς λόγον αἰτίου ἀπαιτεῖσθαι, ὑπολαμβάνοντες. Ἀλλὰ τοὺς μὲν, ἡ ἐπὶ τὰ κυρίως αἴτια τῶν καταχρηστικῶς τοιούτων ἀναγωγή τε καὶ ὑπαλληλία περιττὰ λέγοντας ἀνέδειξεν. Τοὺς δὲ, τὸ διατί προτεινόμενον, πρὸς ὅπερ ἀποδιδόναι τὸ τελικὸν ἀπαντῶντες εἰώθαμεν, ῥαδίως ἐξήλεγξε· διατί γὰρ περιπατεῖ; φαμὲν, ἵνα ὑγιαίνῃ. „ Καὶ εἰπόντες οὕτως οἰόμεθα ἀποδεδωκέναι τὸ „ αἴτιον. (1) Εἶτα καὶ εἰ ὕστερον τῇ ἐκβάσει, πρότερον ἐστὶ τῇ νοήσει τὸ τέλος. Καὶ εἰ μὴ τὴν ὕλην, τὸ γεμὴν περὶ τὴν ὕλην ποιεῖν κινεῖ τελικῶς. Ἐκστρατεύσων γὰρ, τὰ ὅπλα ἑαυτῷ παρεσκεύασεν. Εἰ γὰρ ἁπλῶς, οὐδ' ἂν τὸ ποιητικὸν ἐνήργησεν, ἢ τὸ γεγονὸς ὅλως παρήχθη. Καὶ „ ἐστιν ἧττον οὐδενὸς τῶν αἰτίων τῆς φύσεως δεύτερον τὸ „ τέλος, οὗ χάριν γέγονεν.... ἄνευ γὰρ τῆς τοιαύτης αἰ„ τίας οὐδ' ἂν τὴν ἀρχὴν ὁ ἀνδριὰς, φέρ' εἰπεῖν, γέγονεν· (2) ὥστε πολλὴ τοῦ τέλους ἡ δύναμις, ἢ τέλος. Οὐ καλῶς δὲ ποιοῦντες, οὐδὲ τὸ ὑλικὸν καὶ εἰδικὸν εἰς ταυτὸ συνωθοῦσι, τὸ συστατικόν. Καὶ γὰρ καὶ τῇ φύσει συνιζόμενα, ἀλλ' εἰ-

δει

(1) Μεταφ. Δ'.

(2) Ἀφροδισιεὺς παρ' Εὐσεβ. περὶ Εὐαγγ. Προπαρ. βιβλ. ϛ'. Ἀριθμ. θ'.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δεῖ διαφέρουσι. Τὸ μὲν γὰρ δυνάμει, τὸ δὲ ἐνεργείᾳ. Καὶ τὸ μὲν ἐπιδέχεται, τὸ δὲ ἐπιγίγνεται. Καὶ τὸ μὲν ἐστὶ τελειωτὸν, τὸ δὲ τελειωτικόν. Ὁ γὰρ τῶν αἰτίων ἀριθμὸς οὐ φύσει, ἀλλ᾽ εἴδει ἐπὶ τοῦ παρόντος διώρισται. Τούτοις παραπλήσια λεκτέον, καὶ πρὸς τοὺς οἰομένους ἐνὶ τῷ ποιητικῷ, τοῦ αἰτίου προσοφείλεσθαι τὸ ἐπώνυμον. Πρὸς δὲ, ὅτι οὐκ ὀρθῶς τὸ πρὸς ἐνέργειαν δραστήριον, γνώρισμα εἶναι καθόλου εἰς λόγον αἰτίας ὑπέθεντο. Οὐ γὰρ αὖ, εἴπερ, τοῦ αὐτοῦ αἰτίου διαφέροντα ἦν τὰ αἰτιατά· οὐδ᾽ αὖ εἶχεν αἴτιον τὸ εἶναι, ἀλλ᾽ ἢ μόνον τὸ γίνεσθαι. Αἵτε σύνθετοι τῶν οὐσιῶν, κατ᾽ αὐτοὺς, ἀναίτιοι, ἢ οὐσίαι. Ταύτῃ γάρ τοι οὐδὲ γίνονται. Ἀλλὰ βέλτιον ἴσως ἐκείνους, ἥπερ αὖ ἐθέλωσιν ὑπολαμβάνειν τὰ τοιαῦτα ἐάσαντας, περὶ ἑκάστου τῶν τεττάρων ἀκριβέστερόν τε καὶ ἰδιαίτερον σκέψασθαι.

## Περὶ τοῦ Ποιητικοῦ.

§. νβ΄. Αἴτιον οὖν κατ᾽ ἐξοχὴν, καὶ μάλιστα, τὸ ποιητικόν. Ἐστι δὲ τὸ, ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς ἡ πρώτη, ἢ τῆς ἠρεμήσεως. (1) Ἢ, ὅπερ ὁπωσοῦν ἐνεργοῦν, ἀρχὴ τῆς ὑπάρξεως τοῦ αἰτιατοῦ γίγνεται. Φέρονται δὲ τούτου διαιρέσεις πολλαί. Τὸ μὲν γὰρ ποιητικὸν ἐστὶ φυσικῶς, τὸ δὲ μεταφυσικῶς, τὸ δὲ ἠθικῶς. Καὶ φυσικῶς μὲν ποιεῖν λέγεται, ὃ, τῇ ἐν αὐτῷ ἐνούσῃ δυνάμει, τὸ αὐτοῦ πράγματι διακεκριμένον ποιεῖ, οἷον φέρ᾽ εἰπεῖν ὁ οἰκοδόμος. Μεταφυσικῶς δὲ, ὃ, τὸ μὴ διακεκριμένον, ὅτι μὴ τῷ λόγῳ. Οὕτως οἷον ποιητικόν τι νοῦ καὶ βουλήσεως τὴν ψυχὴν, καὶ τὸν νοῦν τοῦ διανοήματος φαμὲν, καὶ ἁπλῶς τὰς μὲν οὐσίας τῶν δυνάμεων, τὰς δὲ δυνάμεις τῶν ἐνεργειῶν, καί τοι μὴ ὡς ὄντα ὄντων πράγματι διακεκριμένας. Ἄλλωςτε δὲ μηδὲ καθ᾽ ἑαυτὰς εἰδότες οὔσας ποιητικὰς τὰς οὐσίας, ὅτι μὴ, ἢ διὰ τῶν ἰδίων δυνάμεων ἐνεργοῦσαι, παρακτικαὶ τινῶν γίνον-

(1) Μεταφ. Δ΄.

νονται. Ἠθικῶς δὲ ποιητικὸν, ὃ μὴ διὰ τῆς ἐν αὐτῷ δυνάμεως, δι' ἑτέρου δὲ ποιεῖ· οἷον ἐπιτάξας, ἢ βουλεύσας, ἢ δοκιμάσας καὶ συναινέσας, ἢ, μὴ ὡς ἐνὸν κωλύσας, τοῦ φόνου παραίτιος κρίνεται, καίτοι ἑτέρου τοῦ διαπραξαμένου.

§. νγ΄. Τοῦ μὲν οὖν φυσικοῦ τοῦ κυρίως τὸ ποιητικὸν εἶναι οἰκειουμένου, τὸ μὲν μετὰ βουλῆς ποιεῖ, τὸ δ' ἀναγκαίως. Τὸ μὲν γὰρ εἰς τέλος ἀφορᾶ τι, ὑφ' οὗ κινεῖται, οἷον ὁ τὸν πολέμιον κτείνας, τὸ δὲ ὑπὸ τῆς ἐν αὐτῷ φύσεως ἄγεται, οἷον τὸ πῦρ καῖον. Καὶ αὖθις τοῦ ποιητικοῦ, τὸ μὲν συνώνυμον εἴρηται, ὁμοειδὲς ὂν τῷ ἀποτελουμένῳ, οἷον ἄνθρωπος ἄνθρωπον γεννᾷ. Τὸ δὲ ἀνάλογον, οἷον τὸ φάρμακον ὑγιάζει. Τὸ δὲ ὁμώνυμον, καὶ τῷ εἴδει πάντῃ ἕτερον, οἷον ὁ Θεὸς δημιουργεῖ τὸ πᾶν. Καὶ αὖθις τὸ μὲν καθόλου ἐστὶν, ὃ πλεῖστά τε, καὶ διαφέροντα ἀποτελεῖ, οἷον ἥλιος σκληρύνει μὲν πηλὸν, τήκει δὲ κηρὸν, θάλπει δὲ φυτὰ, ὄμβρους δὲ φέρει, κτ. τὸ δὲ κατὰ μέρος, οἷον ἁγιάζει τὸ ἅγιον. Τὰ γοῦν καθόλου ποιητικὰ ἀεὶ καὶ ὁμώνυμα, τὰ δὲ κατὰ μέρος ὡς τὰ πολλὰ καὶ συνώνυμα. Καὶ αὖθις τὸ μὲν προκαταρκτικὸν, καὶ αὐτουργικόν. Τὸ δὲ συνεργὸν, καὶ συμβοηθητικόν. Τὸ δὲ ὑπουργὸν, καὶ ὀργανικὸν, περὶ ὧν ἀνωτέρω (§. ιβ΄.) εἴρηται. Ἔτι τὸ μὲν πρῶτον ποιητικὸν, καὶ αἴτιον πρώτιστον, τὸ ὑπέρτατον, τὸ αἰώνιον, τὸ μηδενὸς ἠρτημένον, τὸ αὐτοκίνητον, μᾶλλον δὲ ἀκινήτως τὰ πάντα κινοῦν, καὶ κοσμοῦν ὁ πατὴρ πάντων Θεός. Δεύτερα δὲ ποιητικὰ, ἃ τὸ εἶναι καὶ ἐνεργεῖν ἔχει ἀπὸ τοῦ Πρώτου ἀπηρτημένως. Ἔτι τὸ μὲν προσεχὲς ποιητικὸν καὶ ἄμεσον, οὗ μεταξὺ καὶ τοῦ αἰτιατοῦ, οὐδὲν ἐγχωρεῖ. Τὸ δὲ πορρώτερω καὶ ἔμμεσον, εἴτι μεταξὺ, ἢ πλείω παρεγχωρεῖ· οἷον ἡ Μενελάου ξενία παραίτιος τοῦ πεσεῖν τῇ Τροίᾳ κατέστη πορρωτέρω, ἡ δὲ τοῦ Πάριδος ὕβρις προσεχέστερον, καὶ ἔτι μᾶλλον τὸ Ἑλληνικὸν εἰς ἄμυναν κινηθέν. Καίτοι ταῦτα ἠθικῶς, φυσικώτερα δὲ τὰ μέσα, ὁ γὰρ δοὺς, διὰ τοῦ δηλητηρίου ἀπώλεσε. Καὶ ἐπὶ παντὸς δὲ ποιητικοῦ, τὰ καθόλου ἀεὶ πρότερα. Ὑγιείας καὶ γὰρ αἴτιον καὶ ὁ ἰατρὸς, καὶ ὁ τεχνίτης, ἀλλὰ τὸ μὲν πρότερον, ἐκεῖνο δὲ ὕστερον. Ἔτι τὸ μὲν, ποιητικὸν ἐστὶν ἀποχρῶν δι' ἑαυτοῦ, ὃ μόνον ποιεῖ, τὸ δὲ μὴ, ἀλλὰ σὺν ἄλλῳ, ἢ ἄλλοις. Τοιαῦτα δὲ τὰ συναίτια,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τια, καὶ ὅσα αὖθι τῶν συνεργῶν ἀρχῶν (§. ιβ΄.) οὐχ οἷα ἐςὶν εἰς τέλος ἀγαγεῖν τὸ προκείμενον. Τελευταῖον τὸ μὲν ἔςι καθ᾽ αὐτὸ ποιητικὸν, τὸ δὲ κατὰ συμβεβηκός. Καὶ καθ᾽ αὐτὸ μὲν, ὅπερ, ᾗ πέφυκε, ποιεῖ, κατὰ συμβεβηκὸς δὲ διχῶς. Ἤτοι γὰρ ὡς ἐκ τοῦ αἰτίου, ἢ ὡς ἐκ τοῦ αἰτιατοῦ. Κἀκείνως μὲν ὁ τυφλὸς λέγεται τὰ Ἰλιακὰ πεποιηκέναι, ὅτι συμβέβηκε τῷ Ποιητῇ τυφλῷ εἶναι. Οὕτω δὲ ξιχῶς. ἢ γάρ τοι τὸ προσιςάμενον ἦρεν ἐκ μέσου, καὶ τὸ ἀποβὰν οὕτως ἐτέλεσεν, οἷον τὸ σκαμμώνιον τὴν χολέραν καθαῖρον, ψυκτικὸν εἶναι λέγεται· ἢ πρὸς ἄλλο ἀφορῶντι παρὰ τὸν σκοπὸν ἀπέβη ἕτερον, οἷον ἡ τοῦ θησαυροῦ εὕρεσις τῷ φρέαρ ὀρύσσοντι. Τοῦτο δὴ τὸ ἀπὸ τύχης συμβαίνειν ψυχῶς λεγόμενον, οἷα που καὶ ἐπὶ τῶν ἀπροαιρέτων τὰ ἐκ ταυτομάτου. (1) Ἢ πέως ἀλλαχόθεν, καὶ ἐξ ἄλλου αἰτίου, τῷ αἰτιατῷ τι εἰς ταυτὸ συνεκύρησε· καθ᾽ ὃ καὶ τὸ περὶ ἀθανασίας ψυχῆς γράμμα τοῦ Πλάτωνος, θάνατον τῷ Ἀμβρακιώτῃ ἐκείνῳ προεμνηστεύσατο.

## Θεώρημα ΙΕ΄.

§. νδ΄. „ Τοῦ μηδενὸς ποιητικὸν οὐδέν.

Εἴπερ γὰρ, ἦν ἂν τὸ ποιητικὸν ἀρχὴ τῆς τοῦ μηδενὸς ὑπάρξεως (§. νβ΄.) τῷ δὲ μηδενὶ ὕπαρξις οὐκ ἔςιν. (§. λ΄.) Ἄρα κτ.

## Θεώρημα Ις΄.

§. νε΄. „ Τὸ μηδὲν οὐκ ἄν τινος εἴη ποιητικόν.

Μηδὲν γὰρ ὂν, οὐδ᾽ ἂν ἐνεργήσειεν ὅλως (§. λ΄.) ἐπεὶ δέ τοι ἐνεργοῦν ὁπωσοῦν, τὸ ποιητικὸν παραίτιον καθίςαται τοῦ εἶναί τι, (§. νβ΄.) δῆλον ὅτι τὸ μηδὲν κτ.

Θεώ-

(1) Ἀρις. Φυσ. β΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΙΖ'.

§. νϛ'. „ Οὐδὲν αὐτὸ ἑαυτοῦ ποιητικὸν γένοιτ' ἄν.

Ποιητικὸν γὰρ ἑαυτοῦ ὄν, καὶ ποιητὸν ἑαυτοῦ ἔσαι. Εἰ δὲ ποιητὸν, πρὸ τοῦ ποιηθῆναι πάντως οὐκ ἦν· μὴ ὂν δὲ, κατ' αὐτὸ καὶ μηδὲν ἦν. ( §. λ'. ) Τὸ δέτοι μηδὲν οὐκ οὔτινος εἴη ποιητικὸν ( §. νέ. ) Ἄρα κτ.

## Θεώρημα ΙΗ'.

§. νζ'. „ Οὐδὲν ποιητὸν αὐθι ποιητικοῦ, ὃ παρ' αὐτοῦ εἴη.

Ἤτοι γὰρ τὸ μηδὲν τούτου ποιητικὸν ἔσαι, ἢ αὐτὸ ἑαυτοῦ. Ἀλλ' οὐχὶ τὸ ά. ( §. νέ. ) Οὐδὲ μὴν οὖν τὸ β'. ( §. νϛ'. ) Ἄρα.

## Σχόλιον.

§. νή. Ἐντεῦθεν ἐκσυρίττεται ἡ τύχη καὶ τὸ αὐτόματον, ὡς κενὰ ὄντα πραγμάτων ὀνόματα, καὶ μηδὲν τῶν ἐν τοῖς οὖσιν ὡρισμένως ὑφεσηκότων σημαίνοντα, πολλῶν δὲ παραίτια εἰσαγόμενα. Ὅσα γὰρ τοῖς ἀμβλυωδοῖς τούτοις ὀνόμασιν ὁ χύδην ὄχλος φέρων ἀνατίθησι, πραγματιώδη καὶ ὑφεσότα, ἐν τῇ φύσει ἔχει τὰ αἴτια, ἃ τῶν ὑπὲρ τοὺς πολλοὺς γινομένων τοῖς λογισμοῖς ἐσὶν ἐξετάζειν, οἳ κἂν μὴ περιτύχωσι τῷ αἰτίῳ πολλὰ μοχθήσαντες, οὐδὲν ἀλλ' οὖν ἧττον, προϋφεσάναι τι τοῦτο, εἰ καὶ λανθάνον ἴσασι, καὶ ὁμολογοῦσι τῇ ἀνάγκῃ τοῦ λόγου πειθόμενοι. Μηδὲν γὰρ ὑπὸ μηδενὸς εἶναι ἄνωθεν τέθριπται παρὰ πᾶσι, καὶ παρὰ τοῖς Ἐπικουρείοις αὐτοῖς (1) παρ' οἷς, εἰμήτι ἄλλο, δημιουργὸς ἐκ τῶν ἀτόμων εἰσήγετο ἡ αὐτοῖς ἐμφύτως ἐνοῦσα τῆς βαρύτητος

---

(1) Λουκρήτ. ἐκ σίχ. 160. ἄχρι 265.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τος δύναμις, ἐξ ἧς ἡ ἀρχὴ τῆς αὐτῶν ἐκείνων κινήσεως. (1) Μηδέπω δὲ ἡ δημιουργηθεῖσα φύσις ἀνασκευάζειν δοκείτω τὸ δόγμα, ὃ ἐκ τοῦ μηδενὸς ὑποστῆναι πεπείσμεθά τε, καὶ κατὰ λόγον θρησκεύομεν. Εἰ γὰρ ἐκ μὴ ὄντος, ὡς ἐξ ὕλης προϋφεστώσης τὸν κόσμον πρεσβεύομεν, ἀλλ᾽ οὐκ αὔποτε, καὶ ἐκ μηδενὸς εἶναι ποιητικοῦ, παρ᾽ οὗ λαβὼν αὖ σχοίη τὸ εἶναι, δοίημεν.

## Θεώρημα ΙΘ΄.

§. νθ΄. „ Τὸ πρῶτον ποιητικὸν μόνον ποιητικόν.

Καὶ ποιητὸν γὰρ ὄν, εἶχεν αὖ τὸ ποιητικόν. ( §. νζ΄. ) ἀφ᾽ οὗ κατὰ λόγον αἰτίας ἀπήρτητο. Ἀπήρτηται δὲ τὸ πρῶτον ποιητικὸν ἀπὸ μηδενός. ( §. νγ΄. ) Ἄρα κτ.

## Θεώρημα Κ΄.

§. ξ΄. „ Τὰ δεύτερα ποιητικά, ἐξ ἀνάγκης καὶ ποιητά.

Εἰ μὴ γάρ, μόνον δὲ ποιητικά, καὶ πρῶτα ἄρα. (§. νθ΄.) Ἔστι δὲ καὶ δεύτερα ( ἐξ ὑποθ. ) ὅπερ ἄτοπον. ( §. λ΄. ) Ἄρα κτ.

## Θεώρημα ΚΑ΄.

§. ξα΄. „ Τὸ ποιητικὸν τοῦ ποιητικοῦ, ποιητικὸν καὶ τοῦ ὑ-„ π᾽ ἐκείνου, ἀλλὰ πορρωτέρω.

Οὐ γὰρ αὖ ἐποίει τὸ β΄, μὴ ὄν. ( §. νέ. ) μὴ ποιοῦντος δὲ τὸ ἐξ αὐτοῦ οὐκ αὖ ὑποσταίη. ( §. νζ΄. ) Ἔστι δέ τοι διὰ τὸ α΄. ( ἐξ ὑποθ. ) ποιεῖ ἄρα διότι ἐκεῖνο καὶ ἔστι, καὶ ποιεῖ. Ταύτῃ τοι καὶ ὃ ποιεῖ, ὑπ᾽ ἐκείνου ἤρτηται τὸ εἶναι. Τὸ

---

(1) Λαέρτ. βιβλ. ί.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸ δ' ὁπωσῦν τῆς ὑπάρξεως παραίτιον γινόμενον κατ' ἐνέργειαν, ἐκεῖνο καὶ ποιητικόν. ( §. νβ'. ) Ἄρα τὸ ά.

Ἐγχωρεῖ δὲ μεταξὺ τῶν ἄκρων τὸ μέσον ( ἐξ ὑποθ. ) Ἄρα ( §. νγ'. ) καὶ πορρωτέρω. Ὃ τὸ β'.

## Θεώρημα ΚΒ'.

§. ξβ'. „ Τὸ ποιητὸν τοῦ ποιητικοῦ, καὶ τοῦ τούτου ποιητικοῦ.

Οὐ γὰρ ἂν ἦν, εἰμὴ ἐνήργει τὸ β'. ( §. νέ. νζ'. ) Οὐδὲ τὸ β', εἰμὴ τὸ ά. ( αὐτ. ) Οὐκ ἄρα οὐδ' εἰμὴ τὸ ά. ἕκαστον δὲ τὸ ἀφ' οὗ ὁπωσοῦν ἐνεργοῦντος ἔχει τὸ εἶναι, ποιητὸν ἐκείνῳ ἐστί. ( §. νβ'. ) Ἄρα κτ.

## Θεώρημα ΚΓ'.

§. ξγ'. „ Τῶν δευτέρων ποιητικῶν αἰτίων, τὸ αὐτὸ πρὸς „ τὸ αὐτὸ, οὐκ ἂν εἴη καὶ ποιητικὸν, καὶ ποιητόν.

Κείσθω γὰρ τὸ Α αἴτιον εἶναι ποιητικὸν τοῦ Β, καὶ ἅμα ποιητὸν τοῦ Β. ( καθ' ὑπόθ. ) Διὰ μὲν οὖν τὸ β' τὸ Β ποιητικὸν ἔσται τοῦ Α. διὰ δὲ τὸ ά. τὸ Α ποιητικὸν τοῦ Β. Ἄρα ( §. ξά. ) τὸ Α ποιητικὸν τοῦ Α. ἀδύνατον δέ. ( §. νς'. ) Ἄρα κτ.

Δείκνυται ὁμοίως καὶ διὰ τοῦ ἀνωτ. κβ'. Θεωρ. §. ξβ'. ἀντὶ τοῦ ἐν τῷ, ξά. §.

## Θεώρημα ΚΔ'.

§. ξδ'. „ Τῶν δευτέρων ποιητικῶν αἰτίων πρὸς ἄλλο καὶ „ ἄλλο τὸ αὐτὸ καὶ ποιητικὸν εἶναι, καὶ ποιητὸν πᾶσα ἀνά- „ γκη.

Ἡ γὰρ δευτέρα, ἐξ ἀνάγκης καὶ ποιητά. ( §. ξ'. ) καὶ ποιητικὰ δὲ ( ἐξ ὑποθ. ) ἑκάτερον ἄρα. Πρὸς δὲ τὸ αὐτὸ οὐκ ἐνί. ( §. ξγ'. ) Τῶν ἄρα δευτέρων κτ.

Θεώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΚΕ΄.

§. ξέ. „ Τὰ ποιητὰ οὐκ ἐξ ἀνάγκης καὶ ποιητικά.

Οὐδὲ γὰρ ἀνάγκη τὰ ἀποβαίνοντα, καὶ τῆς ἐνεργοῦ τε καὶ δραστηρίου δυνάμεως, τῶν παρεχόντων αὐτοῖς τὸ εἶναι, μεταλαμβάνειν. Πλεῖστα γὰρ τῶν αἰτίων ὁμωνυμεῖ πρὸς τὰ ἐξ αὐτῶν. ( §. νγ΄. ) Τὸ δὲ ποιητικὸν τὴν φύσιν ἐνεργὸν εἶναι θέλει. ( §. νβ΄. ) Ἄρα κτ.

## Σχόλιον.

§. ξς΄. Τῷ ὄντι δὲ, εἰ τὰ ποιητὰ ἐξ ἀνάγκης ἦν καὶ ποιητικὰ, εἰς ἄπειρον ἂν προΐοι. Τὴν γὰρ κατ᾽ ἐπάλληλίαν πρόοδον, ὡς τῷ κγ΄. Θεωρήματι προσηρύκασιν ἀποπτυστέον. Εἶτα οὐχ ἁπλῶς ποιητὰ αἱ παθήσεις, αἱ στερήσεις, αἱ τῶν κινήσεων ἀναιρέσεις, καὶ ἠρεμήσεις; Ἀλλ᾽ ἔστιν ἀληθὲς τὸ τοῦ Ἀλκινόου (1) „ εἶναί τι παθητικὸν ἐλλιπεινῶς φήσαντος, καὶ „ ἀναγκαίως δέ τι καὶ ἄῤῥενως ποιητικόν. Ἑκάτερον γὰρ ὁμολογητέον ἐν τοῖς οὖσι, καὶ τὸ πρώτιστον ποιητικὸν, ὑπὲρ ὃ οὐκ ἔνι ἀνωτέρω γενέσθαι, καὶ τὰ ἔσχατα τῶν αἰτιατῶν, πρὸς ἅπερ ἡ τῶν αἰτίων ἀποτερματιζομένη ἵσταται πρόοδος.

## Θεώρημα Κς΄.

§. ξζ΄. „ Τὸ μόνον ποιητὸν, οὐ πέφυκεν ὑπὸ συνωνύμου „ αἰτίου παράγεσθαι.

Συνώνυμον γὰρ τὸ ποιητικὸν ὃ ἂν ὁμοειδὲς ᾖ τῷ ἀποτελεσμένῳ. ( §. νγ΄. ) Τοιοῦτον οὖν ἂν εἴη, οἷον καὶ τὸ ὑφ᾽ οὗ παρήχθη. Τὸ δὲ οὐ πέφυκεν εἰς λόγον ποιητικοῦ αἰτίου ( ἐξ ὑποθ. ) κἀκεῖνο ἄρα. Ὥστε ἁπλῶς ποιητὸν οὐκ ἂν εἴη.

---

(1) Εἰσαγ. Κεφ. ιά.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἴη. Καὶ εἴη δ' αὖ. ( ἐξ ὑποθ. ) ὅπερ ἀδύνατον. (§. λ'.) Ἄρα κτ.

## Θεώρημα ΚΖ'.

§. ξη'. „ Οὐδὲν κωλύει τοῦ αὐτοῦ τῷ ἀριθμῷ αἰτιατοῦ, „ πολλὰ εἶναι τὰ ποιητικά, τρόποις διαφέροντα.

Τὰ μὲν γὰρ προσεχῶς, τὰ δὲ πορρωτέρω ποιεῖ· καὶ τὰ μὲν ὡς πρότερα, τὰ δ' ὡς ὕστερα. Καὶ τὰ μὲν ἠθικῶς, τὰ δὲ φυσικῶς· καὶ τὰ μὲν συνεργικῶς, τὰ δὲ ὑπουργικῶς, καὶ ἄλλα ἄλλως. Ὡς ἐκ τῶν ἀνωτέρω ( §. νβ'. νγ'. ) δῆλον. Ἄρα κτ.

## Σχόλιον.

§. ξθ'. Οὕτως εἰς ὑγίειαν τῷ κάμνοντι συνήνεγκεν ὅ,τε περίπατος, καὶ ὁ ἀὴρ, καὶ τὰ φάρμακα, καὶ ἡ δίαιτα, καὶ ὁ ἰατρὸς, καὶ ὁ τεχνίτης, κτ. Ἄρα κτ.

## Θεώρημα ΚΗ'.

§. ό. „ Οὐδὲν κωλύει τὸ αὐτὸ τῷ ἀριθμῷ ποιητικὸν, „ πλειόνων τε, καὶ τῷ εἴδει διαφερόντων εἶναι παραίτιον.

Τὰ γὰρ ὑπερέχοντα ταῖς δυνάμεσιν, ἐντεῦθεν τὸν τοῦ καθόλου αἰτίου λόγον προσήκαντο. ( §. νγ'. ) Καὶ παρὰ τὴν διαφορὰν δὲ τῶν ὑποκειμένων, τὰ πολλὰ ἐκ τῆς αὐτῆς δυνάμεως ἔχει διαφορὰν τὰ γινόμενα. Ἄρα κτ.

## Σχόλιον.

§. οα'. Ὁ αὐτὸς ὢν ἀὴρ εἴσω διαφερόντων εἰσπνέων αὐλῶν, τὴν μὲν ὑπάτην, τὴν δὲ νήτην ὑπήχησεν, „ Ὅ,τε „ οἱ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ οἶνος, ( ὡς ἔλεγε Χαιρήμων ) τοῖς τρόποις κεράννυται
„ τῶν πινόντων. (1)

## Θεώρημα ΚΘʹ.

§. οβʹ. „ Ἔτι δὲ ταυτὸν ἐνίοτε τῶν ἐναντίων ποιητικὸν ἀ-
„ ναδείκνυται.

Συμβαίνοι δ' αὖ τοῦτο, ἤτοι παρὰ τὸ αἴτιον παρὸν, ἢ ἀπόν· ὃ γὰρ παρὸν αἴτιον τοδὶ, τοῦτ' ἀπὸν αἰτιώμεθα ἐνίοτε τοῦ ἐναντίου· οἷον τὴν ἀπουσίαν τοῦ κυβερνήτου, τῆς ἀνατροπῆς τοῦ πλοίου, οὗ ἦν ἡ παρουσία αἰτία τῆς σωτηρίας. (2) Ἢ καὶ παρὸν μόνον, οἷον ἡ φύσις ἀρχὴ γινομένη κινήσεως καὶ ἠρεμίας. Ἢ καὶ παρὰ τὰ ὑποκείμενα. Προσβαλοῦσα γὰρ ἡ ἀφ' ἡλίου ἀκτὶς, σκλήρωσιν μὲν τῷ πηλῷ, τῆξιν δὲ τῷ κηρῷ ἐνεποίησεν.

## Θεώρημα Λʹ.

§. ογʹ. „ Τὸ τῶν διαφερόντων, καὶ ἐναντίων ποιητικὸν,
„ ὁμώνυμον ἐστὶ τοῖς ἐξ αὐτοῦ, παρὰ ποσοῦτον, εἰ τύχοι
„ παράγον ἑαυτῷ ὅμοιον.

Τὸ γὰρ καθόλου ποιητικὸν, καὶ ὁμώνυμον. ( §. νγʹ. ) Τὸ δὲ τῶν διαφερόντων, καὶ ἐναντίων ποιητικὸν καθόλου ( αὐτ. ). Ἄρα κτ.

Παράγον δὲ ὅμοιον ἑαυτῷ, πρὸς αὐτό γε τοῦτο ἐν μέρει ἕξει, καὶ συνωνύμως. ( αὐτ. ) Ἄρα.

Θεώ-

(1) Παρὰ Πλουτ. περὶ τοῦ μὴ χρᾶν ἐμμέτρως νῦν τὴν Πυθίαν.
(2) Ἀριστ. Δʹ. Μεταφυσ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΛΑ΄.

§. οδ΄. „ Οἷον τὸ συνωνύμως ποιητικὸν, ϗ τὸ ἐξ αὐτοῦ „ τοιοῦτον.

Ὁμοειδῆ γάρ. (§. νγ΄.) Ἄρα κτ.

## Σχόλιον Α΄.

§. οε΄. Οὐ τοῦτο δοκεῖ Πρόκλῳ τῷ Διαδόχῳ, τοὐναντίον δὲ ἐν ταῖς θεολογικαῖς εἰσηγήσεσι, πᾶν τὸ παρακτικὸν ἄλλου, κρεῖττον εἶναι τῆς τοῦ παραγομένου φύσεως ὑποτίθεται, (1) ϗ τοιῷδε λόγῳ κρατύνεται. „ Τὸ παραγόμενον, φησὶν, ἢ „ ἔχει καὶ αὐτὸ δύναμιν παρακτικὴν ἄλλου τινὸς, ἢ ἄγονον „ ὑπάρχει παντελῶς. Ἀλλ᾽ εἰ μὲν ἄγονον εἴη, κατ᾽ αὐτὸ „ τοῦτο τοῦ παράγοντος ἠλάττωται.... Εἰ δὲ καὶ αὐτὸ πα„ρακτικόν ἐστιν ἄλλων, ἢ ϗ αὐτὸ ἴσον ἑαυτῷ παράγει... ἢ ἄνισον. Ἀλλὰ ϗ ἴσον ἔστιν ὅτε φαμέν. „ Ἀλλ᾽ εἴπερ ἴ„σον, ἦδ᾽ ὅς, ἔσται τὰ ὄντα πάντα ἴσα ἀλλήλοις, ϗ οὐδὲν „ ἄλλο ἄλλου κρεῖσσον, ἀεὶ τοῦ παράγοντος, ἴσον ἑαυτῷ τὸ „ ἐφεξῆς ὑφισάντος. Ναὶ φημὶ, τοῦτο δὲ, εἰ μὴ ἴσον παράγει ἀεὶ, ἀλλ᾽ ἔστιν ὅτε, οὐδαμῶς ἕψεται. Καὶ ἀληθεύσειεν ἂν τυχὸν, ὃ ἐκεῖνος ἐπιφέρει, ἐπὶ τῆς αὐτῆς τάξεως τῶν συνωνύμως παραγόντων τε, καὶ παραγομένων, οὐκοῦν δὲ ἐπὶ τῶν ὄντων ἁπάντων, τὸ ἄλλο ἄλλου μὴ εἶναι κρεῖσσον. Καίτοι ϗ ἐπὶ τῆς αὐτῆς τῶν ὄντων τάξεως, ἄλλα ἄλλοις προσιστάμενα, (μυρία δὲ ὅσα τοιαῦτα τοῖς οὖσιν ἐπισυμβαίνει.) τῇ ἀπὸ τοῦ παράγοντος δυνάμει ἐμποδὼν γίγνεται, ϗ ταύτην πως κολάζει, ὡς μὴ τέλεον, ἢ πέφυκε τὴν ἰδίαν αὐτῆς περαίνειν ἐνέργειαν. Πλεῖσται δὲ ϗ ἄλλαι διαφοραὶ, αἱ μὲν παρ᾽ ἄλλα αἴτια, αἱ δὲ ϗ παρὰ τὰ πολλὰ ἃ συμβαίνει τοῖς παραγομένοις ἐπιτρέχουσι. Προσεκτέον οὖν μὴ καὶ ὑφε-

(1) Ἐν Κεφ. ζ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὕφεσιν τῆς τοῦ παντὸς τελειότητος κατηγορεῖν οὕτω δόξωμεν, τῶν ποιητικῶν ἀεὶ ἐπὶ τὸ χεῖρον διολισθαινόντων, κατὰ τὴν τοῦ Πρόκλου εἰσήγησιν.

## Σχόλιον Β΄.

§. οϛ΄. „ Ἐπὶ τοῦ τεθρυλλημένου, δι' ὃ ἕκαστον τοιοῦτον, „ ἐκεῖνο μᾶλλον τοιοῦτον, τὸ μᾶλλον, τὴν κατ' αἰτίαν ὑπε- „ ροχὴν, καὶ τὸ πρότερον, ὑποδηλοῦν ἔοικεν.

## Θεώρημα ΛΒ΄.

§. οζ΄. „ Οὐδὲν κρεῖττον τοῦ ὑφ' οὗ παρῆκται ποιητικοῦ. Ἢ γὰρ ὑπὸ τοῦ παραγαγόντος ἔχει τὸ κρεῖττον εἶναι, ἢ ὑπὸ μηδενὸς, ἢ ἀφ' ἑαυτοῦ. Ἀλλὰ γὰρ ἀφ' ἑαυτοῦ οὐκ ἂν ἔχοι. ( §. νϛ΄. ) Οὐδ' οὖν ὑπὸ μηδενός. ( §. νέ. ) ὑπὸ ἄρα τοῦ παραγαγόντος. „ Εἰ γοῦν τοῦτο παρακτικὸν ἐστὶ τῆς „ δυνάμενος, τοῦ μετ' αὐτὸ, πάσης, κἂν ἑαυτὸ δύναιτο „ ποιεῖν τοιοῦτον, οἷον ἐκεῖνο. Εἰ δὲ τοῦτο, καὶ ποιήσειεν ἂν „ ἑαυτὸ δυνατώτερον. Οὔτε γὰρ τὸ μὴ δύνασθαι κωλύει, „ παρούσης τῆς ποιητικῆς δυνάμεως, οὔτε τὸ μὴ βούλεσθαι. „ Πάντα γὰρ τοῦ ἀγαθοῦ ὀρέγεται κατὰ φύσιν. Ὥστε εἰ ἄλ- „ λο δύναται τελειότερον ἀπεργάσασθαι, κἂν αὐτὸ, πρὸ τοῦ „ μετ' αὐτὸ, τελειώσειεν. (1)

## Σχόλιον.

§. οή. Κἀντεῦθεν τὸ περιφερόμενον ἀξίωμα, τοῦ μηδὲ τὴν τυχοῦσαν τελειότητα ἐνεῖναι τῷ αἰτιατῷ, ἣν μὴ, ἢ πρὸς τὸ παράγειν αὐτὴν δύναμις, προσνείη καὶ αὐτῷ τῷ αἰτίῳ.

(1) Πρόκλ. Θεολογ. Εἰσηγ. Κεφ. ζ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τίῳ. Προσνείη δ᾽ αὖ τινὶ τὶ, ὡς οἱ Σχολαστικοὶ φασὶ, διττῶς. Ἢ γὰρ εἰδικῶς, κατ᾽ ὀσίαν ἐμπεπλεγμένον, οἷον ἐν ταῖς γεννητικαῖς καὶ προβλητικαῖς ἀρχαῖς, φαίη αὖτις, προσενεῖναι τὰ ἐξ ἐκείνων. ( §. ιβ΄. ) Καὶ ὅτω τὸν κόσμον ἐν τῷ Θεῷ, ὁ πολὺ τὰς ἀρχαίας εἰς ἀθεΐαν ὑπερελάσας Σπινόζας ὑπείληφεν. Ἐκεῖνοι μὲν γὰρ τὰ δαιμόνια ἐκ τοῦ πρώτου ἐξερρυηκέναι νομίσαντες, τὴν ὕλην ( μετεωρότερα δήπου ἁμαρτάνοντες ) θᾶττον διαιωνίζουσαν θέσθαι δεῖν ὑπετόπασαν, ἢ δι᾽ αὐτῆς τὴν πρώτην καταχρᾶναι φύσιν τὴν ἄϋλον, καὶ ἀκήρατον. Ὅπου γε οὐδὲ τῶν τεχνητῶν εἶναι ἰδέας, οἷον ἀσπίδος, ἢ λύρας, οὔτε μὴν τῶν παρὰ φύσιν, οἷον πυρετοῦ καὶ χολέρας, οὔτε τῶν κατὰ μέρος, οἷον Σωκράτους, καὶ Πλάτωνος, ἀλλ᾽ οὐδὲ τῶν εὐτελῶν τινὸς, οἷον ῥύπου καὶ κάρφους, οὔτε τῶν πρός τι, οἷον μείζονος καὶ ὑπερέχοντος, τοῖς πλείστοις ἀρέσκει τῶν ἀπὸ τοῦ Πλάτωνος. (1) Ὁ δὲ, οὐδὲν ἠδέσθη καὶ τῶν εὐτελεστάτων, μὴ ὅτι ἐν αὐτῷ τῷ Ὑψίστῳ συμφορῆσαι τὰς ἰδέας, ἀλλὰ καὶ τὰ πάθη προσεῖψαι, ὡς αὖ μήτι δηλονότι δοίη ἐνεῖναι τῷ παντὶ, ὃ μὴ μεθεκτὸν εἴη ἀπὸ τοῦ αἰτίου τοῦ ἔχοντος, μηδὲν ἀλεγίζων, εἰ ἀτελέστατον οὕτω, τὸ ὑπερτελὲς ἀποφαίνοιτο. Ἀλλ᾽ οἱ Σχολαστικοὶ πολλῷ ἄμεινον, μᾶλλον δὲ, καὶ μόνον καλῶς. Ἤπι γὰρ εἰδικῶς προσνεῖναι τὸ αἰτιατὸν τῷ αἰτίῳ ἐδίδαξαν, ὥσπερ εἴρηται, ἢ γοῦν ἐξόχως, ἢ κρείττονι δηλονότι καὶ ὑπερτέρῳ λόγῳ, τοῦ αἰτιατοῦ δύναμιν παρακτικὴν ἔχοντι, μηδὲν τῆς ἐκείνου τῇ φύσει παρεπομένης ἀτελειότητος μέτεσι. Καὶ οὕτω φασὶ τὸ Θεῖον παράγει τὴν ὕλην, οὐχ ὅτι ἐν ἑαυτῷ τὴν ὕλην, τὸ βλασφημότατον, ἀλλ᾽ ὅτι ταύτης φέρει τὴν δημιουργικὴν δύναμιν.

## Περὶ τοῦ Τελικοῦ.

§. οθ΄. Τῶν ἐκτὸς αἰτίων, καὶ μὴ ἐνυπαρχόντων, θάτερον ἐςὶ τὸ τελικόν. Ἔςι δὲ οὐδὲν ἄλλο, ἢ, οὗ ἕνεκα τὸ ποι-

(1) Ἀλκιν. Εἰσαγ. Κεφ. θ΄.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποιητικὸν ποιεῖ· ἢ, ὅπερ νοερῶς παριστάμενον κινεῖ γνωστικῶς τὸ πεφυκὸς, εἰς ἐνέργειαν. Δοκεῖ δὲ μὴ πάνυ εὐλόγως τῶν παλαιῶν καθάπτεσθαι, ὁ εἰπὼν μὴ ἀκριβῶς ἐκείνους ἀποδεδωκέναι εἰς ὁρισμὸν τοῦ τέλους τὸ οὗ ἕνεκα, ὡς μᾶλλον ἀντικείμενον τοῦτο, ἢ τέλος, καὶ σκοπούμενον, ἢ σκοπός. (1) Φανερὸν γὰρ ὅτι τὸ οὗ ἕνεκα, καὶ οἱ πάλαι νοητῶς ἐξειλήφασιν· ὅ,τε Σταγειρίτης (2) ὑπὲρ πάντων ἀπολελόγηται. Ἐν οἷς γὰρ ἀποφαίνεται περὶ τοῦ τέλους, μη„ δὲν διαφέρειν αὐτὸ εἰπεῖν ἢ ἀγαθὸν, ἢ φαινόμενον ἀγαθὸν, δῆλος ἐστὶ καθ' αὐτὸ μὲν οὐδὲν, λόγῳ δέ τι περιληπτὸν ὡς ἀγαθὸν, τέλος εἶναι ὑποτιθέμενος.

§. π'. Τοῦ τοίνυν τέλους τὸ μὲν κυρίως λέγεται, καὶ ἔστιν ἡ πρόθεσις ἣν μάλιστα ὁ ἐνεργῶν ἐπισκοπεῖ, καὶ δι' ἣν εἰς ἐνέργειαν διεγείρεται. Τὸ δέ τοι καταχρηστικῶς, καὶ κατὰ δεύτερον λόγον, καὶ οἷον παρέργως, ὃ μόνον οὐκ αὖ ἐκίνησεν· οἷον πρὸ παντὸς μὲν πεῖσαι τῷ λόγῳ, ἑπομένως δὲ καὶ τέρψαι τὸν ἀκροατὴν ὁ ῥήτωρ προέθετο. Καὶ τὸ μὲν τέλος τοῦ ἐργαζομένου, φασὶν, ὅπερ κατὰ τὸ δοκοῦν οἱ προήρηται, τὸ δὲ τοῦ ἔργου, πρὸς ὃ φύσει τε, καὶ καθ' ἑαυτὴν ἀποτείνεται ἡ ἐνέργεια. Οἷον τῷ μὲν φαρμακοποιῷ τὸ λῆμμα, τῇ δὲ φαρμακοποιΐᾳ τὸ τῆς ὑγιείας χρῆμα σκοπεῖται. Καὶ αὖθις τὸ μὲν τέλος οὗ, οἷον χάριν τοῦ εὐξυνέτους εἶναι τὰς Ἀριστοτέλους κατηγορίας, ὁ Φιλόσοφος Πορφύριος περὶ τὴν ἔκθεσιν τῶν φωνῶν ἐξεπόνησε. Τὸ δὲ τέλος ᾧ, καὶ γὰρ ἅμα καὶ τῷ ἀπὸ Ῥωμαίων ὑπατείδῃ Χρυσαορίῳ χαριζόμενος. Καὶ τὸ μὲν προσεχὲς, πρὸς ὃ μηδενὸς ἄλλου μεσιτεύοντος, ἡ τέλος ὁ ποιῶν ἀφορᾷ. Τὸ δὲ μέσον, ὃ λόγον μὲν ἔχει τέλους πρὸς τὸ ἡγούμενον, συντελεῖ δὲ καὶ εἰς θήραν τέλους ἄλλου τοῦ ἑπομένου. Τὸ δὲ πορρωτέρω, εἰ πλείω τύχοι τελικῶς πρότερον ἀφορώμενα. Τὸ δ' ἔσχατον, πρὸς ὃ ἀπιοῦσα ἵσταται, καὶ περαιτέρω οὐ πρόεισιν ἡ διάνοια, εἰς ἔργον δὲ τὸ ποιητικὸν ἐξανίστησιν. Οἷον ἀρ-

(1) Γενουΐσ. Μεταφ. μέρ. ά. Κεφ. ς'. Ὁρ. ιέ.
(2) Μεταφυσ. Δ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀργυρολογεῖ ὁ βασιλεὺς, ὡς ὅπλα παρασκευασόμενος, παρασκευάσει δὲ ὡς τὸ στρατιωτικὸν ἐξοπλίσων, ὁπλίσει δὲ ὡς πολεμήσων, πολεμήσει δὲ ὡς νικήσων, τῆς δὲ νίκης ἐφίεται, ὡς εὐδαιμόνως τοῦ λοιποῦ, καὶ ἐν εἰρήνῃ τὴν ἀρχὴν διοικήσων. Ἔνθα προσεχὲς μὲν ὄν, ἰδεῖν ἐστὶ τέλος, τὴν τῶν ὅπλων παρασκευὴν, ἔσχατον δὲ τὴν εἰρήνην, καὶ τὴν διὰ ταύτης εὐδαιμονίαν. Τὰ δὲ μεταξὺ τούτων, τὸν ὁπλισμὸν φημὶ, τὴν μάχην, τὴν νίκην, ποῤῥωτέρω τοῦ προσεχοῦς, καὶ μέσα ἕκαστα, τῷ μὲν ὑποκειμένῳ ταυτὰ, σχέσει δὲ ἕτερα, καὶ τέλους μὲν πρὸς τὰ πρὸ αὐτῶν, ποιητικοῦ δὲ πρὸς τὰ μετ᾽ αὐτὰ, λόγον ἐπιδεχόμενα. Οἷς αὖτις ἔτι καὶ τόδε προσεπιστήσειεν, ὅτι τὰ προσιστάμενα τοῖς μεταξὺ, καὶ διὰ τούτων καταργουμένων ἀναιρετικὰ τοῦ ἐσχάτου τέλους γινόμενα, εἴτις ἆραι ἐκ μέσου ἰσχύσειε, ταύτῃ γε, ᾗ τι καὶ αὐτὸς πρὸς τὸ τέλος συνεισενεγκὼν, εἰς ἐπιβολὴν εἰκότως τοῦ σκοπουμένου, συμπράκτωρ τε νομίζεται, καὶ συναίτιος.

## Θεώρημα ΛΓ΄.

§. πά. „ Τὸ μὴ βουλῆς ποιητικὸν, οὐκ ἄνευ τελικοῦ ποιεῖ.

Τὸ γὰρ οὕτω ποιοῦν βουλεύεται (ἐξ ὑποθ.) πρὶν ἢ τῷ ἔργῳ ἐπιχειρήσειε. βουλευόμενον δὲ αἱρεῖται. ὃ δ᾽ αἱρεῖται ὡς ἀγαθὸν ὂν, τοῦτο τοι τέλος. (§. οθ΄.) οὗ ἀπόντος οὐκ ἂν τὸ ποιητικὸν ἐνήργησεν. (§. νά.) Ἄρα κτ.

## Σχόλιον.

§. πβ΄. „ Τοῖς πᾶσιν ὁμόλογον, καὶ Ἀριστοτέλει πρὸ „ πάντων, (1) ἕνεκα γάρ τινος, φησὶν, ἀεὶ πράττει ὅγε „ νοῦν ἔχων· ὅθεν δῆλον, ὅτι καὶ τελικὸν οὐκ ἂν εἴη τὸ μηδέν.

Θεώ-

(1) Ἀριστ. Μεταφ. Ἐλάττ. Α΄.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΛΔ΄.

§. πγ΄. „ Τὸ ἀναγκαῖον ποιητικὸν ὂν, δίχα τέλους ποιεῖ. Ὑπὸ γὰρ τῆς ἐν αὐτῷ φύσεως ἄγεται ἐπὶ τὸ ποιεῖν τὸ οὕτω ποιοῦν. ( §. νγ΄. ) Τὸ δὲ μετὰ τέλους, ὑπὸ τοῦ ἀγαθοῦ νοουμένου, ὃ πρὸ τοῦ μὴ τοιούτου αἱρεῖται. ( §. οθ΄. ) Ἄρα κτ.

## Θεώρημα ΛΕ΄.

§. πδ΄. „ Τὸ ποιητικὸν αὐτοῦ τελικοῦ γένοιτ᾽ ἂν, ἀνάπαλιν δ᾽ οὔ.

„ Ἔστι γάρ τι τὸ ποιοῦν ἀναγκαίως. ( §. νγ΄. ) Τὸ δὲ, ποιεῖ δίχα τέλους. ( §. πγ΄. ) Ἄρα τὸ α΄.

Τοῦ τελικοῦ δὲ ἐστὶ τὸ διεγείρειν εἰς ἐνέργειαν ( §. π΄. ) τὸ δὲ, αὐτοῦ τοῦ διεγειρομένου οὐκ ἂν γένοιτο. ( §. λ΄. ) Ἄρα καὶ τὸ β΄.

## Σχόλιον.

§. πε΄. Πάνυ οὖν ὀρθῶς ὁ Ἀριστοτέλης φθάσας ἐδίδαξεν „ (1). ὅτι τὸ τέλος, καὶ τὸ οὗ ἕνεκα πράξεως τινός ἐστι τέλος. „ αἱ δὲ πράξεις πᾶσαι μετὰ κινήσεως, ὥστ᾽ ἐν τοῖς ἀκινή„ τοις οὐκ ἂν ἐνδέχοιτο ταύτην εἶναι τὴν ἀρχήν. Οὐδ᾽ εἶναί τι αὐτάγαθον ( οἷον ἀμέλει τῷ Πλάτωνι ὑπετίθετο, ἥκιστα μεθεκτὸν, οὐδὲ ποιητικὸν ὅλως. ) τούτου γοῦν καὶ σημεῖον τόδε προβάλλεται. „ Διὸ, φάσκων, κἀν τοῖς μαθή„ μασιν οὐδὲν δείκνυται διὰ ταύτης ( τῆς τελικῆς μοι νόει ) αἰτίας· ὅτι ταῦτα δηλονότι χωριστά τε ὕλης ἐστὶ, καὶ ἀκίνητα. „ Οὐδ᾽ ἔστιν ἀπόδειξις οὐδεμία, διότι βέλτιον, ἢ χεῖ„ ρον. Ἀλλ᾽ οὐδὲ τὸ παράπαν μέμνηται οὐδεὶς οὐδενὸς τῶν „ τοιού-

(1) Μεταφ. β΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ τοιέτων. (ἤτοι τῶν τελικῶν αἰτίων, ἐπὶ τῶν κατὰ τὰ μαθήματα ἀποδείξεων. Καὶ γὰρ τὴν ἐντὸς ἡμικυκλίε γωνίαν, ὀρθὴν εἶναι διότι βέλτιον, εἴτις ἀποδώσειε, μὴ καὶ καταγέλαςος εἴη.) Ὥςε διὰ ταῦτα τῶν σοφιςῶν τινες, οἷον „ Ἀρίςιππος, προεπηλάκιζον αὐτὰς (τὰς ἐκ τε τελικε „ δηλ. ἀποδείξεις.) ἐν μὲν γὰρ ταῖς ἄλλαις τέχναις, καὶ „ ταῖς βαναύσοις αὐταῖς, οἷον ἐν τεκτονικῇ, καὶ σκυτικῇ „ διότι βέλτιον, ἢ χεῖρον λέγεσθαι πάντα, τὰς δὲ μαθη- „ ματικὰς, ἐδένα ποιεῖσθαι λόγον περὶ ἀγαθῶν, καὶ κα- „ κῶν.

## Θεώρημα Λϛ'.

§. πϛ'. „ Τὸ τελικὸν προτερεύει μὲν τε ποιητικε, τῇ „ κατὰ νεν ἐπιβολῇ, ὑςερεῖ δὲ τῇ ἐκβάσει.

Ὃ γάρ τι κινεῖ εἰς ἐνέργειαν, πρὸ αὐτε τέτε πάντως ὃ κινεῖ, ἢ τοιαῦτα. (§. λ'.) Τὸ δέ τοι τέλος νοεραῖς ἐπιβολαῖς θεωρέμενον, διεγείρειν οἷον ἐςὶ τὸ ποιεν εἰς ἐνέργειαν. (§. οθ'.) Προτερεύει ἄρα τε ποιητικε κτ. Ο. Η. τὸ ά.

Ἐκβαίνει δὲ εἰς ἔργον τὸ τέλος ἀγόμενον, μετὰ τὴν ἐνέργειαν, ἣν αὖ τὸ ποιητικὸν ἐνεργήσειεν. (§. νά.) Ὑςερεῖ ἄρα κτ. Ο. Η. τὸ β'.

## Σχόλιον.

§. πζ'. Ἐπιςεῖλαι τῷ φίλῳ προθέμενος γραφίδος ἡψάμην, καὶ χάρτῃ ἐχρησάμην, καὶ μέλανι, καὶ γράψας ἐπέςειλα.

## Θεώρημα ΛΖ'.

§. πή. „ Τὸ τελικὸν, ᾗ μὲν νῷ ἀντιληπτὸν, αἴτιον ἐςὶ „ πρός γε τὸ ποιεν, τελικῶς. Ἡ δὲ πράγματι ἀποβαῖνον, „ ἐςὶν αἰτιατὸν, ποιητῶς.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὅρος γάρ τε ἐςὶν ἀφ᾽ ἧ, ( §. πϛ΄. κ̀ ια΄. ) κ̀ τὸ πρῶτον εἶναι ἐθέλει· ( §. πϛ΄. κ̀ ιγ΄. ) ἐχ ἁπλῶς δὲ, ἀλλ᾽ ᾗ ἐξ αὐτῆ τῆ ποιητικῶ τὸ εἶναι τοιῆτον, ἤτοι ποιητικὸν, ἐπιῤῥεῖ, κινῆντος εἰς ἐνέργειαν. ( §. οθ΄. ) δίχα γὰρ τέτε τὸ μὴ βελῆς ποιητικὸν ἐ ποιεῖ. ( §. πδ΄. ) Ἄρα, ὃ τὸ α΄.

Πράγματι δὲ ἀποβαῖνον ὅρος ἐςὶν, πρὸς ὃν ἀποτελεῦτᾳ ἡ τῆ ποιῆντος ἐνέργεια. ( §. πϛ΄. ) ὃν δὴ τρόπον κἀκείνε ὑςερεῖ. ( §. αὐτ. ) τοιῆτο δὲ τὸ αἰτιατόν. ( §. ια΄. ) Ἄρα κτ. ὃ τὸ β΄.

## Σχόλιον.

§. πθ΄. Πρὸς μὲν ἦν τὸ αὐτὸ, τὸ αὐτὸ κ̀ ποιητικὸν εἶναι καὶ ποιητὸν ἀνωτέρω ( §. ξγ΄. ) ἀπείρηται. Αἴτιον δὲ κ̀ αἰτιατὸν ἅμα τῆ αὐτῆ τὸ αὐτὸ, κατ᾽ ἄλλον κ̀ ἄλλον αἰτιάσεως λόγον εἶναι, ἐκ ἀδυνατεῖ· οἷον, ἐπὶ τῆ προκειμένε τὸ τελικὸν ἄλλως εἴληπται ἐφ᾽ ἑκάτερον, πῆ μὲν νοήσει, πῆ δὲ τῇ ἐκβάσει τὸν τῆ αἰτίε, κ̀ αἰτιατῆ λόγον ἀναδεχόμενον. Ἔνθα δὴ κ̀ τὸ ὑπὸ Ἀριςοτέλες λεχθὲν ἀνήκει, „ ὡς ἐςὶ καὶ τὰ ἀλλήλων αἴτια, οἷον τὸ πονεῖν τῆς εὐε- „ ξίας, κ̀ αὕτη τῆ πονεῖν, ἀλλ᾽ ἐ τὸν αὐτὸν τρόπον· ἀλλὰ „ τὸ μὲν ὡς τέλος, τὸ δὲ ὡς ἀρχὴ κινήσεως. (1)

## Θεώρημα ΛΗ΄.

§. ϟ΄. „ Τὸ τελικὸν τῇ νοήσει, αὐτὸ ἑαυτῆ τῇ ἐκβάσει „ παραίτιον γίνεται.

Τὸ μὲν γὰρ ποιητικὸν αἴτιον τῆ κατὰ τὴν ἔκβασιν τελικῆ, τὸ δὲ κατὰ ἐννόημα τελικὸν, αἴτιον τῆ ποιητικῆ. (§. πη΄.) καὶ προτερεύει δὲ, τὸ τελικὸν τῇ νοήσει, ὃ καθυςερεῖ τῇ ἐκβάσει. ( §. πϛ΄. ) Ἐκεῖνο ἄρα ὡς πρότερον πέρας ἐςὶ,

(1) Μεταφ. Δ΄.

ςὶ, τοῦτο ὡς ἔσχατον ἀφορῶν κατ᾽ ἔκβασιν. Οὐκοῦν τὸ μὲν αἴτιον, τὸ δὲ αἰτιατόν. ( §. ιά. ) Ἔςι δὲ τὸ αὐτὸ, ταύτῃ γε, ἢ ταύτῃ θεωρούμενον. ( ἐξ ὑποθ. ) Ἄρα κτ.

## Θεώρημα ΛΘ΄.

§. ϙά. „ Τὸ τέλος μέσων αὐτοῦ ἀνέκβατον.

Λόγον γὰρ ἔλαχε τὰ μέσα ποιητικῶν οἷον προσεχεςέρων, πρὸς τὸ τέλος ἀναφερόμενα. ( §. π΄. ) Τὸ δὲ τέλος τῇ ἐκβάσει ἔσχατον. ( §. πς΄. ) Καὶ δὴ καὶ αἰτιατὸν ποιητῶς. ( §. πή. ) ποιητὸν δὲ οὐδὲν αὐτοῦ τοῦ ποιητικοῦ γένοιτ᾽ ἄν. ( §. νζ΄. ) Ἄρα κτ.

## Θεώρημα Μ΄.

§. ϙβ΄. „ Ὅτῳ βελτιτὸν τὸ τέλος, καὶ τὰ μέσα πάντως, „ καὶ ἀνάπαλιν.

Τὰ γὰρ μέσα ἐςὶν ὧν ἐκ αὐτοῦ. ( §. ϙά. ) Ἄρα τὸ ά.

Ἀλλὰ καὶ τοῦ μηδενὸς ποιητικὸν οὐδέν. ( §. νδ΄. ) Ἄρα καὶ τὸ β΄.

## Θεώρημα ΜΑ΄.

§. ϙγ΄. „ Ὅτῳ δὲ μὴ τὰ μέσα, οὐδὲ τὸ τέλος, καὶ ἀνάπαλιν.

Αἴρεται γὰρ τὰ ποιητικά. ( §. π΄. ) τὸ δὲ μηδὲν οὐκ αὔτινος εἴη ποιητικόν. ( §. νέ. ) Ἄρα τὸ ά.

Ἀλλ᾽ ᾧ μὴ βελτιτὸν τὸ τέλος, ποιητὸν πρόκειται οὐδέν. Τοῦ δὲ μηδενὸς, οὐδὲν οὐδὲ ποιητικόν. ( §. νδ΄. ) Ποιητικῶν δὲ λόγον ἔχει τὰ μέσα. ( §. π΄. ) Ἄρα καὶ τὸ β΄.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΜΒ΄.

§. υδ΄. „ Τὸ τελικὸν ἐνεργεῖ τὰ πολλὰ, καὶ αὐτὸ τῆς ἐκ-
„ βάσεως.

Κινεῖ γὰρ τελικῶς τὸ ποιητικὸν, διεγεῖρον αὐτὸ εἰς ἐνέργειαν. ( §. π΄. ) Πολλὰ δὲ πολλαχόθεν ἐπισυμβαίνει τὰ προσιστάμενα, καὶ ἤτοι τὰ μεταξὺ διακόπτοντα, ἢ μηδὲ τὴν ἀρχὴν ἐνεργῆσαι αὐτοῖς ἐπιτρέποντα. ( §. αὐτ. ) μέσων δὲ αὐτὸ τὸ τέλος ἀνέκβατον. ( §. υα΄. ) Ἄρα κτ.

## Θεώρημα ΜΓ΄.

§. υέ. „ Οὐκ ἀδυνάτως ἔχει τὸ αὐτὸ, καὶ ποιητικὸν εἶ-
„ ναι καὶ τελικὸν, πρὸς ἄλλο καὶ ἄλλο.

Δυνατὸν γὰρ εἶναί τι τῶν μεταξύ. Τὰ δὲ τοιαῦτα. (§. π΄.) Ἄρα κτ.

## Σχόλιον.

§. υς΄. Ἠνίξατο δέ τι τοιοῦτο καὶ Ἀριστοτέλης (1) συγκα-
„ τειλημμένως τοῖς αἰτίοις, ὅσα δὴ κινήσαντος ἄλλου μετα-
„ ξὺ γίγνεται τοῦ τέλους, οἷον τῆς ὑγιείας ἡ ἰσχνασία, ἢ ἡ
„ κάθαρσις, ἢ τὰ φάρμακα, ἢ τὰ ὄργανα. Ἔστι γὰρ δὴ τὰ μὲν ὄργανα διὰ τὰ φάρμακα, τὰ δὲ φάρμακα διὰ τὴν κάθαρσιν, ἡ δὲ διὰ τὴν ἰσχνασίαν, ἡ δὲ διὰ τὴν ὑγίειαν. Καὶ δῆλον ὅτι φάρμακον μὲν ποιητικὸν καθάρσεως, τελικὸν δὲ τῶν ὀργανῶν· καὶ κάθαρσις φαρμάκου μὲν τελικὸν, ἰσχνασίας δὲ ποιητικόν· ἥτε ἰσχνασία ὑγιείας μὲν παραίτιος, καθάρσεως δὲ ἔργον. Ὥστε ἕκαστα τούτων ἐστὶν ἑκάτερον. διαφέρει δὲ ὅσῳ τὸ μὲν μάλιστα ποιητικὸν, ὁ πρώτως κινή-

(1) Μεταφ. Δ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κινήσας, τὸ δὲ μάλιςα τελικὸν, τὸ πρώτως σκοπέμενον, ἡ ὑγίεια. τέτων δὲ καὶ κατὰ δεύτερον λόγον μετέχει τὰ μεταξὺ γινόμενα· „ διαφοράν τε ἔχει, ὅτι τὰ μὲν ὡς ὄργανα, „ τὰ δὲ ὡς ἔργα.

## Θεώρημα ΜΔ'.

§. υζ'. „ Τελικὸν, τῷ μὲν ὑποκειμένῳ ταυτὸν, λόγῳ δὲ „ διαςὸν, εἰς τἐναντίον αὖ, ἤτοι ποιητικὸν ἐν ἄλλοτε ἄλ„ λως, ἢ καὶ πλείω ἅμα τε καὶ κατὰ τὸ αὐτὸ ἀντιπαριςήσειεν. Οὐ γὰρ οἷον ἐςὶν, ἀλλ᾽ οἷον δοκεῖ τέλος καθίςαται. ( §. οθ'. ) Τὸ δ᾽ αὐτὸ δόξειεν αὖ, ἤτοι τῷ αὐτῷ νῦν μὲν ἀγαθὸν, νῦν δὲ μὴ, ἄλλοτε ἄλλως· ἢ καὶ πλείοσιν ἅμα, τῷ μὲν ὡς ὕτως, τὸ δ᾽ ὡς ἑτέρως. Ἑκατέρως ἄρα εἰς αἵρεσιν, ἢ γοῦν φυγὴν ἀντιπαριςήσειεν. Ἄρα κτ.

## Σχόλιον.

§. υη'. Ταύτῃ τοι καὶ ςρεπταὶ φρένες βροτοῖσιν, ὡς εἴρηται. Ὅ,τε τῷ Ἡρακλείτῳ δακρύων, αὐτὸ τοῦτο τῷ Δημοκρίτῳ, δαψιλοῦς, παρεῖχεν ὑπόθεσιν, γέλωτος.

## Θεώρημα ΜΕ'.

§. υθ'. „ Τῷ κατὰ τὸν νοῦν, παριςαίη αὖ εἰς τἐναντίον, „ ἢ ἕτερον, τὸ τελικὸν τὸ κατὰ τὴν ἔκβασιν.

Ἐπεὶ γὰρ ἐκ τῶν μεταξὺ, ὡς προσεχεςέρων αἰτίων, τὸ τέλος ἐκβαίνειν πέφυκε. ( §. π'. ) δυνατὸν τινὰ μέσοις χρήσασθαι τοῖς μὴ προσφόροις, ἀλλ᾽ οἷα, ἕτερόν τι, ἢ τοὐναντίον, φύσιν ἔχει ποιεῖν, καὶ ἁπλῶς παρὰ τὸ σκοπέμενον. Ἄρα κτ.

Σχό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Σχόλιον.

§. ρ΄. Οὕτως ἐκεῖνος ὑγιείας φροντίσας πολλοὺς εἰς ταὐτὸ συνεκάλεσε τοὺς ἐπιμελησομένους, εἰς γεμὴν τοὐναντίον οἷ παρέστη τὸ σκέμμα, καὶ ἰατρικῆς πολυάνδρου αὐτίκα μετέμελεν, ἀπώλειαν, ἢ σωτηρίαν μνησθησομένης. „ Κἀκεῖνον „ δὲ, φασὶ, ζωγραφοῦντα τὸν ἵππον, τοῖς μὲν ἄλλοις κα„ τορθοῦν εἴδεσι καὶ χρώμασι· τοῦ δὲ ἀφροῦ τὴν περὶ τῷ „ χαλινῷ κοπτομένην χαυνότητα, καὶ συνεκπίπτουσαν τῷ „ ἄσθματι, μὴ ἀρεστὴν ἐπ' αὐτῷ γράφοντα, πολλάκις γοῦν „ ἐξαλείφειν, τέλος δὲ ὑπ' ὀργῆς προσβαλεῖν τῷ πίνακι „ τὸν σπόγγον, ὥσπερ εἶχε τῶν φαρμάκων ἀνάπλεων. Τὸν „ δὲ προσπεσόντα, θαυμαστῶς ἐναπομάξαι, καὶ ποιῆσαι „ τὸ δέον. Τοῦτο ἔντεχνον τύχης μόνον ἔργον ἱστορεῖται. (1) Καὶ θαυμαστῶς οὖν ἡμῖν, εἰς ἀνάπτυξιν τῶν λεγομένων ἐκ τύχης συμβαίνειν, ὑπουργεῖ τὸ Θεώρημα.

## Θεώρημα Μς΄.

§. ρα΄. „ Τοῦ αὐτοῦ γένοιτ' ἂν πλείω τὰ τέλη.

Ἡ γὰρ δοκεῖ τι ἀγαθὸν εἶναι, ταύτῃ τελικῶς κινεῖ. ( §. οθ΄. ) δόξειε δ' ἄν τι κατὰ πλείονας λόγους θεωρούμενον, ἀγαθὸν εἶναι. Ἄρα κτ.

## Σχόλιον.

§. ρβ΄. „ Εἰς τόδε φέρει, καὶ τὸ πολλάμις τὰ παραινοῦντα ἔξεστι ξυμβουλεῦσαι ὑμῖν ὦ παῖδες, ἃ βέλτιστα εἶ„ ναι κείνῳ. καὶ ὅσ' ἄλλα πολλῶν ἕνεκα πράττεσθαι δεῖν, ἢ λέγεσθαι, ἢ λογοποιοὶ πείθειν προτίθενται.

Θεώ-

(1) Πλούταρχ. Περὶ τύχης.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΜΖ'.

§. ργ'. „ Τὸ αὐτὸ, ἐκ ἂν τἀναντία ὡς τέλη, ἅμα κι-
„ νητικὰ γένοιτο.

Τὰ γὰρ ἐναντία ἀλλήλων ἐςὶν ἀναιρετικὰ, καὶ τὸ ἐξ ἑκατέρων ἐδέτερον. (Ἐν Λογικ.) Εἰ γὲν ἐδέτερον παρὰ τὴν συνεςῶσαν μάχλω κινεῖ, πολλὲ γ' ἂν δεήσειεν ἑκάτερον. Οὐκ' ἂν ἄρα κτ.

## Σχόλιον.

§. ρδ'. Ἐντεῦθεν τοῖς ὑπὸ ἐναντίων ἀντιπαραταγομένοις, καὶ ἀῤῥεπέσιν ἀκριβῶς ἰσαμένοις τὴν γνώμην, ὡς ἐπὶ πλάςιγγος, μηδ' ἔχεσι ποτέρωσε νεῦσειαν, τὸ τῆς ἀμηχανίας συμβαίνει πάθος, τὸ ὅτι ἔγγιςα τῆς ἀλόγε γινόμενον φύσεως.

## Θεώρημα ΜΗ'.

§. ρε'. „ Τὴν τῶν τελικῶν πρόοδον ἐπ' ἄπειρον προϊέναι
„ ἀδύνατον.

Τὸ γὰρ ἔχατον πρὸς ὃ ἀπιδὲσα ἡ διάνοια ἵςαται, τὸ ποιητικὸν ἐξανίςησιν. (§. π'.) Ἀλλ' ἐπὶ τὲ ἀπείρε ἔχατον ἐδέν. (§. λ'.) Οὐκ' ἄρα ἐδὲ, τὸ, ἔπερ ἕνεκα τὸ ποιητικὸν διεγείρεται, ἐδὲ τέλος τί ἔςαι. Ἐπεὶ δὲ καὶ τὰ τελικὰ ὑποτίθεται, καὶ τέλος ἔςαι, ὅπερ (§. λ'.) ἀδύνατον.

## Σχόλιον.

§. ρϛ'. Ἄριςα τὸ προτεθὲν ὁ Σταγειρίτης Φιλόσοφος ἀποδείκνυσιν. (1) „ Τὸ ἔ ἕνεκα, φησὶ, τέλος. Τοιἔτον δὲ
„ ὃ

(1) Μεταφ. Ἐλάττ. Α'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ ὃ μὴ ἄλλε ἕνεκα, ἀλλὰ τ᾽ ἄλλα ἐκείνε· ὥς εἰ μὲν ἔ-
„ ςαι τοιῦτο τὸ ἔχατον, ὐκ ἔςαι ἄπειρον. Εἰ δὲ μηδὲν
„ τοιῦτον, ὐκ ἔςαι τὸ ὗ ἕνεκα. Ἀλλ᾽ οἱ τὸ ἄπειρον ποιῦν-
„ τες λανθάνυσιν ἐξαιρῦντες τὴν τῦ ἀγαθῦ φύσιν. Καί
„ τοι ὐθεὶς ἂν ἐγχειρήσειεν ὐθὲν πράττειν, μὴ μέλλων
„ ἐπὶ πέρας ἥξειν, ὐδ᾽ ἂν εἴη νῦς ἐν τοῖς τοιύτοις· ἕνεκα
„ γάρ τινος ἀεὶ πράττει ὅγε νῦν ἔχων. Τῦτο γὰρ ἐςὶ πέ-
„ ρας. Τὸ γὰρ τέλος πέρας ἐςί.

## Θεώρημα ΜΘ΄.

§. ρζ΄. „ Τὸ κατὰ πᾶν μέρος ἔχατον τέλος, εἴη ἂν τὸ
„ ἄριςον.

Ἐν ἑκάςῳ μέρει τὸ ἔχατον τέλος ἐςὶ τὸ ἀγαθόν. (§. οθ΄.) Τὸ ἄρα κατὰ πᾶν μέρος ἔχατον τέλος, κατὰ πᾶν μέρος ἂν εἴη ἀγαθόν. Τοιῦτο δ᾽ ἂν εἴη τὸ ἄριςον. Ἄρα κτ.

## Σχόλιον.

§. ρή. Εἴπερ ὖν ἐν μὲν τοῖς ποιητικοῖς ἔςι τι πρῶτον αἴτιον. ( §. ξς΄. ) Ἐν δὲ τοῖς τελικοῖς τι ἔχατον τὸ αὐτό. ( §. ρέ. ρς΄. ) Τῦτο κρατιςόν τε ἅμα δι᾽ ἐκεῖνο, διὰ δὲ τῦτο ἄριςον ὄν, ( §. ἀνωτ. ) Α τε καὶ Ω εἰκότως ὑμνήσομεν. Ὡς μετὰ χάριτος ὁ Πρόκλος. (1) „ Τίς ὖν ἐςὶ τῶν
„ πάντων βασιλεύς; ἢ ὁ ἑνιαῖος Θεὸς, ὁ τῶν πάντων ἐξη-
„ ρημένος, καὶ τὰ πάντα περιάγων ἀφ᾽ ἑαυτῦ, καὶ κατὰ μίαν
„ αἰτίαν ἐξηγύμενος τῶν ὅλων διακόσμων; Τίς δὲ ὁ τὰ
„ τέλη πάντα πρὸς ἑαυτὸν ἐπιςρέφων, καὶ περὶ αὐτὸν ὑπο-
„ ςησάμενος; ὗ γὰρ ἕνεκα τὰ πάντα, τῦτον ἁπάντων τελῶν
„ τέλος, καὶ πρωτυργὸν αἴτιον προσειπὼν, ὐκ ἂν ἁμάρτοις
„ τῆς περὶ αὐτὸν ἀληθείας.

Πε-

(1) Εἰς τὴν Πλάτ. Θεολογ. βιβλ. β΄. Κεφ. δ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Περὶ τοῦ Ὑλικοῦ.

§. ρθ'. Τῶν μὴ ἐκτὸς τοῦ αἰτιατοῦ αἰτίων τὸ ἕτερον ἐστὶ τὸ ὑλικόν. Τουτέστιν ἡ ὕλη, ἐξ ἧς τὸ σύνθετον, ὡς ἐξ ὑποκειμένου συναπαρτίζεται, καὶ οἷον ἐκ στοιχείου προϋπάρχοντος μὲν γίγνεται, συνυπάρχοντος δὲ σώζεται, προσεπιϋπάρχοντος δὲ φθείρεται. Ὑποκείμενον δὲ, καὶ στοιχεῖον, καὶ ὕλη, πῆ μὲν αὐθ' ἑνὸς, πῆ δὲ καὶ μετὰ διαφορᾶς πρὸς ἄλληλα εἴληπται. Λέγεται δὲ καὶ καθ' ἑαυτὰ οὐχ ἁπλῶς. Καὶ γάρ τοι ὑποκείμενον ὕπεστιν τὸ μὲν, καθ' οὗ τί λέγεται, τὸ δ' ᾧ τί ἐνυπάρχει, τὸ δὲ περὶ ὅ,τι ἐνασχολεῖται ἤτοι κατὰ θεωρίαν, ἢ πρᾶξιν, ἢ ποίησιν, τὸ δὲ, καὶ ἐξ οὗ τι συνίσαται· ἃ σαφῶς ἡμῖν ἐν τοῖς λογικοῖς διήρθρωται.

§. ρί. Ὕλη δὲ ἡ μὲν πρώτη, ἡ δὲ δευτέρα, ἡ δὲ καὶ τρίτη λεγέσθω. Καὶ πρώτη μὲν ὕλη, ἡ κατ' ἀφαίρεσιν, παντὸς εἴδους χωρὶς, νόθῳ λογισμῷ ληπτὴ γινομένη. „Ἀμέλει τοι τὸ πρῶτον ὑποκείμενον (1) ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος, πρώτως, καθ' αὑτὸ, καὶ μὴ κατὰ συμβεβηκός. Οἷον ἔκ τινος, ὅπερ ἐνὸν πάντως τοῦ ξύλου φθειρομένου, μὴ φθειρομένου γίνεται γῆ, ἐν ᾗ γινομένῃ τε καὶ γενομένῃ ἤδη ἐνυπάρχει αὐτὸ ἐκεῖνο, πρώτως (οὐ γὰρ ἐξ ἄλλου τοῦ ἁπλουστέρου, ἐξ οὗ προτέρου ἂν ἔχοι τὸ εἶναι.) καὶ καθ' αὑτὸ, ᾗ συμπληρωτικὸν ὂν τῆς γεώδους συστάσεως, μηδὲ κατὰ συμβεβηκὸς προσὸν, ὡς, κἂν ἀπείη, περιεῖναι ἂν οὐδὲν ἧττον τὴν τῆς γῆς φύσιν. Ἐξ αὐτοῦ δὲ τούτου, τοῦ οὕτω τῇ γῇ ἐνυπάρχοντος φθειρομένης, μὴ φθειρομένου φυτόν· ᾧ δὴ καὶ αὐτῷ τὸ αὐτὸ ἐνυπάρχει πρώτως, καθ' αὑτὸ, καὶ μὴ κατὰ συμβεβηκός. Καὶ ἐκ τοῦ αὐτοῦ τοῦ φυτοῦ ἐνυπάρχοντος φθειρομένου, μὴ φθειρομένου καρπὸς, εἶτα χυλὸς, εἶτα αἷμα, εἶτα σάρξ, εἶτα γῆ. Αὐτὸ γοῦν ἐκεῖνο τὸ ἀεὶ ἐνυπάρχειν νοούμενον κατὰ τὰς οὐσιώδεις φθοράς τε καὶ γενέσεις τῶν συνθέτων, καὶ ἄλλοτε ἄλλο εἶδος ἀποδεχόμενον, καθ' αὑτὸ

δὲ

(1) Ἀριστ. Φυσ. ά.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ ὑδενὶ εἴδει ὑσιωδῶς συμπλεκόμενον, αὐτὸ ἐκεῖνο ἡ πρώτη τυγχάνει ὕλη, ἣν καθ' αὑτὴν μηδὲ τὶ, μηδὲ ποσὸν, μηδὲ ποιὸν, μηδ' ἄλλο μηδὲν, οἷς ὥρισαι τὸ ὂν, ὁ Ἀριστοτέλης ὑπέγραψεν· (1) ἣν ἐκμαγεῖον καὶ πανδεχὲς, καὶ τιθήνην, καὶ μητέρα, καὶ χώραν ὁ Πλάτων· (2) ἣν μέσον κενὸν ὁ Πλωτῖνος· (3) ἣν καί τις τὴν ἔσω τῶν μορφῶν ἕδραν· (4) ἣν τέως ἔκτασιν στερεὰν ὁ Ἄγγλος Μεταφυσικὸς (5) φυσικώτερον ὁρισάμενος. Καὶ αὕτη μὲν ἡ πρώτη ὕλη. Δευτέρα δὲ ἡ καθ' αὑτὴν μὲν εἶδός τι ἐπιφέρουσα, τοῦ δὲ τῶν μικτῶν εἴδους δεκτική· ἤτοι ἡ ἀμέσως ἐκ τῆς πρώτης καὶ εἴδους αἰσθητοῦ συνισταμένη, οἷον ὕδωρ, γῆ, πῦρ, ἀήρ. Ὕλη δὲ τρίτη εἰρήσθω, ἡ τῶν μικτῶν, καὶ ἄλλως ὁπωσοῦν συνθέτων, ἡ ἐκ τῆς δευτέρας προσεχῶς συνισταμένη, καὶ εἰς αὐτὴν πρώτως ἀναλυομένη, οἷον ὁ χαλκὸς, ἐξ οὗ ὁ ἀνδριὰς, καὶ σάρκες, αἷμα, ὀστᾶ, ἐξ ὧν τὸ ζῶον. Ἣν αὖτις πολλαχῇ αὖθις ὑποδιέλοι· ἢ γὰρ ἕν τι καὶ μόνον ἁπλῶς ὕλης τρόπον εἰς σύστασιν τοῦ συνθέτου συνέδραμεν, οἷον ὁ χαλκὸς εἰς τὴν τοῦ ἀνδριάντος κατασκευὴν, ἢ πολλά. Εἰ δὲ, ἤτοι ἀλλήλων ἀπολελυμένα ἀπέζευκται, ἢ συνῆπται. Καὶ εἰ μὲν ἐκεῖνο, ἢ τάξεως ἄνευ, οἷον ἐπὶ τοῦ χύδην ὄχλου, ἢ μετὰ τάξεως, οἷον ἐπὶ στρατοῦ, ἢ δορυφορίας οἱ πολλοὶ συνιόντες. Εἰ δὲ τοῦτο, ἢ ἀναλλοιώτως τὰ πολλὰ συνδέδεται, οἷον τὰ ἐξ ὧν ὁ οἶκος, τὰ ἐξ ὧν ἡ ναῦς, ἢ μετ' ἀλλοιώσεως συγκέκραται, ὡς ἐπὶ τῶν μίξεων.

§. ρια΄. Στοιχεῖον δὲ, ἐξ οὗ σύγκειται πρώτου, ἐνυπάρ„ χοντος, ἀδιαιρέτου τῷ εἴδει εἰς ἕτερον εἶδος. (6) Ὧν τὸ μὲν ἐξ οὗ, ἐπὶ τὸ ὑλικὸν εἶδος τὸ στοιχεῖον ἀνέθετο. Τὸ δὲ δὴ πρώτου, τὸν χαλκὸν ἐξ οὗ ἡ εἰκὼν, καὶ τὸ ξύλον ἐξ οὗ ἡ τράπεζα, καὶ ἁπλῶς ἅπαν σῶμα σύνθετον ὂν, ταυτὸν εἰπεῖν, τὴν τρίτην εἰρημένην ὕλην (§. ρι΄.), τοῦ κατὰ τὸ στοιχεῖον λόγου ἀπέκλεισε. Τὸ δ' ἐνυπάρχοντος, τάς τε στερήσεις, καὶ τὰ ἐναντία, ἐξ ὧν τὸ στοιχειωτὸν μὴ ἐνυπαρχόν-

χόν-

(1) Μεταφ. ζ΄. (2) Παρ' Ἀλκιν. Κεφ. η΄.
(3) Βιβλ. β΄. Κεφ. δ΄. (4) Ναζιανζ.
(5) Ἰωάνν. Λόκ. (6) Μεταφ. Δ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χόντων, ἀπέκρυσε. Τὸ δὲ ἀδιαιρέτῳ τῷ εἴδει εἰς ἕτερον εἶδος, τὴν ἀειδῆ πρώτην ὕλην ( §. ρί. ) ἐξήρηκε, καὶ δή, καὶ τὴν τρίτην ἔτι, τὴν εἰς ἑτεροειδῆ ἀναλυομένην. Κυρίως ἂν στοιχεῖα, ὡς ὁ Ἀριστοτέλους λόγος (1) τὰ γράμματα, ἐξ ὧν ἡ φωνή, καὶ τὰ στοιχεῖα τῶν σωμάτων, οἷον ὕδωρ, γῆ, κτ. ἅπερ εἰκὸς, ὕλην δευτέραν ἀποκαλέσαι. Καὶ τὰ στοιχεῖα τῶν διαγραμμάτων, καὶ ἄλλως αἱ πρῶται ἀποδείξεις,, αἱ ἐκ τῶν τριῶν, (ὡς αὐτὸς φησὶ (2), δι' ἑνὸς μέσου· ἐν αἷς ἀμέλει τρεῖς μὲν οἱ ὅροι, εἷς δὲ τῶν τριῶν ὁ μέσος. ( §. ν΄. ) Ἅπαντα γὰρ τὰ εἰρημένα, καὶ τὸ ἐξ αὐτῶν εἶναι τὰ στοιχειωτὰ ἔλαχε, καὶ πρῶτα ἐστὶ, καὶ ἐνυπάρχοντα, καὶ τῷ εἴδει εἰς ἑτεροειδῆ μὴ διαιρετά. Καταχρηστικώτερον δὲ παρὰ ταῦτα, καὶ οὐ κατὰ τὸ Ἀριστοτέλει δοκοῦν, καὶ οἷον ἐκ μεταφορᾶς λεγόμενον στοιχεῖον, ὃ ὢν ἓν ὂν, καὶ μικρὸν, ,, ἐπὶ πολλὰ ᾖ χρήσιμον. Ὅθεν ἐλήλυθε ( φησὶν ἐκεῖνος ,, (3) τὰ μάλιστα καθόλου στοιχεῖα εἶναι, ὅτι ἕκαστον αὐτῶν ἓν ὂν, καὶ ἁπλοῦν, ἐν πολλοῖς ὑπάρχει· ἢ πᾶσιν ( οἷον τὸ ὂν ) ἢ ὅτι πλείστοις ( οἷον ἡ οὐσία ). Καὶ ταύτῃ γέτοι τὰ γένη στοιχεῖα λέγουσί τινες (4) καθόλου τε, καὶ ἀδιαίρετα ὄντα ( τὴν εἰς μέρη νοήσεις μοι ἐνεργείᾳ, καὶ μὴ δυνάμει διαίρεσιν· ) καὶ μᾶλλον ἢ τὴν διαφορὰν, ὅτι καὶ καθολικώτερα. Καὶ τὸ ἓν δὲ, καὶ τὴν στιγμὴν ὡσαύτως. Ἃ μηδὲ κυριολεκτεῖσθαι σαφές. Οὐδὲ γὰρ ἐκ τῶν καθόλου τὰ κατὰ μέρος, ὡς ἐξ ὕλης τινὸς τὴν σύνθεσιν ἔχει, οὐδ' ἐκ σημείων τὸ συνεχὲς, οὐδ' ἐκ τοῦ ἑνὸς ὁ ἀριθμὸς, τυχὸν διὰ τὴν δυάδα. Ἐπὶ τούτων οὖν ἁπάντων κοινὸν τὸ εἶναι στοιχεῖον ἑκάστου, τὸ πρῶτον ἐνυπάρχον ἑκάστῳ.

§. ριβ΄. Ἐξ ὧν καὶ τὴν ἐγχωροῦσαν διαφορὰν ῥᾳδίως ἐστὶ συνιδεῖν, καθ' ἣν τὸ μὲν ἐπὶ πλέον ἐκτείνεται, ἡ δὲ ἐπ' ἔλαττον, τὸ δὲ καὶ ἔτι. Οὐ γὰρ εἴτι ὑποκείμενον καὶ ὕλη, ἀνάπαλιν δέ. Ὅ,τι δὲ στοιχεῖον καὶ ὕλη, οὐ μὴν καὶ ἀνάπαλιν. Διὸ καὶ Θαλῆς ὁ Μιλήσιος ἀκυρολογίας γραφὴν διέφυγεν, ἀνθ' ὧν ταυτὸ εἶναι νομίσας ἀρχὴν καὶ στοιχεῖον, ἀμφοῖν

(1) Μεταφ. Δ΄. (2) Αὐτ. (3) Αὐτ. (4) Ὅρα ἐν Λογικ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φοῖν τοῖς ὀνόμασι τὸ ὕδωρ περιεσήμανε. (1) Καίτοι, καὶ παρ' ἐκεῖνον, οἱ παλαιοὶ ἀδιαφόρως ἐκάλουν ὕλην εἶναι τὰ τῶν σωμάτων στοιχεῖα καὶ εἰδότες καὶ λέγοντες, (2) ὧν τὴν διαφορὰν μετ' ἐκείνους οἱ περὶ Ἀριστοτέλην, καὶ Πλάτωνα ἡμῖν εἰσηγήσαντο.

## Θεώρημα Ν΄.

§. ριγ΄. „ Τὸ πρῶτον ὑλικὸν αἴτιον καθ' αὑτὸ ἀνυπό-„ στατον, τὸ δὲ δεύτερον, καὶ τρίτον ὑποστατά.

Ἔστι γὰρ ἐκεῖνο οὐδὲν ἕτερον παρὰ τὴν ὕλην (§. ρθ΄.) τὴν πρώτην, ἥτις μηδέ τι, μηδὲ ποσὸν, μηδὲ ποιὸν, μηδ' ἄλλο μηδὲν ἐστὶν οἷς τὸ ὂν ὥρισται. (§. ρί.) τὰ δ' ὑφεστῶτα ἐν τοῖς οὖσιν ὥρισται. (ὡς ἐν τῇ Λογικ., καὶ ἐφεξῆς ἐν τοῖς περὶ ὑποστάσεως εἰρήσεται.) Ἄρα κτ.

Τὸ δὲ δεύτερον ἐστὶν ἡ τετρὰς τῶν στοιχείων, τὸ δὲ τρίτον, τὰ ἐξ ἐκείνων μικτά. (§. ρί.) Τὰ δὲ ὑφέστηκεν. Ἄρα κτ.

## Σχόλιον.

§. ριδ΄. Καὶ τοῦτ' ἐστι δὴ ὅπερ οἱ καθ' ἡμᾶς Φυσικοὶ τὸν Ἀριστοτέλην ἐν αἰτίᾳ ποιοῦνται, ὡς ἄρα τῶν φύσει ὄντων, μεταφυσικάς τινας ἀρχὰς, διανοίᾳ μόλις οὔσας ληπτὰς ὑποστησάμενον, τὴν πρώτην ὕλην φημὶ, καὶ τὰς ἄλλας. Ἀλλ' ἐπιεικῶς εἰπεῖν, ἐν τῷ παντὶ, ἐν ᾧ τὰ πάντα συμμέμικται, τῶν σωμάτων τὰς ἀρχὰς τὰς πρωτίστας καὶ ἀπλουστάτας, καθ' ἑαυτὰς ὑφεστώσας εὑρεῖν μὲν ἀμήχανον, ζητεῖν δὲ ἄλογον. Θαυμάσειεν οὖν τις μᾶλλον ἂν εἰκότως τῶν ἀμφὶ Πλάτωνα, τῶν τὴν ἀνείδεον ὕλην εἰσαγαγόντων πρὸ

τῆς

(1) Πλουτ. ἀρεσκ. βιβλ. ά. Κεφ. β΄.
(2) Μεταφυσ. ά. τὸ μεῖζον. Κεφ. γ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς τῶν σωμάτων παραγωγῆς αὐτῷ τῷ Δημιουργῷ συνδιαιωνίζουσαν. (1)

## Θεώρημα ΝΑ΄.

§. ριέ. „ Ὑλικὸν τὸ πρῶτον, οὐκ ἔστι τὸ μηδέν.

Τὸ γὰρ μηδὲν οὔθ' ὑπάρχει, οὔτ' ἐνυπάρχει, οὔτε εἶδος ἔχει τι δυνάμει, οὔτ' ἂν ἐπιδέξαιτο. (§. λ΄.) Τὸ δὲ πρῶτον ὑλικὸν, καίτοι μὴ καθ' ἑαυτὸ ὑφεστὸς (§. ριγ΄.) ἐνυπάρχει γοῦν τῷ ἐξ αὐτοῦ, καὶ εἶδος οἷον ἐστὶν ἐπιδέχεσθαι. (§. ρί.) Ἄρα κτ.

## Θεώρημα ΝΒ΄.

§. ριϛ΄. „ Τὸ ὑλικὸν αἴτιον φύσει παθητικόν.

Ἐνυπάρχει γὰρ τοῖς μὲν ἐξ αὐτοῦ οὖσι συνυφιστάμενον, τοῖς δὲ γινομένοις τὰ εἴδη ἐπιδεχόμενον ὑποβέβηκεν. (§. ρθ΄. ρί.) Τὸ δὲ ἐνυπάρχον, καὶ ἐπιδεχόμενον, ταύτηγε οὐκ ἐνεργεῖ, ᾗ ἐνυπάρχει καὶ ἐπιδέχεται. Ἄρα κτ.

## Θεώρημα ΝΓ΄.

§. ριζ΄. „ Τὸ ὑλικὸν ἁπλῶς ᾗ τοιοῦτον, οὐκ ἂν εἴη ὅρος „ ἐνεργείας αἰτίου τοῦ ποιητικοῦ.

Ὁ γὰρ ὅρος τῆς τοῦ ποιητικοῦ ἐνεργείας, αἰτιατόν. (§. νβ΄.) Τὸ δὲ ὑλικὸν, ταύτηγε ᾗπερ ὑλικὸν, οὐκ ἔστιν αἰτιατόν· αἴτιον γάρ. (§. νά.) Ἄρα τὸ ὑλικὸν κτ.

Σχο-

„ (1) Ἡ ὕλη αὐτὴ καθ' αὑτὴν ὑπόστασιν ἔχειν οὐ δύναται, ὅτι μη- „ δέπω εἶδος ἐστὶν ἐν αὐτῇ. Ἀλεξ. β΄. περὶ Ψυχ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Σχόλιον.

§. ριή. Τὰ μὲν οὖν κατὰ τὸν δεύτερον, καὶ τρίτον λόγον ὑλικὰ, καὶ αἰτιατά ἐστι, καὶ αἴτια εὖ μάλα καθίσταται. Οὐδὲ γὰρ ἁπλῶς ὑλικὰ τὰ τοιαῦτα, ἀλλὰ καὶ ἐξ ὕλης· οἷον ἐστὶ μὲν παραχθὲν τὸ ὕδωρ, γίνεται δὲ καὶ ὑλικὸν, τῆς τοῦ οἴνου, φέρε λέγειν, συστάσεως. Καὶ χαλκὸς ὁμοίως ὑπό τινος ποιητικοῦ τὴν φύσιν ἔχων, οὐ ταύτῃ δέ τοι ἡ ὑλικὸν τοῦ ἀνδριάντος, ὃς ἐξ αὐτοῦ ἐστὶν, ἢ γίνεται. Τὸ δὲ πρῶτον ὑλικὸν, ᾗ τοῦτο μόνον νοούμενον, αἴτιον μὲν ἐστὶν, αἰτιατὸν δὲ οὔ. Καὶ τοῦτο εἰκὸς εἶναι τὸ κινῆσαν τοὺς πλείστους ὑποθέσθαι τῆς ὕλης τὸ ἀΐδιον. Ἀλλὰ περὶ τούτου ἐν ἄλλοις.

## Θεώρημα ΝΔ΄.

§. ριθ΄. „Τὸ ὑλικὸν τοῦ ὑλικοῦ, ὑλικόν ἐστι καὶ τοῦ ἐξ „ἐκείνου, ἀλλὰ πορρωτέρω.

Δι' ἐκείνου γὰρ ἐνυπάρχει τῷ ἐξ ἐκείνου καὶ ὄντι, καὶ γινομένῳ (ἐξ ὑποθ.) τοιοῦτο δὲ τὸ ὑλικόν. (§. ρθ΄. ρι΄.) Ἄρα κτ.

## Σχόλιον.

§. ρκ΄. Οἷον ἐπεὶ ὑλικὸν μὲν τοῦ ἀνδριάντος ὁ χαλκὸς, χαλκοῦ δὲ ὕδωρ, ὕδατος δὲ τὸ πρῶτον, φανερὸν ὅτι ἐκείνου ὕλη καὶ ταῦτα. „Γίνονται δὲ, φησὶν Ἀριστοτέλης (1), πλείους „ὕλαι τοῦ αὐτοῦ, ὅταν θατέρου ἡ ἑτέρα ᾖ· οἷον φλέγμα „ἐκ λιπαροῦ καὶ γλυκέος, εἰ τὸ λιπαρὸν ἐκ τοῦ γλυκέος. Οὕτως εἴπερ ἀμέλει ἐκ μὲν τοῦ γλυκέος τὸ λιπαρὸν ἀποκριθῇ, τὸ δὲ λιπαρὸν τῷ ἐν τοῖς ἀδέσιν ὑδαρωτέρῳ συγκρα-

κρα-

(1) Μεταφ. Η.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κραθῇ, καὶ ὅτως εἰς φλέγμα ποιωθῇ. Ὁ δ' αὐτὸς ἀποδὺς τὸν ὁρισμὸν τοῦ ὑλικοῦ αἰτίου, καὶ ἐπὶ τὰ μᾶλλον καθόλου ἐξέτεινε τὸ θεώρημα. „ Ὑλικὸν γάρ, φησίν, ἐξ οὗ γίνεταί „ τι ἐνυπάρχοντος· οἷον ὁ χαλκὸς τοῦ ἀνδριάντος, καὶ ὁ ἄρ- „ γυρος τῆς φιάλης, καὶ τὰ τούτων γένη. (1)

## Θεώρημα ΝΕ'.

§. ρκά. „ Ἐκ τοῦ πρώτου ὑλικοῦ, καὶ τῶν σωμάτων τὰ ἀπ- „ λούστατα.

Ἤτοι γὰρ εἶδος ἔχει, ἢ μή. Ἀλλ' εἰ μὲν τοῦτο, οὐδ' ἐν τοῖς οὖσιν ὠρισται, καὶ οὐδὲν ἂν εἶεν ταῦτα, ὅτι μὴ ὕλη ἡ πρώτη, ἡ μηδὲ τί, μηδὲ ποσόν, κτλ. ( §. ρί. ) ἢ οὐδέν· καὶ οὐδὲ σώματα ἄρα. ( §. λ'. ) Εἰ δ' ἐκεῖνο, ἢ καθ' αὑτὸ ὑφεστὸς ἔχει τὸ εἶδος, καὶ αὖθις εἴδη ἀσώματα ὄντα, οὐκ ἔσαι σώματα. ( κατὰ τῆς ὑποθέσ. ), ἢ ἔχει καί τι τὸ ὑποβεβηκὸς αὐτοῦ τῷ εἴδει. Τοῦτο δέ, ἤτοι ὕλη ἔσαι ἡ πρώτη, ἢ γοῦν ἡ δευτέρα, ἢ γ'. ( §. ρί. ) Ἀλλ' εἰ μὲν αὗται, οὐδὲ ἁπλᾶ ἔσαι ( §. ρί. ) καὶ παρὰ τοῦτο, δοθέντος, κἀκείνη ἄρα. ( §. ριθ'. ) Εἰ δ' ἐκείνη, ἐδείχθη δὴ τὸ τεθέν. Ὥσε ἐκ τοῦ πρώτου ὑλικοῦ κτ.

## Σχόλιον.

§. ρκβ'. Οἱ καθ' ἡμᾶς Φυσικοὶ τὴν πρώτην ὕλην ἔκτασιν εἶναι στερεὰν φύσει, τουτέστι πλήρη, καὶ μὴ κενώ τινα διάστασιν, ὁριζόμενοι, οὐδ' ἀκούειν ἀνέχονται ἑτερογενοῦς τινος ὕλης, ἐπὶ τῶν αἰθερείων σωμάτων μονουμένης, οἵαν οἱ Περιπατητικοὶ ὑποτοπῆσαι φέρονται. Αἰτιῶνται δὲ τὸν Ἀριστοτέλην, ὡς ἄρα αὐτοῖς τῆς ἀτόπου δόξης ἐξάρξαντα. Ἡμῖν ἀλλ' οὖν οὐχ ὡς δόγματος βεβαίου καὶ ἀραρότος τοῦδι ἀντεχό-

(1) Μεταφυσ. Δ.

τεχόμενος ἔδοξεν ὁ Φιλόσοφος, ἀλλ᾽ ἅπως ἐνδοιάζων τε καὶ διχογνωμῶν. Φανερὸν δὲ ἐξ ὧν αὐτὸς μετὰ δισαγμοῦ ἐν τοῖς Μεταφυσικοῖς, τὸ περὶ τούτου ἡμῖν ὑπέκρουσεν, ἐν οἷς φησὶν, ὅτι „ περὶ τῆς ὑλικῆς οὐσίας δεῖ μὴ λανθάνειν, ὅτι εἰ καὶ „ ἐκ τοῦ αὐτοῦ πάντα πρώτου, ( ἤτοι τοῦ ὑλικοῦ. ) ἢ τῶν αὐ- „ τῶν ὡς πρώτων, ( διὰ τοὺς ἀντὶ ὕλης ὑποτιθεμένους τὰ στοιχεῖα, ἢ τινὰ, ἢ πάντα. ) καὶ ἡ αὐτὴ ὕλη ὡς ἀρχὴ τοῖς „ γιγνομένοις, ὅμως ἔστι τις οἰκεία ἑκάστου· οἷον φλέγματος „ ἐστὶ πρώτη ( τὸ πρώτη αὐτὶ τοῦ καθ᾽ αὑτὸ νοητέον. ) ὕ- „ λη τὰ γλυκέα, ἢ λιπαρά· χολῆς δὲ τὰ πικρὰ, ἢ ἄλλ᾽ „ ἄττα· ἴσως δὲ καὶ ταῦτα ἐκ τοῦ αὐτοῦ. (1) Ἔοικε γοῦν διὰ τοῦ ἴσως ἐνταῦθα ὑποδιστάζοντι, διὰ τὸ ἐπρογενὲς τῆς ἐνίων ὕλης, ( φασὶν οἷς ἔργον τὸν νοῦν τοῦ ἀνδρὸς ἀναμοχλεῦσαι ἐγένετο, (2) ) ἐξ ἧς τὰ κρείττω, ἢ ἥττονα φθορᾶς σύγκειται. Καὶ ὑποκαταβὰς δὲ μετὰ βραχέα· „ ἐπὶ „ τῶν φυσικῶν μὲν, ἀϊδίων δὲ οὐσιῶν, φησὶν, ἄλλος λό- „ γος, ἴσως γὰρ ἔνια οὐκ ἔχει ὕλην ( τὰς πνευματικάς „ μοι νόει οὐσίας. ) ἢ οὐ τοιαύτην, ἀλλὰ κατὰ τόπον κινη- „ τὴν, οἷον τὰ ἐν οὐρανοῖς σώματα, καὶ αὐτοὶ ἐκεῖνοι.

## Θεώρημα Νϛʹ.

§. ρκγʹ. „ Ἐκ τοῦ πρώτου ὑλικοῦ καὶ τῶν σωμάτων τὰ μικτά. Τῶν γὰρ μικτῶν ὑλικὸν τὰ ἁπλᾶ. ( §. ρίʹ. ) Τῶν δὲ ἁπλῶν ὑλικὸν, τὸ πρῶτον. ( §. ρκαʹ. ) τὸ δὲ ὑλικὸν τοῦ ὑλικοῦ, ὑλικὸν καὶ τοῦ ἐξ ἐκείνου. ( §. ριθʹ. ) Ἄρα κτ.

## Θεώρημα ΝΖʹ.

§. ρκδʹ. „ Γένοιτ᾽ ἂν ὑλικὸν ἐξ ὑλικοῦ τρίτον ἐκ τρίτου, „ καὶ τρίτον ἐκ δευτέρου, καὶ δεύτερον ἐκ τρίτου, αὐτοϋφεστῶς

„ ἐξ

(1) Μεταφ. Η.

(2) Ὅρα Ἀκινάτ. Βιβλ. ή. τῶν Μεταφ. Ἀναγν. δʹ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ ἐξ αὐτοϋφεστῶτος· δεύτερον δὲ ἐκ δευτέρου, ἴσως οὐχί.
„ Ἐκ δὲ δὴ τοῦ πρώτου τούτω, καὶ ἐκ τούτων τὸ πρῶτον, ἀδύ-
„ νατον.

Συνθέσει γὰρ, ἢ μίξει, ἢ κράσει, ἐκ μικτοῦ, ἢ ἄλλως συνθέτου, ὑφεστῶτος μικτὸν ἕτερον, ἢ ἄλλως σύνθετον ἂν συσταίη. ( §. ρί. ) Ταῦτα δὲ τὰ τρίτα ὑλικά. ( §. αὐτ. ) ἃ καὶ ὑποστατά. ( §. ριγ΄. ) Ο. τὸ ά.

Ἀλλὰ καὶ ἐκ τῶν δευτέρων ὡσαύτως τρίτον ἂν συσταίη μίξει, ἢ κράσει, ἢ ἄλλως ὁπωσοῦν. ( §. ρί. ) ἐκ δὲ τοῦ τρίτου δεύτερον ἀναλύσει. ( §. αὐτ. ) Καὶ τὸ δεύτερον δὲ, ὡς καὶ τὸ τρίτον, ὑποστατόν. ( §. ριγ΄. ) Ο. Η. β΄. καὶ γ΄.

Τὸ δὲ δεύτερον εἰς τὸ δεύτερον, οὐ μᾶλλον καὶ ἧττον ἁπλοῦν ὂν, ἕτερον ἑτέρου, οὐκ ἂν οὐδὲ μίξει, οὐδ᾽ ἀναλύσει θάτερον εἰς θάτερον μεταστaίη. Πότερον δὲ φθορᾷ καὶ γενέσει μεταποιεῖσθαι ταῦτα εἰς ἄλληλα φύσιν ἔχει; τοῖς φυσιολογοῦσι ζητεῖν ἔπεστι, τοῖς περὶ τούτου εἰσέτι καὶ νῦν διαφερομένοις. Ἴσως ἄρα οὐχὶ, κτ. Ο. τὸ δ΄.

Ἀλλὰ τὸ πρῶτον ὑλικὸν καθ᾽ αὑτὸ ἀνυπόστατον. (§. ριγ΄.) Οὐκ ἄρα ἐκ τοῦ πρώτου τὰ λοιπὰ δύω, αὐθυφεστῶτος αὐθυφεστῶτα, οὐδὲ μὴν οὖν ἀνάπαλιν. Ο. τὸ έ.

## Σχόλιον

§. ρκέ. Αἱ κατὰ τὰς μίξεις τε καὶ ἀναλύσεις τῶν σωμάτων ὅσαι ὧραι συμβαίνουσαι μεταβολαὶ, καὶ αὐτῇ τῇ πείρᾳ κατασκευάζουσι τὰ εἰρημένα· νῦν μὲν τῶν ἁπλουστέρων ὑλῶν ἐπὶ τὰς μᾶλλον συνθέτους ἀναγομένων διὰ γενέσεως, νῦν δὲ φθορᾷ τῇ τούτων ἐπ᾽ ἐκείνας ἐπανιουσῶν τὸ ἀνάπαλιν. οἷον δὴ κείσθω ὕλη μὲν δευτέρα τὰ στοιχεῖα τῶν γραμμάτων, α, θ, μ, ε. Ὕλη δὲ τρίτη, αἱ ἐκ τούτων συλλαβαὶ, μα, θε. Ὕλη δὲ πρώτη ἐξ ἧς καὶ εἴδους τινός, τὸ α, καὶ τ᾽ ἄλλα ὡσαύτως. Συστήσεται γοῦν ἐκ τρίτου ὑλικοῦ ὑφεστῶτος τοῦ μα, καὶ τρίτου παραπλησίως τοῦ θε, ὑλικὸν ὑποστατὸν εἰς εἶδος ὅρου τὸ μάθε, καὶ τὸ θέμα· καὶ ἀναλύσει πάλιν ἐξ ὑποστατοῦ τοῦ μάθε, καὶ τοῦ θέμα, ὑποστατὰ τὰ μα καὶ θε. Καὶ ἐκ τῶν δευτέρων δὲ θ καὶ α, τρίτον τὸ θα, κἀκ τούτου



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ δεύτερα ἀνάπαλιν θ καὶ α. Μεταςοιχειῶσαι δὲ τὸ α εἰς θ ἴσως ἐκ ἔνι. Ἀλλὰ καὶ λαβεῖν ὅλως τὸ πρῶτον ὑποκείμενον, ὃ εἰς α κεῖται εἰδοποιηθέν, εἴδες χωρὶς, ἀμήχανον. Ἠνίξατο δὲ καὶ Ἀριςοτέλης τὴν τῶν ὑλικῶν εἴτε φθέσει, εἴτε καὶ ἀναλύσει εἰς ἄλληλα μεταποίησιν, εἰπὼν, „ ὅτι διχῶς τόδ᾽ ἐκ τοῦδε· ἢ ὅτι πρὸ ὁδοῦ ἔςαι, ἢ ὅτι ἀ-„ ναλυθέντος εἰς τὴν ἀρχήν. (1) Ὅτι δὲ καὶ εἰς τὴν πρώτην καὶ ἐπὶ τῶν ἁπλῶν σωμάτων, ταῦτα οἶμαι τὰ μάλιςα δεόμενα δείξεως.

## Θεώρημα ΝΗ΄.

§. ρκϛ΄. „ Ἐνδέχεται μιᾶς ἔσης τῆς ὕλης, ἕτερα γίνε-„ σθαι διὰ τὴν κινἔσαν αἰτίαν.

Τῆς γὰρ κινἔσης αἰτίας ἄλλως καὶ ἄλλως περὶ τὴν αὐτὴν ὕλην ἐνεργἔσης, μένει μὲν ὕλη ἡ αὐτὴ, γίνεται δ᾽ ἑτεροῖα τὰ γινόμενα, διὰ τὸ μὴ παραπλησίως ἐνεργεῖν εἶναι τὸ ποιητικόν. ( ἐξ ὑποθ. ) ἄρα κτ.

## Σχόλιον.

§. ρκζ΄. „ Ἐκ μὲν ἔν τοῦ ξύλου καὶ κιβωτὸς, καὶ κλίνη, „ Ἀριςοτέλης φησὶν, (2) ἐκ δὲ τοῦ ὕδατος καὶ ὄμβροι, καὶ χιὼν, καὶ χάλαζα, καὶ πάχνη, καὶ δρόσος, καὶ τὰ τοιαῦτα. Ἀληθεύει δὲ τοῦτ᾽ ἐπὶ πάντων, ὅσα ὁμογενῆ μὲν ὄντα τὴν ὕλην, τῷ εἴδει διενηνόχασιν. Ἀλλὰ καὶ τῆς αὐτῆς πρωτίςης ὕλης ὑπἔσης, τὰ ποικιλλόμενα εἴδη ἀριθμῷ σχεδὸν εἰσὶν ἀπερίληπτα.

Θεώ-

(1) Μεταφ. Η. (2) Μεταφ. Η.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΝΘ΄.

§. ρκή. „ Εἰδῶν ἑτέρα ἡ ὕλη ἐξ ἀνάγκης, ἑτέρων ὄν-
„ των.

Ἐκληπτέον δὲ τὸ λεγόμενον μὴ περὶ τῆς πρώτης ὕλης εἰρῆσθαι.

Ὅσοις γὰρ παρὰ τὴν ἐκ τοῦ εἴδους, καὶ ἡ ἐκ τῆς ὕλης καθ' αὐτὸ παροπηδεῖ ἰδιότης, ταῦθ' ἕτερα ὄντα, εἰ μέλλει τῆς κατὰ τὴν φύσιν προσηκούσης αὐτοῖς τεύξεσθαι ἰδιότητος, δέον ἕτερα πάντως εἶναι καὶ τὴν ὕλην, ἀφ' ἧς ἡ συνιςῶσα ἰδιότης πρόεισι. Πολλὰ δὲ τοιαῦτα. (ὅρα τὸ ἐφεξ. σχόλ.) Ἄρα κτ.

## Σχόλιον.

§. ρκθ΄. „ Πρίων τοίνυν οὐκ ἂν γένοιτο ἐκ ξύλου οὐδ' ἐπὶ
„ τῇ κινούσῃ αἰτίᾳ τούτου. Οὐ γὰρ ποιήσει πρίονα ἐξ ἐρίου,
„ ἢ ξύλου. (1)

## Θεώρημα Ξ΄.

§. ρλ΄. „ Ἐπὶ τῶν, ἐξ ἄλλης ὕλης, μὴ ἑτέρων ὄντων,
„ τὴν κινοῦσαν αἰτίαν εἰκὸς εἶναι τὴν αὐτήν.

Τὸ γὰρ ταυτὰ εἶναι οὐκ ἔχει ἐκ τῆς ὕλης (ἐξ ὑποθ.) οὐδ' ἐκ μηδενός. (§. νέ.) Οὐδὲ ἀφ' ἑαυτῶν (§. νς΄.) ἢ αἰτιατά. Ἐκ τοῦ ποιητικοῦ ἄρα. Εἰκὸς ἄρα κτ.

## Σχόλιον.

§. ρλά. „ Τὸ τοίνυν Ἀριστοτέλει ῥηθέν, (2) ὡς εἰ ἄ-
„ ρα τὸ αὐτὸ ἐνδέχεται ἐξ ἄλλης ὕλης ποιῆσαι, δῆλον ὅ-
„ τι

(1) Ἀρις. Μεταφ. Η. (2) Μεταφ. Η.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ τι ἡ τέχνη, καὶ ἡ ἀρχὴ ὡς κινοῦσα ἡ αὐτή, οὕτως οἶμαι ἐκληπτέον, τὸ ἡ αὐτή, ἀντὶ τῆς πρὸς τὸ αὐτὸ αἰτιατὸν ἐρμηνεύσασι δεξιότητος. Ἄλλως γὰρ καὶ χαλκεὺς ἐκ σιδήρου σφαῖραν ἐχάλκευσε, καὶ κάνθαρος ἐκ κόπρου συνέπλασεν. Ἀλλὰ τοῦ μὲν ἀρχὴ κινοῦσα ἡ τέχνη, τοῦ δὲ ἡ φύσις. Οὕτω δὲ τὸ χωρίον ἐκδεξαμένοις, οὐχ ὑπαντιάσει οὐδὲ τὸ δειχθὲν ἐν Θεωρήματι κζ΄. §. ξη΄., καθ᾽ ὃ κωλύει πάντως „ οὐδέν, τοῦ αὐτοῦ τῷ ἀριθμῷ πολλὰ εἶναι τὰ ποιητικὰ „ τρόποις διαφέροντα· οἷον εἰς ὑγίειαν ὅ,τε περίπατος, καὶ ὁ ἀήρ, καὶ φάρμακα, τὰ πολλά, καὶ ἐπροδυναμοῦντα ὤνησαν. Εἰ δὲ τῷ ἀριθμῷ, καὶ τῷ εἴδει, εἰ μὴ καὶ μᾶλλον. Ἀλλὰ τὰ πολλὰ δὴ ταῦτα ἐπὶ τὴν αὐτὴν ἀρχὴν ἀνακτέον τοῦ λόγου, ἢ τῆς αὐτῆς, πρὸς τὸ αὐτὸ αἰτιατὸν ἀμέλει, διμοίρησε δεξιότητος.

## Θεώρημα ΞΑ΄.

§. ρλβ΄. „ Εἴπερ ἡ ὕλη ἑτέρα, καὶ τὸ κινοῦν, καὶ τὸ γεγονός.

Εἰ μὴ γάρ, ἔσω ταυτόν. Ἡ δὲ ὕλη ἑτέρα, (ἐξ ὑποθ.) Ἄρα (διὰ τὸ ἀνωτ.) καὶ τὸ κινοῦν ταυτόν. Νῦν δὲ καὶ ἕτερον. (ἐξ ὑποθ.) Τὸ δὲ ἀδύνατον. (§. λ΄.) Ἄρα κτ.

## Περὶ τοῦ Εἰδικοῦ.

§. ρλγ΄. Αἴτιον ἐπὶ τούτοις τέταρτον, τῶν δὲ ἐνυπαρχόντων τὸ δεύτερον, ἐστὶ τὸ εἰδικόν, ὃ συνίστησι μὲν τὴν τοῦ ὄντος φύσιν, διαστέλλει δὲ τῶν ὅσα τοιαύτην οὐκ ἔλαχε. Καλεῖται δὲ τοῦτο παρ᾽ Ἀριστοτέλει εἶδος, καὶ παράδειγμα. (1) τὸ μέν, ἢ τί ἐντός ἐστι θεωρούμενον αὐτοῦ τοῦ εἰδοποιουμένου, καὶ συνισαμένου· οἷον τὸ τοῦ ἀνθρώπου, φέρ᾽ εἰπεῖν, τὸ τοῦ

(1) Μεταφ. Δ.

τοῦ λίθου. Τὸ δὲ, ᾗ ἐκτὸς, πρὸς ὃ ἡ ποιητικὴ ἀπιδοῦσα αἰτία, ἐν ὕλῃ παράγει τὸ κατ' ἐκεῖνο· οἷον ὁ αὐτοάνθρωπος, καὶ ὁ αὐτόλιθος, καὶ τὰ ἄλλα τῶν ὄντων παραδείγματα, ἅπερ ὁ Πλάτων, ᾗ πολλοὶ ὑπέλαβον, καθιδρυκὼς φέρεται· καθ' ἃ καὶ ὁ Δημιουργὸς τὰ τῇδε διακοσμεῖ, καὶ καλλύνει, οἷα καὶ οἰκοδόμος τυχὸν, πρὸς τὴν σχεδιασθεῖσαν οἰκίαν οἰκοδομῶν. Διακριτέον δὲ τοῦ εἴδους τοῦ εἰρημένου, καὶ τὰς ἀμιγεῖς ὕλης οὐσίας, ἅτινα εἴδη νοερά τε, καὶ κεχωρισμένα τῆς ὕλης λέγεται, ἐπεὶ οὐκ ἐξ ἀνάγκης καὶ τῆς ὕλης ἐξῆπται, καθ' ἑαυτὰ καὶ τὸ εἶναι, καὶ τὸ ἐνεργεῖν ἔχοντα. Ἀλλ' ἡμῖν ὁ λόγος ἐν τούτοις περὶ εἰδικοῦ τοῦ ἐνυπάρχοντος. Τοῦτο δὲ, εἴτις ἀκριβῶς ἐπιβάλλοι, οὐδὲν ἐστὶν ἕτερον, ὅτι μὴ σύστημα διαγνωρισμάτων τινῶν, καὶ χαρακτήρων, οἷς τοιόνδε τι εἶναι, τὸ ὂν καθίσταται, καὶ παντὸς ἄλλου, ᾧ μὴ τὸ αὐτὸ, ἢ μὴ τέλεον προσῇ, διακρίνεται. Δοκοῦσι δὲ καὶ οἱ Πυθαγόρειοι, οὐσιώδεις οἵους τινὰς ἀριθμοὺς τὰ τῶν πραγμάτων εἴδη ἀποκαλοῦντες, αὐτὸ τοῦτο προσεμπεδοῦν ἐθέλειν τὰ συνιόντα τῶν γνωρισμάτων, ἐξ ὧν, ὡς ἐκ μονάδων ὡρισμένων τὸ πλῆθος, ὅδι ἢ ὅδι ὁ ἀριθμὸς, τῶν εἰδῶν ἕκαστον συγκεκρότηται. Διὸ καὶ ὁ ὁρισμὸς τὸ εἶδος ἀναπτύσσειν ἐπιχειρῶν, τοὺς ἐκείνου συστατικοὺς ὄντας χαρακτῆρας ἐκτίθησι· καθ' ὃ καὶ λόγος τοῦ τί ἦν εἶναι ἐκφαντορικὸς εἴρηται. Τὸ γὰρ τί ἦν εἶναι, αὐτὸ τὸ εἶδος ἐστὶν, ὡς Ἀριστοτέλης ὡρίσατο (1). Σημαίνει δὲ τὸ τί ἐστὶ τῷ πράγματι τὸ εἶναι, κατ' ἀντιχρονισμὸν τοῦ ἦν, ἀντὶ τοῦ ἐστὶν, εἰωθότος τοῖς παλαιοῖς ἐκλαμβάνεσθαι, ᾗ φησὶν Ἀμμώνιος (2). Ἐπεὶ δὲ, καὶ χαρακτήρων χαρακτῆρες εἰσὶν, οἱ μᾶλλον τοῖς ἧττον καθόλου ἐνθεωρούμενοι, καὶ γνωρισμάτων γνωρίσματα, ὡς ἐν τοῖς περὶ ἐναργείας τε καὶ εὐκρινείας ἐννοιῶν εἴρηται, (3) δῆλον ὅτι καὶ τὰ φύσει πρότερα τὸ εἶδος συμπληροῖ. Καὶ οὐ μόνος ἄρα ὁ λόγος τοῦ τί ἦν εἶναι, κατ' Ἀριστοτέ-
„ λην εἰπεῖν, τὸ εἶδος ἐστὶν, ἀλλὰ καὶ τὰ τούτων γένη· οἷον

„ τοῦ

(1) Μεταφ. Δ. (2) Εἰς τὸ περὶ Ἑρμην. Τμῆμ. γ'.
(3) Ἐν τῇ Λογικ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ τοῦ διὰ πασῶν τὰ δύω πρὸς ἕν· καὶ ὅλως ὁ ἀριθμός· καὶ „ τὰ μέρη τὰ ἐν τῷ λόγῳ. (1) Ὥστε οὐ καλῶς οἱ περὶ Καρτέσιον τὸν Νεώτερον, ἐν μιᾷ καὶ μόνῃ ἰδιότητι, ἀφ᾽ ἧς αἱ λοιπαὶ ἐκπηγάζειν νοοῦνται, ἡ δὲ μὴ ἐξ ἄλλης, τὸν ἐν τῷ πράγματι τὸν οὐσιώδη λόγον τιθέασι κείμενον, οἷον τοῦ σώματος, ἐν μόνῃ τῇ ἐκτάσει. Τοῦτο γὰρ αὖ ἴσως ἀληθὲς ἢ ἐπὶ μόνων τῶν ἁπλουστάτων. Κανπεῦθεν δὲ καὶ τοῦ οὐσιώδους λόγου παντὸς τὸ δυσέφικτον, χαλεπὸν ὄν, καὶ τὰ ἑκάστῳ προσόντα ἅπαντα ἀκριβῶς εἰδέναι, καὶ τούτων περινοῆσαι ἀκραιφνῶς τὴν εἰς ταὐτὸ ἕνωσιν. Ἀλλ᾽ εἰ καὶ πλείω συνίασι τὰ πολλὰ εἰς ἑνὸς εἴδους συμπλήρωσιν, τὸ γεμὴν ἐκ τῶν πολλῶν ἓν τὴν τοῦ εἴδους προσηγορίαν ἀμπίσχεται, καὶ τὸ ὑποκείμενον, οὕτως εἰπεῖν, ἀμφιέννυσιν, τὸ γυμνὸν ἄλλως καθ᾽ ἑαυτὸ καὶ ὄν, καὶ νοούμενον. Καὶ ἔστιν ἀτεχνῶς „ ἐκμορφουμένης ὕλης κάλλος ἐκεῖνο, (2) παρέχειτε αὐτῇ τὴν πρώτην, πρὸς τὴν δευτέραν, τελειότητα· ἤτοι τὴν κατὰ δύναμιν, πρὸς τὴν κατ᾽ ἐνέργειαν. Διὸ καὶ πρώτη ἐντελέχεια, „ καὶ ἀρχὴ τῆς δευτέρας ἐντελεχείας ἐν ἄλλοις ὥρισται. (3) „ Καὶ θεῖόν τι ἀγαθὸν, καὶ ἐφετὸν εἶναι ὑμνεῖται. (4)

§. ρλδ΄. Ἔστι δὲ τὸ μὲν εἰδοποιοῦν, ἁπλούστερόν τι, οἷον τὸ τοῦ ὕδατος, τὸ δὲ μικτὸν, οἷον τὸ τοῦ μέλιτος, τὸ δὲ καὶ μᾶλλον, οἷον τὸ τοῦ μελικράτου. Καὶ τὸ μὲν εἰδικὸν φύσει, οἷον τὸ τοῦ χρυσοῦ, τὸ δὲ τέχνῃ, οἷον τὸ τῆς φιάλης. Καὶ τὸ μὲν οὐσιῶδες, τὸ ἐνδομυχοῦν τῷ συνθέτῳ, οἷον τὸ τοῦ κηροῦ, ἢ κηρός. Τὸ δὲ ἐπουσιῶδες, καὶ οἷον τις κατὰ συμβεβηκὸς ποιότης ἐπιπολάσασα, ὡς τὸ ξανθὸν εἶναι, τὸ τακερόν. „ Ἀλλὰ καὶ τὸ τί ἦν εἶναι, τό,τε ὅλον ἐστὶν, ὡς Ἀ- „ ριστοτέλης φησὶ, καὶ ἡ σύνθεσις, καὶ τὸ εἶδος. (5) Εἶδος μὲν, οἷον τὸ τοῦ χαλκοῦ, ὅλον δὲ, ἤτοι ὡς ἔτυχε κατὰ μόνην ἐπαφὴν, οἷον τὸ τοῦ σωροῦ, ἢ ἀναφῶς, οἷον ὄχλου, ἢ κατὰ λόγον, οἷον ἡ τάξις, ἐπὶ στρατοῦ. Σύνθεσις δὲ, ἤτοι συνδέσμῳ, οἷον ὃ φέρει φάκελλος· ἢ συναφείᾳ, οἷον τὸ οἰκίας

(1) Μεταφ. Δ. (2) Ναζιανζ. (3) Β. Περὶ ψυχ. ά.
(4) Α. Φυσικ. θ΄. (5) Μεταφ. Δ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κίας εἶδος· ἢ μίξει, οἷον τὸ ὀρειχάλκυ, ἢ κράσει, οἷον τὸ οἰνομέλιτος.

## Θεώρημα ΞΒ΄.

§. ρλέ. „ Τὸ ὑλικὸν τῦ εἰδικῦ φύσει διακρίνεται, ἤτοι ὁρισμῷ.

Τὸ μὲν γὰρ εἰδοποιεῖσθαι, τὸ δὲ εἰδοποιεῖν πέφυκε· καὶ τὸ μὲν ἐπιδέχεσθαι θάτερον, τὸ δὲ θατέρῳ ἐπιγίγνεσθαι. Καὶ τὸ μὲν τελειῦσθαι, τὸ δὲ τελειῦν. ( §. κά. ρί. ρλγ΄. ) φύσει δὲ ἀλλήλων τὰ ὕτως ἔχοντα διακρίνεται. Ἄρα κτ.

## Θεώρημα ΞΓ΄.

§. ρλς΄. „ Τὸ εἰδικὸν ἕτερον παρὰ τὸ σύνολον.

Τὸ μὲν γὰρ ἐκ τῦ ὑλικῦ τε καὶ εἰδικῦ συνιςάμενον, ἐκείνοις καὶ ταυτίζεται. ( ἐξ ὑποθ. ) τὸ δὲ εἰδικὸν τῷ ὑλικῷ ὐ ταυτίζεται. ( §. ρλέ. ) Ἕτερον ἄρα παρὰ τὸ σύνολον.

## Σχόλιον.

§. ρλζ΄. Κἂν τύτῳ δὲ τὸ εἰδικὸν τῦ ὑλικῦ διενήνοχε. Τὸ μὲν γὰρ ἂν ἄλλως εἴη ποτὲ, τόν τε τῆς ἀρχῆς, καὶ τὸν ἐκ τῆς ἀρχῆς, πρὸς ἄλλο καὶ ἄλλο, ἀμφοτέρυς τὺς λόγυς ἐπιδεχόμενον· οἷον εἰ τύχοι ὑλικὸν δεύτερον, ἢ τρίτον. ( §. ρί. ) Τὸ δὲ ὐκ ἂν πάθοι τοιῦτον ὐδέποτε. Εἶδος δὲ ὂν, καὶ μόνον, τῦτε συναιτίυ ἀεὶ, καὶ τῦ συνόλυ ἐπίσης διέςαλται.

## Θεώρημα ΞΔ΄.

§. ρλή. „ Τὸ εἰδικὸν ὐκ ἐκ τῦ ὑλικῦ ἐςὶν, ἢ τοιῦτον „ ἑκάτερον.

Ἤτοι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἤτοι γὰρ ὡς ἐξ ἐνεργείᾳ παράγοντος εἴη, εἴθ' ὡς ἐξ ὑλικῶς συνυπάρχοντος, καὶ συνισῶντος. Ἀλλ' οὐκ ἂν ἐκείνως, φύσει γὰρ παθητικόν, ἢ τοιοῦτο, τὸ ὑλικόν. ( §. ρις'. ) Οὐδὲ μὴν οὖν οὐδ' οὕτως· εἴη γὰρ ἂν ἐξ ὕλης, τὸ εἰδικὸν συνεςὼς, καὶ εἴδους. Καὶ ὅλως τὸ σύνολον. Οὐκ ἔςι δὲ, ἀλλ' ἕτερον. ( §. ρλς'. ) Ἄρα κτ.

## Σχόλιον.

§. ρλθ'. Πῶς οὖν ἐκ τοῦ δυνάμει τῆς ὕλης προϊέναι τὸ εἶδος, τοῖς ἐκ τοῦ Περιπάτου πρεσβεύεται; ἢ πάνυ ψυχρῶς. Προΐοι γὰρ ἂν, ὥσπερ ἂν καὶ ἐνείη. Ἔνεςι δὲ δυνάμει, πρόεισι τοίνυν καὶ δυνάμει. Ἀλλ' οὔτε δυνάμει ἐνὸν τῷ ὄντι ἔνεςιν, οὐδ' οὕτω προϊὸν, πράγματι πρόεισι. Λέγει γοῦν κυρίως ἑκάτερον τὴν τῆς ὕλης δεξιότητα, ἢ δεξαμένη τις οὖσα τῶν εἰδῶν ἀτεχνῶς, πρὸς ὑποδοχὴν τὴν τούτων φύσει διάκειται.

## Θεώρημα ΞΕ'.

§. ρμ'. „ Οὐδὲ μὴν οὖν ἐκ τοῦ εἰδικοῦ τὸ ὑλικὸν, ᾗ τοι„ αυτα.

Οὔτε γὰρ ὡς ποιητικὸν ἂν ποιήσειεν, οὐθ' ὡς ὕλη ὑποςήσειέ τι τὸ εἰδικὸν, ᾗ πιςὸν, οὐδέτερον ὄν. ( ἐξ ὑποθ. ) Εἰδοποιοῦντος δὲ, τὸ ὑλικὸν προϋποτίθεται μὲν, οὐ τίθεται δέ. ( §. ρί. ρλγ'. ) Ἄρα κτ.

## Θεώρημα ΞϚ'.

§. ρμά. „ Τὸ ὑλικὸν καὶ εἰδικὸν, οὐ πέφυκε μεταβάλ„ λειν εἰς ἄλληλα.

Μεθισαμένου γὰρ τοῦ εἰδικοῦ εἰς τὸ ὑλικὸν, ἔςαι τὸ εἰδοποιούμενον, χωρὶς τοῦ εἰδοποιοῦντος. Μεταβάλλοντος δὲ τοῦ ὑλικοῦ εἰς τὸ εἰδικὸν, ἔςαι τὸ εἰδοποιοῦν, αὐτὸ τοῦ εἰδοποιουμένου. Ἑκάτερον δὲ τῶν ἀδυνάτων. ( §. λ'. ) Ἄρα κτ.

Σχό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Σχόλιον.

§. ρμβ'. Καὶ ὀρθῶς ἦπε Ἀριστοτέλης ἀπεφήνατο (1) τὴν ὕλην καὶ τὸ εἶδος ἀρχὰς εἶναι, ὡς μὴ ἐξ ἀλλήλων οὔσας. Ὀρθῶς δέ, καὶ ἀλλαχοῦ, (2) τῶν συνθέτων εἶναι φη-„ σὶ τὸ εἰς ἄλληλα μεταβάλλειν, καὶ γίνεσθαι. Καὶ γὰρ „ ἔκτινος, φησί, καὶ τί, πᾶν τὸ γινόμενον γίνεται. Ἀλλὰ τὸ μὲν ἁπλῶς ὑλικὸν οὐδὲ τί, οὐδ' ἔκτινος, ἀλλ' ἐξ αὐτοῦ τί. Τὸ δὲ εἰδικὸν οὐδ' ἔκτινος, οὐδέ τι, τὸ δὲ τί ἐστὶ τὸ εἶναι τῷ πράγματι. Εἰ μὴ γάρ, εἰς ἄπειρον ἂν βαδίζοι τὰ τῆς προόδου. „ Πᾶν γὰρ μεταβάλλει τί, καὶ ὑπό τινος, „ καὶ εἴς τι. Ὑφ' οὗ μέν, τοῦ πρώτου κινοῦντος. Ἐξ οὗ δὲ ἡ ὕ-„ λη, εἰς ὃ δὲ τὸ εἶδος. Εἰς ἄπειρον οὖν εἰσίν, εἰ μὴ μό-„ νον ὁ χαλκὸς γίνεται στρογγύλος, ἀλλὰ τὸ στρογγύλον, „ ἢ ὁ χαλκός· ἀνάγκη δὲ στῆναι. (3)

## Θεώρημα ΞΖ'.

§. ρμγ'. „ Τὸ εἰδικόν, ᾗ τοιοῦτο, καθ' ἑαυτὸ ἀνυπόστατον.

Ἡ, γὰρ τοιοῦτο, ἀρχή ἐστιν ἡ ἑτέρα τῶν κατὰ σύνθεσιν, (§. ιγ'.) καὶ αἴτιον τῶν ἐνυπαρχόντων, (§. να'.) ὃ τὴν ὕλην ἐνεργείᾳ εἰδοποιεῖν ἔλαχε. Καθ' ἑαυτὸ δ' ὑφεστάναι, τὸ χωρὶς ἄλλου του, ᾧ ἐνυπάρχοι, νομίζομεν. (ἐξ ὑποθ.) Ἄρα κτ.

## Σχόλιον.

§. ρμδ'. Πλεῖστον οὖν ὅσον τὰ χωριστὰ λεγόμενα εἴδη τῶν εἰδικῶν διενήνοχεν. Ἐκεῖνα καὶ γὰρ οὐσίαι νοεραί εἰσι, καὶ παν-

(1) Α. Φυσικ. (2) Μεταφ. Η. (3) Μεταφ. Λ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παντοίας ὕλης φύσει ἀπηλλαγμέναι, καθ᾽ ἑαυτὰς τί, τε εἶναι, καὶ τὸ ἐνεργεῖν ἔχουσαι. Τὸ μὲν εἰδικὰ εἶναι ἐν τῇ μετὰ τοῦ εἰδοποιουμένου συναφείᾳ εἰ τύχοι σώζουσαι, τῇ δ᾽ ἀναλύσει οὐκέτι, ὡς ἐν ἰδίῳ τόπῳ ῥηθήσεται· καθ᾽ ἑαυτὰς δὲ μένουσαι. ( §. ρλγ΄. ) Ταῦτα δὲ, οὐσίαι μὲν οὔ, οὐσίας δὲ ἐντελέχειαι· καὶ τὸ πᾶν, φύσεως μιᾶς εἰς ταυτὸ συνεληλυθότα γνωρίσματα. ( §. αὐτ. ) καθ᾽ ἑαυτὰ ὑποστάσεως ἀνεπίδεκτα. ( §. ἀνωτ. )

## Θεώρημα ΞΗ΄.

§. ρμέ. „ Τὸ ὑλικόν τε, καὶ εἰδικὸν τῇ ὑποστάσει τοῦ συνόλου ὑφέστηκεν.

Ταῦτα μὲν γὰρ καθ᾽ ἑαυτὰ οὐδαμῶς ὑποστατά. ( §. ριγ΄. ρμγ΄. ) Ἐξ αὐτῶν δὲ ἐνυπαρχόντων τὸ ὑφεστὼς σύνολον. ( §. νά. ) Ἄρα κτ.

## Πόρισμα.

§. ρμς΄. Οὐκ ἄρα εἰδικὸν τὸ μηδέν. Τὸ γὰρ μηδὲν, οὔτε καθ᾽ ἑαυτὸ ὑφεστὼς, οὔτ᾽ ἐν ἄλλῳ.

## Σχόλιον.

§. ρμζ΄. Ὥσπερ οὖν ποιητικὸν οὐκ ἂν εἴη τὸ μηδέν. ( §. νέ. ) οὐδὲ τελικόν. ( §. πβ΄. ) οὔθ᾽ ὑλικόν. ( §. ριέ. ) οὕτως οὐδὲ εἰδικόν. ( §. ἀνωτ. )

## Θεώρημα ΞΘ΄.

§. ρμή. „ Οὐκ ἀδυνάτως ἔχει τὸ καθ᾽ αὑτὸ ὑποστατὸν, „ καὶ φύσει κεχωρισμένον εἶδος, συναφθὲν τῇ ὕλῃ, εἰδι- „ κὸν συνθέτου γενέσθαι φύσεως.

Γένεσι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Γένοιτο γὰρ ἂν εἰδικὸν τὴν ὕλην εἰδοποιοῦν, καὶ ἐκ τοῦ δυνάμει εἰς ἐντελέχειαν ἀνακαλούμενον, καὶ ὧν ἔχει δυνάμεων κατὰ τὸ προσῆκον αὐτῇ μεταδιδὸν εἰς ἐνέργειαν. Τὸ δὲ οὐδ' ὡς ἐκ τῆς ὕλης ἀσώματον, οἷα δὴ εἰδοποιεῖσθαι, καὶ τελειοῦσθαι πεφυκείας. ( §. ρί. ) Οὐδ' ὡς ἐκ τοῦ εἴδους, δυνατὸν ὂν τοιούτων ἀμοιρῆσαι δυνάμεων τὸ ὑποστατὸν, ὧνπερ ἀμοιρεῖν καὶ τὸ καθ' ἑαυτὸ ἀνυπόστατον ὡμολόγηται. Οὐδὲ γὰρ οὐδὲ κώλυμα ποτὲ, τοὐναντίον δὲ καὶ πλήρωμα τελειότητος καθίσταται ἡ ὑπόστασις. Ἄρα κτ.

## Σχόλιον.

§. ρμθ'. Δώσομεν οὖν, τὰ καθ' ἑαυτὰ ὑποστάσεως ἀνεπίδεκτα, εἰδικὰ τῶν αἰτίων τῆς ὕλης πάντη τυγχάνειν ἀχώριστα, καὶ τοῦτο μόνον εἰδικὰ ὄντα οὐδὲ πρὸ τοῦ συνθέτου γινόμενα, οὐδ' ἐκείνου ἀναλυθέντος ἐπιζῶμενοντα. Μηδὲν δὲ ὅλως τοιοῦτον εἶναι, οἷον δυνατῶς ἔχειν μετὰ τὴν ἀνάλυσιν, εἶδος χωριστὸν καθ' αὐτὸ περιεῖναι, οὐ συγχωρήσομεν. Πάντως γὰρ ἵνα τοὺς ἄλλους ἐάσω, καὶ Ἀριστοτέλης αὐτὸς ὁ νομοθετεῖν λεγόμενος τὸ θνητόψυχον, ἐν τοῖς μάλιστα δυνατοῖς τὸ πρᾶγμα, σὺν ἡμῖν ἀποφαίνεται. Φησὶ γὰρ ἐπὶ λέξεως (1) „ τὰ μὲν οὖν κινοῦντα αἴτια ( νόειμοι τὰ ποιη„ τικὰ ) ὡς προγεγενημένα ὄντα. Τὰ δ' ὡς ὁ λόγος ( ἤτοι „ τὰ εἰδικὰ ) ἅμα. Ὅτε γὰρ ὑγιαίνει ὁ ἄνθρωπος τότε „ καὶ ἡ ὑγίεια ἐστί. Καὶ τὸ σχῆμα τῆς χαλκῆς σφαίρας ἅ„ μα, καὶ ἡ χαλκῆ σφαῖρα. Εἰ δὲ καὶ ὕστερόν τι ὑπομένει, „ σκεπτέον. Ἐπ' ἐνίων γὰρ οὐδὲν κωλύει. ( ὥστε εἰ οὐδὲν „ κωλύει καὶ δυνατὸν ) οἷον εἰ ἡ ψυχὴ τοιοῦτον, μὴ πᾶσα ( οὐδὲ γὰρ εἰκὸς καὶ τὴν αἰσθητικὴν, ἢ φυτικὴν τοιαύτας εἶναι ) „ ἀλλ' ὁ νοῦς. Πᾶσαν γὰρ ἀδύνατον ἴσως.

Κ Ε-

(1) Μεταφ. Λ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΚΕΦΑΛΑΙΟΝ Δ΄.

## Περὶ ὄντος, καὶ μὴ ὄντος, δυνατοῦ καὶ ἀδυνάτου, ὑπάρχοντος καὶ μέλλοντος, ἀναγκαίου καὶ ἐνδεχομένου.

§. ρν΄. Εἰ καὶ γνωριμώτατα εἶναι τὰ γενικώτατα, μετὰ Ἀριστοτέλους, φθάσαν ἡμῖν διωρίσαι (§. ιζ΄.) καὶ τὸ ὂν ᾗ ὄν, ἑκάτερον αὐτῶν, ὑπὲρ ἅπαντα δέδεικται ὄν, (§. κ΄. κα΄. κβ΄.) οὐδὲν ἀλλ᾽ οὖν ἧττον, ἐκείνου αὖθις προσμαρτυροῦντος τῷ λόγῳ, „ἐπεὶ χαλεπώτατα γνωρίζειν ἐστὶ τοῖς „ἀνθρώποις τὰ μάλιστα καθόλου, (1) ἀκόλουθον ἐστὶ τὸ ὑπὲρ τὰ καθόλου, καὶ ὑπὲρ τὰ χαλεπῶς γινωσκόμενα, χαλεπώτερον εἶναι γνωρίσαι. Ἀλλ᾽ ἐκεῖνο μὲν ἁπλῇ ἐπιβολῇ, καὶ γνώσει, ὡς φάναι, πρώτῃ τε καὶ ἐπιπολαίῳ, οὕτως ἔχειν ἐδόκει τε καὶ ἐλέγετο. Τοῦτο δέ, μετ᾽ ἀκριβείας τε, καὶ ἐπιστημόνως. Τὸ μὲν γὰρ τὸ ὂν ἁπλῶς εἰδέναι, ᾗ τοῦ μηδαμῶς ὄντος διέσταλται, τοῦτό τοι τοῦ παντὸς ἂν εἴη, καὶ οὐδὲ χαλεπὸν ὅλως. Τὸ δὲ βαθύτερον τοῦ πράγματος γεύεσθαι, καὶ καθ᾽ ὅσων, καὶ καθ᾽ οἵας δὴ τὰς διαφορὰς λέγεται, ἀκριβοῦν ἐθέλειν, οὐ παντὸς ἐστί, καὶ οὐδὲ ῥάδιον. Τοῦτο γὰρ αὐτίκα τῷ λόγῳ δυσχέρειαν οὐ τὴν τυχοῦσαν μνηστεύεται, τὸ ἀόριστον τοῦ ὀνόματος, ὅπερ οὐ μιᾷ καὶ τῇ αὐτῇ ἐννοίᾳ προσδέδεται. Ἑτεροσημοῦν δέ, πῇ μὲν καὶ ἐπὶ τοῦ αὐτοῦ, μετὰ διαφορᾶς εἴληπται, πῇ δέ, καὶ ἐπὶ τῶν μάλιστα διαφερόντων, ἀδιαφορεῖ. Ὡς εἴγε καὶ τό, μὴ ἐπὶ εὐαρίθμων, οὐδὲ κοινωνίαν τινὰ ἐπίσημον ἐχόντων, λέγεσθαι προστεθείη, οὐκ ἔσθ᾽ ὅπως, μὴ εὐκίνητον πάντῃ, καὶ πλανῆτιν οἵαν, ἔχειν αὐτοῦ τὴν περίνοιαν, οὐκ ἐρῆμον· ἣν μόνη ἂν ἡ ἀνὰ χεῖρας σκέψις, ἄλλη δὲ οὐδεμία ἀκριβῶς στήσειε.

§. ρνα΄. Πρὸ πάντων οὖν τὸ ὄν, ἤτοι μετοχικῶς εἴωθεν ἐκ-

---

(1) Μεταφ. Α. Τὸ μεῖζον.

ἐκλαμβάνεσθαι, ὡς ἀπὸ τοῦ εἰμὶ ὑπαρκτικοῦ, καὶ τὸ, πράγματι ὑφεστὼς, εἴτουν ἐνεστὼς παρίστησιν. Ἢ ὀνοματικῶς, ἀφαιρεμένης τῆς ὑπάρξεως, ὡς φύσιν τινὰ σημαῖνον. Ὥσπερ γὰρ τὰ ὀνόματα ἄνθρωπος, λέων, οὐχ ὕπαρξιν τὴν τῶν σημαινομένων καθ' αὐτὰ δίδωσι νοεῖν, ἀλλὰ τὸ τί ἦν εἶναι συνεπτυγμένως οἷον αὐτοῖς, ἡ ἀνθρώπου φύσις, καὶ ἡ λέοντος, ἣν ἀνθρωπότητα σύνηθες καλεῖν, καὶ λεοντότητα, καὶ ἣν ἔπεσι καὶ ὡς ὑφεστῶσαν λαβεῖν, καὶ ὡς μὴ, ἐν δὲ τοῖς ἁπλῶς δυνατοῖς θέσθαι· οὕτω τοι καὶ τὸ τοῦ ὄντος, οὐκ ἐξ ἀνάγκης καὶ ὕπαρξιν συνεισφέρει, οὕτω νοούμενον, ἀλλὰ καί ποτε, καὶ ὅτῳ τί ἦν τὸ εἶναι αὐτὸ σημαίνει· οἷον οὐσίαν τινὰ τοῦ εἶναι, ἣν ὀντότητα φαίημεν, πῆ μὲν ἐν ὑπάρξει, πῆ δὲ καὶ ὑπάρξεως ἐκτὸς νοουμένην. Εἰ γὰρ ἀνθρωπότητα διανοίᾳ ἔστιν ἀπομάξασθαι, ἢ τοιαύτη, καίτοι ὑπάρξει οὐδόλως ὑπαρχουσαν, καὶ τὴν ὑπὲρ αὐτὴν, καὶ ἐν αὐτῇ ζωότητα, πῶς οὐκ ἂν εἴη; Εἰ δὲ δὴ καὶ ταύτην οὕτω, καὶ τὸ ἐν αὐτῇ ἔμψυχον πάντως. Καὶ τὸ σῶμα δὲ, καὶ τὴν οὐσίαν, καὶ τὸ ἑπόμενον, ἀνυπάρκτως καὶ αὐτά. Οὐδὲ γὰρ ἔνι, τῆς, χωρὶς ὑπάρξεως, ἀνειλημμένης ἀνθρωπότητος, ὑφεστῶσαν εἶναι θεωρεῖν τὴν οὐσίαν καθ' ὕπαρξιν. Ἀντιφάσκει γὰρ ὁμολογουμένως. Ἀλλὰ μὴν, οὐδὲν ἧττον καὶ ἀπὸ τῆς οὐσίας, ἐπὶ τὸ ἐν αὐτῇ ὂν, νοερᾷ τινι πτήσει, ῥᾴδιον μεταρθῆναι. Οὕτω δέ τοι, ὥστε καὶ τὸ ὂν αὐτὸ ἐξῃρημένως ἐνθυμηθῆναι, τῆς πραγματιώδους ὑπάρξεως. Εἰ μὴ δέοι τῆς ἀνυπάρκτως τῇ θεωρίᾳ προκειμένης οὐσίας, ὑπαρκτὸν ὑποθεμένους τὸ εἶναι, λαμπρᾷ καὶ οὕτω, καὶ πάντη ἀσυστάτῳ προσοκεῖλαι τῇ ἀντιφάσει. Ἡ μὲν οὖν πρόοδος, ἐπὶ τὴν ἔννοιαν τοῦ ὀνοματικῶς ἐκλαμβανομένου ὄντος, οὕτω χειραγωγεῖ. Οἱ δὲ τὸ ὂν μὲν, μὴ ὑπάρχον δὲ, ἀπερινοήτως ἔχειν οἰόμενοι, ῥᾷστα ἂν ἐντεῦθεν συνιδεῖν ἔχοιεν, ὡς (εἰ μὴ μετοχικῶς ἐκδέχοιντο.) οὕτω πόῤῥω ἀντιφάσεως ἵσταται τὸ νοούμενον, ὥστε τοὐναντίον μάλιστα τοὺς ἀπαναινομένους, εἰς προφανῆ καταφέρεσθαι τὴν ἀντίφασιν.

§. ρνβ'. Ὀνοματικῶς τοίνυν ἐκληφθὲν τὸ ὂν, οὐ μόνον ἐν τοῖς οὖσιν ὑφεστὼς, νοητὸν δέ τι, καὶ μάλα σημαίνει, ᾧ νοῦς ἐπιβάλλων ἐρείδεται· οἷον εἴτις ἐνθυμηθείη, τυχὸν, κόσμον ἕτερον, ἥλιον δεύτερον, σελήνην τῆς οὔσης τὸ μέγε-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θος διπλασίονα, καὶ τὰ τοιαῦτα. Ταύτῃ δέ τοι καὶ μὴ ὂν ἐξ ἀντιθέτου ὀνοματικῶς ἂν εἴποιμεν, τὸ μηδὲ νοητὸν ὅλως, ἀλλ᾽ ὅπερ, ἂν τὴν διάνοιαν ἐπερείσῃς λαβέσθαι βουλόμενος, διολισθαίνει αὐτίκα, καὶ διεκπίπτει, τῷ λόγῳ ἥκιστα περιλαμβανόμενον· οἷον κύκλον τετράγωνον, ἀριθμὸν οὐκ ἐκ μονάδων συμπληθυνόμενον, καὶ τὰ παραπλήσια. Μετοχικῶς δὲ ὂν, ὅτῳ ἔξω τῶν κατὰ νοῦν ἀνατυπωμάτων, πράγματι τὸ εἶναι πρόσεστι, οἷος ὁ κόσμος ὁ ὑφεστὼς οὗτος· ᾧ καὶ ἀντιβαῖνον ἂν εἴη τὸ μὴ ὂν καθ᾽ ὕπαρξιν, κἂν ἄλλως αὐτὸ ὀνοματικῶς ὂν, καὶ λέγοιτο, καὶ νοοῖτο. Οὕτως ἐκ μὴ ὄντων ὑποστῆσαι τόδε τὸ πᾶν, πρεσβεύομεν, τὸν ἐδράσαντα. Εἴ τις οὖν διελὼν, τὸ μὲν τῇ ἐπινοίᾳ παρυφεστὼς ἐνδέξηται, πράγματι δὲ μὴ, τὸ δ᾽ ἀνάπαλιν, τὸ δ᾽ οὐδέτερον, τὸ δ᾽ ἑκάτερον, ἕξει μὲν ὀνοματικῶς ὂν τὸ πρῶτον, καὶ μὴ ὂν τὸ τρίτον. Ἕξει δὲ μετοχικῶς μὴ ὂν τὸ πρῶτον, ὄντα δὲ τὸ δεύτερον, καὶ τὸ τέταρτον. Ἕξει δ᾽ ἑκατέρως μὴ ὂν μὲν τὸ τρίτον, ὂν δὲ τὸ τέταρτον. Ἀλλὰ τοῦτο μάλιστα προσεκτέον, ἐπὶ τῶν κατ᾽ ἐπίνοιαν λεγομένων ὄντων, διακρίνειν ἐμμελῶς τὸ λεγόμενον. Οἱ γὰρ οἷον τὸ τρίτον εἰσάγοντες, καὶ αὐτῆς τῆς ἐπινοίας λανθάνουσι τὸ κατ᾽ ἐπίνοιαν ἐξελαύνοντες. Δεῖ οὖν τὸ κατὰ τὸ πρῶτον, οὕτως ὂν ἀποφαίνεσθαι. Καὶ τοῦτο δὲ αὖ, ὡς ἐκ τοῦ ἀντικειμένου τῇ ἐπινοίᾳ τοιοῦτον ὑπολαμβάνειν, τὸ ἤτοι εἰς τὸ δεύτερον μεταβατὸν ὂν, καὶ πρώτης ἐπινοίας ἀκοῦον, ἢ μηδαμῶς, καὶ δευτέρας ἐπινοίας λεγόμενον. Τὸ γὰρ εἰδικὸν, οἷον αὐτὴν καλεῖν φιλοῦσι (1) τὴν νόησιν, πραγματιώδη οὖσαν τινὰ τοῦ νοῦ διάθεσιν, τοῖς γε τῷ ὄντι ὑφεστῶσιν, ὡς ἄρα ἐνέργειαν, εἰκότως συγκαταλέγομεν.

§. ρνγ΄. Ταύτην δὲ τὴν ἀποδοθεῖσαν τοῦ ὄντος διαίρεσιν, καὶ Ἀριστοτέλης αὐτὸς ἔγνωκε, καὶ ἐνέκρινεν. Ὀνοματικῶς γὰρ ἐξειληφέναι τὸ ὂν εὔδηλός ἐστιν, ἐν οἷς φησὶν (2) ,, ὅτι τὸ εἶναι σημαίνει ὅτι ἀληθές, τὸ δὲ μὴ εἶναι, ὅτι ,, οὐκ ἀληθές, ἀλλὰ ψεῦδος. Τὸ γὰρ ἀληθὲς οὐκ ἀεὶ ὕπαρξιν ὑφεστῶτος σημαίνει, ὡς οὐδὲ τὸ ψεῦδος ἀνυπαρξίαν ψι-

(1) Ἐν τῇ Λογικ. (2) Μεταφ. Δ.

ψιλήν. Ἀλλὰ καί ποτε τὸ μὲν, οὐσίαν νοητῶς, ἥπερ αὐτὴ
φύσει προσῆκον, νοερᾷ κρίσει συνάπτοιτο, καὶ ἧς, τὸ μὴ,
ἀποζεύγνοιτο. Τὸ δὲ τοὐναντίον, τὸ μηδὲ ὂν ὅλως μηδὲ νοού-
μενον. ,, Τὸ γὰρ ψεῦδος ἕτερον οὐδὲν, ἢ τὸ μὴ ὂν καθέ-
,, στηκεν. (1) Τοῦτο δὲ φανερὸν ποιεῖ ὁ Σταγειρίτης αὐτὸς,
καὶ ἐπὶ τῶν ἀποφάνσεων· ὁμοίως εἰπὼν, (2) καὶ ἐπὶ κατα-
,, φάσεως καὶ ἀποφάσεως· οἷον ὅτι ἐστὶ Σωκράτης μουσικὸς,
,, ὅτι ἀληθὲς τοῦτο. Ἢ ὅτι ( νοητέον τὸ ἐστί. ) Σωκράτης
,, οὐ λευκὸς, ὅτι ἀληθές. ( οὐ γὰρ ὅτι ὑφέστηκε. ) Τὸ δὲ
οὐκ ἔστιν ἡ διάμετρος ἀσύμμετρος ὅτι ψεῦδος. ( οὐχ ὅτι, τοῦ-
το μόνον, οὐχ ὑφέστηκεν. ) Ὥστε τὸ εἶναι, καὶ μὴ εἶναι ἐπὶ
τούτων, τὸ κατὰ τὸν νοῦν ὂν, ἢ μὴ παρεμφαίνει, οὐκοῦν τὸ ἐν
τοῖς πράγμασιν. Οὐδὲν ἧττον δὲ, ἀλλὰ καὶ μᾶλλον σα-
φῶς, καὶ ἐφ᾽ οἷς τοῦ ὄντος, τὴν κατὰ τὸ δυνάμει, καὶ ἐντελε-
χείᾳ ὑποσυνάπτει διαίρεσιν, τὸ μὲν ὀνοματικῶς ὂν ἀπο-
φαίνεται τὸ δυνάμει, τὸ δὲ, καὶ μετοχικῶς ὡς εἴρηται, τὸ
ἐνεργείᾳ. ,, Ἔτι γὰρ, φησὶ (3) τὸ εἶναι σημαίνει καὶ τὸ
,, ὂν, τὸ μὲν δυνάμει ῥητὸν ( εἰρημένον δυνάμει ὂν δηλο-
νότι ) τὸ δ᾽ ἐντελεχείᾳ τῶν εἰρημένων τούτων ( ἤτοι τῶν ἀ-
νωτέρω αὐτῷ τῆς τοῦ ὄντος καθ᾽ αὑτὸ ἀξιωθεισῶν προσηγο-
ρίας κατηγοριῶν. ) ,, ὁρῶντε γὰρ, φησὶν, εἶναι φαμὲν, καὶ
,, τὸ δυνάμει ῥητῶς ( οὐκ ἐν πράγματι ) ὁρῶν, καὶ τὸ ἐν-
,, τελεχείᾳ. Καὶ τὸ ἐπίστασθαι ὡσαύτως ( ἀμέλειτοι τὸ ἐ-
,, πιστάμενον εἶναι ) καὶ τὸ δυνάμενον χρῆσθαι τῇ ἐπιστήμῃ,
,, καὶ τὸ χρώμενον. Καὶ τὸ ἠρεμοῦν, καὶ ᾧ ἤδη ὑπάρχει ἡ ἠ-
,, ρεμία, καὶ τὸ δυνάμενον ἠρεμεῖν. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν
,, οὐσιῶν· ( τὰ γὰρ εἰρημένα ἐλήφθη ἀπὸ τῶν συμβεβηκό-
των ) ,, καὶ γὰρ Ἑρμῆν ἐν τῷ λίθῳ φαμὲν εἶναι· ( ὅτι δύ-
ναται ὁ λίθος εἰς Ἑρμῆν λαξευθῆναι. ) ,, καὶ τὸ ἥμισυ τῆς
,, γραμμῆς· ( ὅτι δύναται δίχα τμηθῆναι, τοῦ συνεχοῦς
δυνάμει διαιρετοῦ ὑποτιθεμένου. ) Ἀλλὰ τίνι λόγῳ τὴν γραμ-
μὴν ἐπὶ τὰς οὐσίας φέρων ἀνέθετο; ἢ ὅτι κατὰ δόξαν τῶν



(1) Δαμασκηνῷ. Φιλοσοφ. Κεφ. ά. περὶ Γνώσ.
(2) Ἀριστ. Μεταφ. Δ. (3) Αὐτ. Αὐτ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰς μαθηματικὰς οὐσίας εἰσαγόντων, ἣν οὔπω ἔφθη ἀνα-
σκευάσαι. ) „ Καὶ σῖτον τὸν μήπω ἀδρὸν, ὅτι δύναται ἁ-
„ δρυνθῆναι.

§. ρνδ'. Ἀλλὰ φήσειέ τις τυχὸν, ὡς εἴγε ταῦτα, καὶ τὸ
δύνασθαι ὁρᾶν, ὃν ἐστὶ δυνάμει ῥητὸν, καὶ τὸ δύνασθαι Ἑρμοῦ
βρέτας ἐκ τοῦ λίθου ὑποστῆναι, ὁμοίως, τὸ ἄρα μὴ ὁρᾶν, καὶ
τὸ μὴ βρέτας, καὶ τ᾽ ἄλλα οὕτως, ὄντα εἶναι ἐνεργείᾳ ἀκό-
λουθον. Εἰ δὲ αἱ δυνάμεις, καὶ ἕξεις, καὶ τὰ λοιπὰ, καὶ δὴ
καὶ αἱ οὐσίαι ὀνοματικῶς ὄντα τεθεῖεν, τὰς ἐκείναις ἀντιπε-
ριϊσταμένας στερήσεις, καὶ τὰς ταύταις ἀποφάσεις, μετοχικῶς
εἶναι ὄντα πᾶσα ἀνάγκη. Κἀντεῦθεν ἡμῖν τῶν ὄντων μὴ
καθ᾽ ὑπόστασιν νοουμένων, τὰ μὴ ὄντα σχεδὸν ὑποστήσεται·
οὗ τί ἀτοπώτερον; Καὶ μὴν οὐδὲν ἀληθέστερον, οὐδέ γε μᾶλ-
λον τῷ Σταγειρίτῃ ἀρέσκον. ὑποστήσεται μὲν γὰρ, ἀλλ᾽ οὐ
θετικῶς, ᾗ δὲ πέφυκεν. Ἡ μὲν στέρησις δηλονότι στερητι-
κῶς, ἡ δ᾽ ἀπόφασις ἀποφατικῶς. Ὅπερ ἐστὶν, ἡ μὲν, ἤδη,
καὶ κατά γε τὸ νῦν, στέρησις ἔσται, ἡ δὲ, ἀπόφασις. Προ-
σεκτέον τοίνυν αὐτῷ ἐκείνῳ ἐν ἄλλοις (1) τὸ ὂν πολλαχῶς
λέγεσθαι ἐκπαιδεύοντι. „ Τὰ μὲν γὰρ ὅτι οὐσίας ὄντα λέ-
„ γεται. Τὰ δ᾽ ὅτι πάθη ( νόει μοι τὰ ἑκάστῃ ἐν εἴδει οὐ-
„ σίᾳ προσιδιάζοντα ) οὐσίας. Τὰ δ᾽ ὅτι ὁδὸς εἰς οὐσίαν,
„ ( οἷον αἱ γενέσεις τε, καὶ κινήσεις. ) ἢ φθοραὶ, ἢ στερή-
„ σεις, ἢ ποιότητες, ἢ ποιητικὰ, ἢ γεννητικὰ οὐσίας, ἢ
„ τῶν πρὸς τὴν οὐσίαν λεγομένων, ( ποιάν τινα δηλ. ἀναφο-
ρὰν πρὸς αὐτὴν ἐχόντων. ) ἢ τούτων τινὸς ἀποφάσεις, ἢ οὐ-
„ σίας· διὸ καὶ τὸ μὴ ὂν, εἶναι μὴ ὂν φαμέν. Ἐν οἷς ἐ-
πιστητέον εἶναι παραινοῦσιν, ὡς ἅπαντας τοὺς ἐκτεθέντας τοῦ
εἶναι τρόπους, εἰς τέτταρας αὖτις ἀνακεφαλαιώσειε τούτους.
Ὁ μὲν γὰρ ἀδρανέστατος, καὶ πάντῃ ἀμυδρὸς, οὕτω φάναι,
τοῦ εἶναι τρόπος, οὗ μέτεστι ταῖς γε ἀποφάσεσι, καὶ ταῖς στε-
ρήσεσιν, ἃς μᾶλλον τὸ κατὰ τὸ νῦν εἶναι τοῦ χρόνου ἐνεστὼς,
ἢ τὸ ὑφεστὼς σημαίνειν φαμέν. Ὁ δὲ ἧττον μὲν τὴν εὐθέ-
νειαν, οὐδὲν ἧττον ἀλλ᾽ οὖν καὶ αὐτὸς ἀδρανὴς, καθ᾽ ὃν γένε-
σις,

(1) Μεταφ. Γ.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

σις, καὶ φθορὰ, καὶ κίνησις ὄντα ἀκούει, ἅτε δὴ θέσει τε καὶ στερήσει καὶ ἀποφάσει, καὶ αὐταὶ οὖσαι ἀνάμικτοι. Ἐντελέχεια γὰρ ἀτελὴς, καὶ ἡ κίνησις ( ὡς ἐν τῷ Τρίτῳ τῶν Φυσικῶν λέγεται ). Τρίτος δὲ τρόπος καθ᾽ ὃν εἶναι λέγεται τά τε πάθη, καὶ τὰς οὐσίας, καὶ ποιότητας, καὶ ποσότητας, κτ. ἃ στερήσεων μὲν καὶ ἀποφάσεων ταύτῃ ἀπήλλακται, ἔχει γε μὴν ἀτονώτερόν πως καὶ αὐτὰ τὸν τοῦ εἶναι λόγον, καὶ μᾶλλον παρυφέστηκεν, ἢ ὑφέστηκε. Τέταρτος δὲ καὶ τελεώτατος τοῦ εἶναι τρόπος, καθ᾽ ὃν αἱ οὐσίαι ὄντα εἰσὶν αὐτοϋφεστηκότα δηλ. καὶ αὐθύπαρκτα· πρὸς ὃν δήπου τρόπον, ὡς πρὸς ἓν, καὶ μίαν τινὰ φύσιν τοῦ εἶναι, καὶ οἱ λοιποὶ, οἷα εἰκὸς φέρονται ἀναγόμενοι. (1) Τὸ μὲν γὰρ ποιὸν εἶναι, καὶ ποσὸν, φαμὲν, ὅτι ἔνεστι τῇ οὐσίᾳ. Τὸ δὲ, κίνησιν εἶναι, καὶ γένεσιν, ὅτι ὁδός τις ἐστὶ πρὸς οὐσίαν, ἤτι τῶν εἰρημένων, τὸ δὲ στέρησιν εἶναι, ἢ ἀπόφασιν, ὅτι τῶν τριῶν τι τοῦ εἶναι ἀφίστησι.

§. ρνέ. Διαιρεῖται δὴ πρὸς τούτοις τῷ Ἀριστοτέλει τὸ ὂν, εἴς τε τὸ κατὰ συμβεβηκὸς λεγόμενον, καὶ τὸ καθ᾽ αὑτό. Καὶ τὸ μὲν, κατ᾽ ἀναφορὰν λέγεται συμβεβηκότων πρὸς ἄλληλα, ἢ συμβεβηκότος πρὸς οὐσίαν, ἢ καὶ ἀνάπαλιν. Τὸ δὲ ἀπολύτως, εἴτε οὐσία τοῦτο ᾖ, εἴτε τι τῶν περὶ τὴν οὐσίαν, καθ᾽ ἑαυτὸ νοούμενον. Κἀκεῖνο μὲν, ὡς εἴρηται, τριχῶς.
,, Καὶ γὰρ κατὰ συμβεβηκὸς λέγομεν τὸν δίκαιον εἶναι μου-
,, σικὸν, καὶ τὸν ἄνθρωπον μουσικὸν, καὶ τὸν μουσικὸν ἄνθρω-
,, πον παραπλησίως λέγοντες. (2) Ἤτοι γὰρ διότι τῷ αὐ-
,, τῷ ὄντι, ἄμφω ὑπάρχει ( ὡς δῆλον ἐκ τοῦ πρώτου, ἐν ᾧ τό,τε δίκαιον, καὶ τὸ μουσικὸν τῷ αὐτῷ ἀνθρώπῳ ὑποτίθεται ὑπάρχοντα ) ἢ ὅτι ὄντι ἐκείνῳ ὑπάρχει ( ὡς δῆλον ἐκ τοῦ δευτέρου, ἐν ᾧ τὸ μουσικὸν τῷ ἀνθρώπῳ προσάπτε-
,, ται ). Ἢ ὅτι αὐτὸ ἐστὶν ᾧ ὑπάρχει, οὗ αὐτὸ κατηγορεῖ-
,, ται. ( ὡς δῆλον ἐκ τοῦ τρίτου, ἐν ᾧ αὐτὸς ἐστὶν ὁ ἄνθρωπος, ᾧπερ ὑπάρχει τὸ μουσικὸν, καθ᾽ οὗ αὐτὸς λέγεται. ) Τὸ δὲ καθ᾽ αὑτὸ δεκαχῶς. Καθ᾽ αὑτὸ γὰρ εἶναι λέ-

,, γε-

(1) Μεταφ. Γ. (2) Μεταφ. Δ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

,, γεται, ὅσαπερ σημαίνει τὰ σχήματα τῆς κατηγορίας, ὁ-
,, σαχῶς γὰρ λέγεται, τοσαυταχῶς τὸ εἶναι σημαίνει. Ἐ-
,, πεὶ οὖν τῶν κατηγορουμένων τὰ μὲν τί ἐστι σημαίνει, (ἤτοι
,, οὐσίαν ) τὰ δὲ ποιὸν, τὰ δὲ ποσὸν, τὰ δὲ πρός τι,
,, τὰ δὲ ποιεῖν, ἢ πάσχειν, τὰ δὲ ποῦ, τὰ δὲ πότε, ἑκά-
,, στῳ τούτων τὸ εἶναι ταυτὸ σημαίνει. Οὐδὲν γὰρ διαφέρει
,, τὸ ἄνθρωπος ὑγιαίνων ἐστὶν, ἢ τὸ ἄνθρωπος ὑγιαίνει.
,, ( ὥστε ἡ ποιότης οὔτι σημαίνει. ) ἢ τὸ ἄνθρωπος βαδί-
,, ζων ἐστὶν, ἢ τέμνων, τοῦ ἄνθρωπον βαδίζειν, ἢ τέμνειν.
( ὥστε καὶ τὸ κινεῖσθαι, καὶ τὸ ποιεῖν, τὸ εἶναι σημαίνει. )
,, Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. (1)

§. ρνϛ΄. Ἀλλὰ γὰρ εἰ καὶ καθ' αὑτὸ τῇ οὐσίᾳ καὶ τοῖς συμβεβηκόσι τοῦ εἶναι μετεῖναι φαμὲν σὺν Ἀριστοτέλει, ἀλλ' ἐξαιροῦντες οὐδὲν ἧττον ἐκείνην, καὶ καθ' αὑτὸ οὖσαν, καὶ ἐν ἑαυτῇ, τῶν εἰ καὶ καθ' αὑτὰ ὁπωσοῦν, μὴ μέντοι γε καὶ ἐν ἑαυτοῖς, ἀλλ' ἐν αὐτῇ τὸ εἶναι ἐχόντων, ὑπεράνω ὡς εἰκὸς τάττομεν. Καί πως τοῖς ἀμφὶ Καρτέσιον οὐ δυσχεραίνομεν, ὅτι τῆς ὀνοματικῆς τοῦ ὄντος, μόνην τὴν οὐσίαν ἠξίωσαν, κλήσεως. (2) Ἀνθ' ἑνὸς γὰρ εἰληφότες τὸ ὂν, καὶ τὸ πρᾶγμα, καὶ τὴν οὐσίαν, ὃ αὐθύπαρκτον εἶναι ἴσμεν, τὸ μᾶλλον, ἢ τὰ συμβεβηκότα ὂν, καὶ ἰδιαίτατα, πολυωνύμως καὶ αὐτοὶ σὺν ἐκείνοις γεραίρομεν, καὶ εἰς εἴδη δύω διαιροῦμεν, τὸ μὲν σωματικὸν, οἷον φυτὸν, λίθον, τὸ δὲ ἀσώματον, οἷον Ἄγγελον, Θεόν.

§. ρνζ΄. Πολλῷ γε μὴν πλέον ὑπερηρμένην καὶ ὑπερϊδρυμένην τῆς κτιστῆς οὐσίας, τὴν θείαν τε καὶ ἄκτιστον, ἢ ἐκείνων τῶν καταχρηστικώτερον τῆς τοῦ ὄντος ἐπωνυμίας μετειληχότων, ἡγούμεθα. Αὐτὸ γὰρ ἐστὶ τὸ κυριώτατα Ὂν, τὸ Αὐτοὸν, τὸ μόνον ὂν, τὸ ἀεὶ ὂν, τὸ ὄντως ὂν, ὃ παρ' οὐδενὸς ἔχει τὸ εἶναι λαβόν. Μᾶλλον δὲ οὐδὲ ἔχει, ἀλλ' ἔστι τὸ ὂν, ὅτῳ οὐσίᾳ οὐχὶ τὸ τί ἦν εἶναι, ἀλλὰ τὸ εἶναι, καὶ ἡ ὕπαρξις οὐκ ἐπακτὴ, ἀλλ' ἔμφυτος, οὐκ ἐνδεχομένη, ἀλλ' ἀναγκαία,

(1) Μεταφ. Δ.
(2) Ὅρα Πυρχότ. Μεταφ. μέρ. α΄. Κεφ. α΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καία, οὐκ ἐπουσιώδης, ἀλλ' οὐσιώδης. Οὐδὲ γὰρ ἄλλο ἐν ἐ-
κείνῳ εἰπεῖν, ἢ ὅλως νοῆσαι, ἐστὶν ἐπουσιῶδες οὐδέν. Ἀλ-
λὰ πᾶν ὅ,τι ἐστὶν, οὐσία. Πρὸς οὖν ἐκεῖνο τὰ λοιπὰ οὐδὲ
ὄντα, ἥττω γὰρ εἰσὶν, ἢ σκιαὶ πρὸς σώματα παρεξεταζό-
μενα. Ὅτι οὐδὲ ἔστι ταῦτα τὸ εἶναι, οὐδ' ἔστιν αὐτοῖς τὸ εἶ-
ναι, ἀλλὰ μέτεστι μοίρας πάνυ ἀμυδρᾶς τε καὶ βραχυτάτης
τοῦ εἶναι, μηδαμῶς ἑστῶσι, διηνεκῶς κινουμένοις, διαρρέουσι,
μεταβάλλουσιν, ἀπαύστως γινομένοις τε καὶ ἀπολλυμένοις.
Διὸ δὴ καὶ ὁ ἐν ταῖς Ἱεροφαντίαις χρηματίσας τῷ Θεόπτῃ,
,, ἐγώ εἰμὶ, φησὶν, ὁ ὤν. (1) Ὅπερ ἐμφαίνειν λέγεται,
καὶ τὸ παρ' Ἑβραίοις τετράγραμμον, ὄνομα, τὸ ἄλεκτον, τοῦ
μὲν τοῦ εἶναι χαρακτηριζομένου, τῆς δὲ κτιστῆς φύσεως τῇ
κατὰ τὰς διαφορὰς τοῦ χρόνου γενέσει γνωριζομένης. Τί γὰρ
,, τὸ γεγονὸς, φησίν; αὐτὸ τὸ γενησόμενον. Τί δὲ τὸ γενη-
,, σόμενον; αὐτὸ τὸ γεγονός. (2) Οὐ γὰρ ἀμέλει τὸ ὄν.
Ἐξ ὧν ὁ Πλάτων, οὐ μόνον τὴν διάνοιαν, ἀλλὰ καὶ τὰς λέ-
ξεις αὐτὰς, καὶ τὰ ῥήματα τῆς Ἑβραίων φωνῆς παραξέσας,
ἐξοικειοῦται τὸ δόγμα, Μωσῆς ἡμῖν ἀττικίζων ἀναφαινόμε-
νος. ,, Τί τὸ ὂν ἀεὶ, γένεσιν δὲ οὐκ ἔχον; Καὶ τί τὸ γινό-
,, μενον μὲν ἀεὶ, ὂν δὲ οὐδέποτε; Τὸ μὲν δὴ νοήσει μετὰ
,, λόγου περιληπτὸν, ἀεὶ κατὰ τὰ αὐτὰ ὄν. Τὸ δὲ αἰσθήσει
,, ἀλόγῳ δοξαστὸν, γινόμενον καὶ ἀπολλύμενον, ὄντως δὲ οὐ-
,, δέποτε ὄν. (3) Καὶ Νουμήνιος δὲ ὁ Πυθαγορικὸς ταῦτα
δὴ τὰ Πλάτωνος, καὶ πολὺ πρότερον τὰ Μωσέως ἐπὶ τὸ
σαφὲς διερμηνεύων ,, τὸ ὂν, φησὶν, ἀΐδιόν τε, βέβαιόν τε
,, ἐστίν. Ἀεὶ κατὰ ταυτὸν, καὶ ταυτόν. Καὶ οὐδὲ γέγονε μὲν,
,, ἐφθάρη δέ. Οὐδ' ἐμεγεθύνατο μὲν, ἐμειώθη δέ. Οὐδε-
,, μὴν ἐγένετό πω πλεῖον, ἢ ἔλαττον. Καί μὴν δὴ τάτε
,, ἄλλα, καὶ οὐδὲ τοπικῶς κινηθήσεται. Οὐδὲ γὰρ θέμις
,, αὐτῷ κινηθῆναι, οὐδὲ μὲν ὀπίσω, οὐδὲ πρόσω· οὔτε
,, ἄνω ποτὲ, οὔτε κάτω· οὐδ' εἰς δεξιὰ, οὐδ' εἰς ἀριστερὰ
,, μετατεθήσεται ποτὲ τὸ ὄν· οὔτε περὶ τὸ μέσον ποτὲ
,, ἑαυ-

(1) Ἐξόδου Κ. (2) Ἐκκλησιαστ. Κεφ. Α'.
(3) Πλάτ. ἐν Τιμαίῳ.



Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

„ ἑαυτοῦ κινηθήσεται. Ἀλλὰ μᾶλλον καὶ ἑστήξεται, καὶ ἀραρός τε καὶ ἑστηκὸς ἔσται, καὶ ταῦτα ἔχον ἀεί, καὶ ὡσαύτως.... τοσαῦτα μὲν οὖν μοι πρὸ ὁδοῦ. Αὐτὸς δ' οὐκέτι σχηματισθήσομαι, οὐδ' ἀγνοεῖν φήσω τὸ ὄνομα τοῦ ἀσωμάτου· καὶ γὰρ κινδυνεύει νῦν ἤδη, ἥδιον εἶναι εἰπεῖν μᾶλλον, ἢ μὴ εἰπεῖν. Καὶ δῆτα λέγω τὸ ὄνομα αὐτοῦ εἶναι, τοῦτο τὸ πάλαι ζητούμενον. Ἀλλὰ μὴ γελασάτω τὶς ἐὰν φῶ, τοῦ Ἀσωμάτου εἶναι ὄνομα οὐσίαν, καὶ ὄν. Ἡ δὲ αἰτία τοῦ ὄντος ὀνόματος ἐστὶ, τὸ μὴ γεγονέναι, μηδὲ φθαρήσεσθαι, μηδ' ἄλλην μήτε κίνησιν μηδεμίαν ἐνδέχεσθαι, μηδὲ μεταβολὴν κρείττω, ἢ φαύλην· εἶναι δὲ ἁπλοῦν, καὶ ἀναλλοίωτον, καὶ ἐν ἰδέᾳ τῇ αὐτῇ, καὶ μήτε ἐθελούσιον ἐξίστασθαι τῆς ταυτότητος, μήθ' ὑφ' ἑτέρου προσαναγκάζεσθαι. (1) Ἀλλὰ καὶ Πλουτάρχου τινὰ τῶν ἐν τῷ περὶ τοῦ ἐν Δελφοῖς Εἶ, ἄξιον ἂν εἴη παραθέσθαι εἰς τοῦτο τείνοντα. Τὸ „ Εἶ, φησὶν, ἐστὶν αὐτοτελὴς τοῦ Θεοῦ προσαγόρευσις, καὶ προσφώνησις, ἅμα τῷ ῥήματι τὸν φθεγγόμενον εἰς ἔννοιαν καθιστῶσα τῆς τοῦ Θεοῦ δυνάμεως. Ὁ γὰρ Θεὸς ἕκαστον ἡμῶν τῶν ἐνταῦθα προσιόντων, οἷον ἀσπαζόμενος προσαγορεύει, τῷ γνῶθι σαυτὸν, ὃ τοῦ χαῖρε δὴ, οὐδὲν μεῖόν ἐστιν. Ἡμεῖς δὲ πάλιν ἀμειβόμενοι τὸν Θεὸν, Εἶ, φαμὲν, ὡς ἀληθῆ, καὶ ἀψευδῆ, καὶ μόνην μόνῳ προσήκουσαν, τὴν τοῦ Εἶ προσαγόρευσιν ἀποδιδόντες. Ἡμῖν γὰρ ὄντως τοῦ εἶναι μέτεστιν οὐδέν. Ἀλλὰ θνητὴ πᾶσα φύσις ἐν μέσῳ φθορᾶς, καὶ γενέσεως γενομένη, φάσμα παρέχει, καὶ δόκησιν ἀμυδρὰν, καὶ ἀβέβαιον αὐτῆς. Εἶθ' ὑποκαταβὰς μετὰ πολλὰ οἷς τὴν τῶν κτισμάτων κατασκευάζει οὐθένειαν, καὶ ταῦτ' ἐπιλέγει. „ Τί οὖν ὄντως ὄν ἐστί; τὸ ἀΐδιον, καὶ ἀγέννητον, καὶ ἄφθαρτον, ᾧ χρόνος οὐδεὶς μεταβολὴν ἐπάγει· κινητὸν γάρ τι, καὶ κινουμένῃ συμφανταζόμενον ὕλῃ, καὶ ῥέον ἀεὶ καὶ μὴ στέγον, ὥσπερ ἀγγεῖον φθορᾶς καὶ γενέσεως, ὁ χρόνος. Ἐξ οὗ δὴ τὸ μὲν ἔπειτα, καὶ τὸ πρότερον, καὶ τὸ ἔσται, λεγόμενον, καὶ τὸ γέγονεν, αὐτό-

„ τό-

(1) Νουμήνιος ἀπὸ τοῦ β. περὶ τοῦ Ἀγαθοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ τόθεν ἐξομολόγησις ἐςὶ τῦ μὴ ὄντος. (1) Τύτοις συνῳδὰ καὶ τὰ Πρόκλυ. „ (2) Τὸ μὲν πρώτως ὄν, αὐτὸν, καὶ „ ὅπερ ὄν. „ Καὶ Πλωτῖνος δὲ καὶ Ἀλκίνοος, καὶ ὅσοι ἄλ„ λοι ἐκ τῆς τῦ Πλάτωνος ἀρυσάμενοι ταὐτὰ ἀπεφήναντο. Ἀλλ᾽ ἐπανιτέον ὅθεν εἰς ταῦτα προήχθημεν.

§. ρνη'. Τῇ κοινοτάτῃ τῦ ὄντος, καὶ ποικίλῃ σημασίᾳ, ( §. Ἀνωτ. ) ἐπανάγκες ἐςὶ καὶ τὴν τῦ μὴ ὄντος ἐξ ἐναντίυ συγκοινῦσθαι, καὶ συμποικίλλεσθαι. Καὶ συνιδεῖν ὐ χαλεπὸν τοσαυταχῶς καὶ τῦτο, ὁσαχῶς γε κἀκεῖνο διαφέρεσθαι νοόμενον, καὶ ἐκλαμβανόμενον. Καὶ εἶναι μὲν μὴ ὄντα, πρὸς τὸ ὄντως ὄν ( §. ρνζ'. ) ἅπαντα· μὴ ὄντα δὲ πρὸς τὰς ὐσίας, ( §. ρνς'. ) τὰ περὶ αὐτάς. Καὶ τὰ καθ᾽ ὅσους δήποτε τρόπους μὴ, πρὸς τὰ κατ᾽ ἐκείνους. (§. ρνδ'. ρνε'. ) Εἰ δὲ δεῖ καὶ ἐκ διαμέτρυ πρὸς τὸ μάλιςα ὄν, τὸ μάλιςα μὴ ὂν ἀντιτεταγμένον εἰπεῖν, τοιῦτο χρὴ λέγειν, ὃ μηδεὶς νῷ ὅλως δράξασθαι ἂν ἐξισχύσειε, „ ταὐτὸν εἰπεῖν, τὸ ἀντιφάσκον. φέρε γὰρ πάντας ἀνθρώπυς „ ἐρωτᾶσθαι, τί νοῦσι τὸ μηθέν; καὶ τίνα τῦ μηθενὸς ἐ„ πίνοιαν λαμβάνυσιν; ἆρα ὐκ ἂν εἴποιεν ὡς τὸ μήτε αἴ„ τιον ὑπάρχον, μήτε αἴτιον ἔχον; μήτε ὅλον, μήτε μέ„ ρος; μήτε τέλειον, μήτε ἀτελές; μήτε ἔμψυχον, μήτε „ ἄψυχον; μήτε κινύμενον, μήτε μένον πῦ; μήτε ὑπάρ„ χον μήτε σῶμα, μήτε ἀσώματον; τῦτο, καὶ ὐκ ἄλλο τὶ τὸ μηθὲν ἐςί. (3) Ἐν τύτοις δὲ ἐπιςῆσαι δέον, ὡς εἰ καὶ τῦ πάντῃ μὴ ὄντος ἔννοιαν ὐδεμίαν εἶναι φαμὲν, συμπαρακολυθεῖν μέντοι ἐκ πλαγίυ πως ἀεί ποτε, καὶ συμπαραθέειν ἐκ τῦ σύνεγγυς, τῇ φωνῇ μὴ ὂν, ἢ μηδὲν, τῦ ὄντος καὶ τῦ ἑνὸς, κατ᾽ ἄρσιν, ἐννόημά τι ἡγύμεθα. Ὡς γὰρ μὴ ζῶον ἐνθυμηθεὶς, κατ᾽ εὐθυωρίαν μὲν ὐδὲν ἐνεθυμήθην, τὸ δὲ ζῶον εἶναι ἀνετυπωσάμην πως, ὅπερ ἀπέκλεισα· ὕτω τοι καὶ μὴ ὂν, καὶ χίμαιραν, καὶ τὰ τοιαῦτα διανοηθεὶς,

(1) Πλύταρχ. περὶ τῦ ἐν Δελφοῖς ΕΙ.
(2) Εἰς τὴν Πλάτων. Θεολογ. Κεφ. ιδ'. βιβλ. γ'.
(3) Πλύταρχ. περὶ Στωϊκ. Ἐναντιωμ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεὶς, αὐτὰ μὲν οὐχὶ, πῶς γάρ; εἰ μηδὲ τὴν ἀρχὴν νοητὰ ὅλως τυγχάνοντα; τὸ δὲ ὂν καὶ τὴν φύσιν, ἐξ ὧν ἐκεῖνα ποιοῦμαι, εὖ οἶδ᾽ ὅτι διῆλθον νοεροῖς βήμασιν· ἔνθεν σοι καὶ τῷ ἐκσεσυρικότι, συνεκσυρίττειν δοκεῖ τὸν ὁρισμὸν τῶν ἀποδεδωκότων „ τὸ μηδὲν εἶναι φωνὴν, ἥπερ οὐδεμία „ παρίσαται ἔννοια. (1) Ἀλλὰ προκείσθω δὴ καὶ τὰ παρὰ τοῖς Σχολαστικοῖς, εἰς πλάτος ζητούμενα, καὶ ἡμῖν ἐν ἄλλοις (2) διειλημμένα, συντόμως κἀνταῦθα διὰ τῶν ἐφεξῆς Θεωρηματίων διορίζομενα.

## Θεώρημα Ο΄.

§. ρνθ΄. „ Οὐ συνωνύμως τὸ ὂν κατὰ τῆς οὐσίας, καὶ τοῦ „ συμβεβηκότος λέγεται.

Δέδεικται Λογικ. βιβλ. β΄. μέρει γ΄., ζητ. δ΄., ἐπαχθείη δ᾽ αὖ καὶ ἐκ τῶν ἀνωτέρω. ( §. ρνς΄. )

## Θεώρημα ΟΑ΄.

§. ρξ΄. „ Οὐδὲ μὴν ἐν συνωνυμεῖ τὸ ὂν, κατὰ τοῦ αὐτοόν„ τος, καὶ τῆς κτιστῆς λεγομένου φύσεως.

Δέδεικται Λογικ. αὐτ. ζητήμ. ε΄. ἐπαχθείη δ᾽ αὖ καὶ ἐκ τῶν ἀνωτέρω. ( §. ρνζ΄. )

## Σχόλιον.

§. ρξα΄. Λελυκόταται εἰσὶν αἱ παρὰ τοῦ Ἀριστοτέλους, εἰς ἐμπέδωσιν τῶν διορισθέντων, παραλαμβανόμεναι ῥήσεις, καὶ οὐδ᾽ ἐκθέσεως, ἢ ἀναπτύξεως ὅλως δεόμεναι. Ἐναρχόμενος

γὰρ

---

(1) Ὅρα Γενουήνσ. Μεταφ. μέρ. α΄. Κεφ. α΄. Ὅρ. γ΄.
(2) Ἐν τοῖς Λογικοῖς Ζητήμ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπὸ τοῦ Ζ τῶν Μεταφυσ. ,, τὸ ὂν, φησὶ, λέγεται πολλαχῶς,
,, καθάπερ διειλόμεθα πρότερον. ( ἐν τῷ Δ τῶν Μεταφυσ. )
,, σημαίνει γὰρ τὸ μὲν τὶ ἐστὶ, καὶ τόδε τι, τὸ δὲ, ὅτι
,, ποιὸν, ἢ ποσὸν, ἢ τῶν ἄλλων ἕκαστον τῶν οὕτω κατηγορου-
,, μένων. Τοσαυταχῶς δὲ λεγομένου τοῦ ὄντος, φανερὸν ὅτι
,, τούτων πρῶτον ὂν τὸ τί ἐστιν, ὅπερ σημαίνει τὴν οὐσίαν.
,, Ὅταν μὲν γὰρ εἴπωμεν ποιόν τι τόδε, ἢ ἀγαθὸν λέγο-
,, μεν, ἢ κακὸν, ἀλλ' οὐ τρίπηχυ, ἢ ἄνθρωπον. Ὅταν δὲ
,, τί ἐστιν, οὐ λευκὸν, οὐδὲ θερμὸν, οὐδὲ τρίπηχυ, ἀλλὰ
,, ἄνθρωπον, ἢ Θεόν. Τὰ δ' ἄλλα λέγεται ὄντα, τῷ τοῦ ὄν-
,, τως ὄντος ( ἤτοι τῆς οὐσίας τοιαύτης πρός γε τὰ περὶ
αὐτὴν συμβαίνοντα σεμνυνομένης. ( §. ρνς΄. ) Τὰ μὲν
,, ποσότητας εἶναι, τὰ δὲ ποιότητας, τὰ δὲ πάθη, τὰ δὲ
,, ἄλλο τὶ τοιοῦτον. Διὸ κἂν ἀπορήσειέ τις πότερον τὸ βα-
,, δίζειν, καὶ τὸ ὑγιαίνειν, καὶ τὸ καθῆσθαι, ἕκαστον αὐτῶν
,, ὂν, ἢ μὴ ὄν; ὁμοίως δὲ, καὶ ἐπὶ τῶν ἄλλων ὁτουοῦν τῶν
,, τοιούτων. Οὐδὲν γὰρ αὐτῶν ἐστὶν, οὔτε καθ' αὑτὸ πεφυ-
,, κὸς, οὔτε χωρίζεσθαι δυνατὸν τῆς οὐσίας. Ἀλλὰ μᾶλλον
,, εἴπερ, τὸ βαδίζον τῶν ὄντων τὶ, καὶ τὸ καθήμενον, καὶ τὸ
,, ὑγιαῖνον. Ταῦτα δὲ μᾶλλον φαίνεται ὄντα, διότι ἐστί τι
,, τὸ ὑποκείμενον αὐτοῖς ὡρισμένον. Τοῦτο δ' ἐστὶν ἡ οὐσία,
,, καὶ τὸ καθ' ἕκαστον, ὅπερ ἐμφαίνεται ἐν τῇ κατηγορίᾳ τῇ
,, τοιαύτῃ. Τὸ ἀγαθὸν γὰρ, ἢ τὸ καθήμενον, οὐκ ἄνευ τού-
,, του λέγεται. Δῆλον οὖν ὅτι διὰ ταύτην, κἀκείνων ἕκαστον
,, ἐστίν. Ὥστε τὸ πρώτως ὂν, καὶ οὐ τὶ ὂν, ἀλλ' ὂν ἁπλῶς,
,, ἡ οὐσία ἂν εἴη. Ὡσαύτως δὲ καὶ ἐν αὐτοῖς τοῖς προοι-
μίοις τοῦ Γ βιβλίου ,, τὸ ὂν λέγεται μὲν πολλαχῶς, ἀλ-
,, λὰ πρὸς ἓν, καὶ μίαν τινὰ φύσιν, οὐχ ὁμωνύμως, ἀλ-
,, λ' ὥσπερ καὶ τὸ ὑγιεινόν. Διαφέρει γὰρ οὐ μικρὸν τοῦτο, ἢ
,, ἐκεῖνο ὑπολαμβάνειν. Τὰ μὲν γὰρ ὁμωνυμοῦντα πρὸς τὸ
αὐτὸ ὄνομα ἀναγόμενα, τὴν κατ' αὐτὸ μόνον, τῇ ἐπινοίᾳ
ἓν, ἐπιδέχονται κοινωνίαν, οἷον κύων ὁ χερσαῖος καὶ ὁ
θαλάττιος· τὰ δὲ ἀναλογοῦντα, κατὰ σχέσιν πρὸς τὴν αὐτὴν
πράγματι λέγονται φύσιν, καίτοι ἄλλως, καὶ μὴ ἐπίσης
τὴν ἀναφορὰν ἔχοντα· οἷον ἅπαν τὸ ὑγιεινὸν πρὸς ὑγίειαν,
,, τὸ μὲν τῷ φυλάττειν, τὸ δὲ τῷ ποιεῖν, τὸ δὲ τῷ ση-
,, μεῖον εἶναι τῆς ὑγιείας, τὸ δὲ ὅτι δεκτικὸν αὐτῆς. Καὶ

,, τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ τὸ ἰατρικὸν πρὸς ἰατρικήν. Τὸ μὲν γὰρ τῷ ἔχειν ἰατρικήν, λέγεται ἰατρικόν, τὸ δὲ τῷ εὐφυὲς εἶναι πρὸς αὐτήν, τὸ δὲ τῷ ἔργον εἶναι τῆς ἰατρικῆς. Οὕτω δὲ καὶ τὸ ὂν λέγεται πολλαχῶς μὲν, ἀλλὰ πᾶν πρὸς μίαν ἀρχήν. Τὰ μὲν γὰρ, ὅτι οὐσία, ὄντα λέγεται, τὰ δ' ὅτι πάθη οὐσίας, κτ. ἅπερ ἀνωτέρω (§. ρνδ'.) εἴρηνται. Ἀλλαμὴν καὶ πάντα ταῦτα συνάμα ταῖς οὐσίαις, πρὸς τὸ Αὐτοὸν, ὑφ' οὗ τὸ ὁπωσοῦν εἶναι μετείληχεν. Ὁ μὲν οὖν Ἀριστοτέλης οὕτω σαφῶς, οἱ δὲ, τὸν Σκότον ταξίαρχον ἐν τῷ φιλοσοφεῖν, σεμνυνόμενοι, καί τοι τὰ Ἀριστοτέλους ἀρρήτως θειάζειν ἐπαγγελλόμενοι, οὐκ οἶδα τί παθόντες τοῦ Ἀριστοτελικοῦ φρονήματος, καὶ τοῦ ἀληθοῦς ἐξετράπησαν. Ἀλλὰ γὰρ τὰ περὶ τούτου, καὶ ἐν ἄλλοις ἀκριβέστερον διειλεγμένοις, ἅλις.

## Περὶ Δυνατοῦ, καὶ Ἀδυνάτου.

§. ρξβ'. Τῆς δυνάμεως πολλαχῶς λεγομένης, (1) καὶ τῆς μὲν, ἀρχῆς οὔσης κινήσεως, ἢ μεταβολῆς ἐπισυμβαινούσης, ἐν ἑτέρῳ τῳ μεταβάλλοντι, ἢ ἕτερον. Τῆς δὲ, ὑφ' ἑτέρου ἢ ἕτερον. Τῆς δὲ τοῦ καλῶς τόδ' ἐπιτελεῖν, ἢ κατὰ προαίρεσιν, ἢ πάσχειν. Τῆς δὲ καθ' ἣν ἐστὶ ἀπαθὲς ὅλως, ἢ ἀμετάβλητον, ἢ μὴ ῥᾳδίως ἐπὶ τὸ χεῖρον εὐμετακίνητον. Τοσαυταχῶς ἂν καὶ τὸ δυνατὸν ῥηθείη. Δυνατὸν γὰρ καὶ τὸ κινοῦν, ἢ μεταβάλλον ἕτερον· καὶ τοῦτο, ἤτοι ὑφ' ἑαυτοῦ, οἷον στατικὸς ὁ δυνατὸς ὢν τὸ φερόμενον στῆσαι· ἢ δι' ἄλλου, οἷον ἰατικός, ὅτι διὰ τοῦ φαρμάκου δυνατὸς ἰάσασθαι. Καὶ τὸ μεταβάλλον ὑφ' ἑτέρου, οἷον δυνατὸν φθαρῆναι κινηθῆναι. Καὶ τὸ καλῶς, οἷον δυνατὸν φθέγγεσθαι τὸ ὄργανον, εἴπερ εὔηχον, καὶ σχίζεσθαι τὸ ξύλον, εἴπερ εὔσχιστον. Καὶ τὸ ἀντέχον καὶ στερρὸν, οἷον δυνατὸν μὴ θλασθῆναι, μὴ καμφθῆναι. Ἔνθα δὴ σημειωτέον, ὡς πάντα τὰ δυνατὰ οὕτω λεγό-

(1) Μεταφ. Δ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λεγόμενα, πρὸς τὴν πρώτην δύναμιν λέγεται, τῷ τὰ μὲν ἔχειν αὐτὴν, ἄλλο τι τοιαύτην δύναμιν, οἷον τὰ δεύτερα, τὰ δὲ τῷ μὴ ἔχειν, οἷα τὰ τέταρτα, τὰ δὲ ὡδὶ ἔχειν, οἷα τὰ τρίτα. (1)

§. ρξγ'. Τῆς μὲν οὖν ἀδυναμίας στέρησίν τινα δυνάμεως ἐμφαινούσης, καὶ τὸ ἀδύνατον κατὰ ταῦτα τῷ δυνατῷ ἀντικείσεται. (2) Καὶ ἕνα μὲν τρόπον ἀδύνατον ἔσται, τὸ μὴ αὐτέχον. Ἕνα δὲ τὸ μὴ καλῶς ποιοῦν, ἢ πάσχον. Ἕνα δὲ τὸ μὴ δυνάμενον παθεῖν. Ἕνα δὲ τὸ μὴ ποιῆσαι. Ἐφ᾽ οἷς καὶ τὴν στέρησιν τῷ τε πεφυκότι ἔχειν, καὶ ὅτε πέφυκεν, Ἀριστοτέλης (3) παραινεῖ ἐπισκοπεῖν· οὐδὲ γὰρ ὁμοίως ἂν φαῖεν, φησὶν, ἀδύνατον εἶναι γεννᾷν παῖδα, καὶ ἄνδρα εὐνουχίαν. Λέγεται δὲ καὶ ταῦτα πρὸς τὴν ἐσχάτην ἀδυναμίαν. Τῷ τὰ μὲν, μὴ ἔχειν αὐτὴν ἄλλο τι τοιαύτην δύναμιν, ὡς τὰ τρίτα. Τὰ δὲ μὴ ὡδὶ ἔχειν, ὡς τὰ δεύτερα. Τὰ δὲ τῷ ἔχειν, ὡς τὰ πρῶτα.

§. ρξδ'. Καὶ ἄλλους δέ τινας τρόπους, παρὰ τοὺς ἐκτεθέντας, τοῦ δυνατοῦ, καὶ ἀδυνάτου Ἀριστοτέλης ὑπέθετο, οἷς ἀρέσκεσθαι μᾶλλον ἐοίκασιν οἱ Νεώτεροι. „ Ἀδύνατον γὰρ „ φησὶν, οὗ τὸ ἐναντίον ἐξ ἀνάγκης ἀληθὲς, (4) οἷον τὸ τὴν διάμετρον σύμμετρον εἶναι, ἀδύνατον. Τὸ γὰρ ἐναντίον, ἤτοι τὸ ἀσύμμετρον εἶναι, οὐχ ὅπως ἀληθὲς, ἀλλὰ καὶ ἐξ ἀνάγκης ἀληθές. Τοιαῦτα πάντα ἐστὶν ( εἰ δέοι κατὰ τοὺς νεωτέρους ὁρίσασθαι ) ὅσοις ἀντίφασις παρακολουθεῖ· οἷον ἐκ τριῶν εὐθειῶν, ὧν αἱ δύω τῆς λοιπῆς ἐλάσσονες, ἢ ἴσαι εἰσὶ, τρίγωνον συσταθῆναι. Κύκλον τετραγώνῳ προσεφαρμοσθῆναι, καὶ τὰ παραπλήσια, ἅπερ οὐδὲ νοητὰ εἶναι εἴρηται ( §. ρνβ'. ) οὐδὲ ὄντα ὅλως, οὐδὲ ὀνοματικῶς. ( §. ρνγ'. ) Τούτοις οὖν δυνατὰ ἀντιτεταγμένα ἂν εἴη, τὰ ἀντιφάσει μηδαμῶς περιπίπτοντα, τὰ καὶ νοητὰ, καὶ μετοχικῶς τῆς προσηγορίας τοῦ ὄντος, οἷα [τυχεῖν· ( §. ρνβ'. ) οἷον ἐκ τριῶν εὐθειῶν, ὧν αἱ δύω πάντῃ μεταλαμβανόμε-

ναι

(1) Μεταφ. Δ. (2) Αὐτ.
(3) Αὐτ. (4) Αὐτ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ναι τῆς λοιπῆς μείζους εἰσὶ, τρίγωνον συστῆναι· κόσμον ἕτερον ὑποστῆναι. Καὶ ἁπλῶς τοιαῦτα ἐστὶν (ὡς Ἀριστοτέλης (1) φησὶν) „ὅταν μὴ ἀναγκαῖον ᾖ τὸ ἐναντίον ψεῦδος εἶναι. Καλέσειας δ᾽ αὖ τὰ οὕτως ἀδύνατα, ἢ δυνατὰ ἐσωτερικῶς τοιαῦτα, ἅτε δὴ καθ᾽ ἑαυτὰ, τὴν τῶν ἐν αὐτοῖς συμπαραλαμβανομένων συνάφειάν τε καὶ οἰκείωσιν, ἀδύνατον, ἢ μὴ ἐπαγόμενα. Ἀλλ᾽ ἐστιν ἃ ἐσωτερικῶς οὕτω δυνατὰ τυγχάνοντα, ἐξωτερικῶς γεμὴν, καὶ κατὰ σχέσιν, τὴν πρὸς τὰ αἴτια ὑφ᾽ ὧν, ἀδύνατα λέγεται. Ὅτι δὴ ἄπεστι τὰ ὑφ᾽ ὧν αὖ εἰς ταὐτὸ συσταίη τὰ μηδαμῶς μὲν ἀντιπεφυκότα, συστατικὰ δὲ τοῦ εἶναι αὐτοῖς, ἐνεργείᾳ γενέσθαι δυνάμενα. Οὕτω τοι ἡ τῶν ἀπλουστάτων μορίων τῆς ὕλης τομὴ, καθ᾽ ἑαυτὴν δυνατὴ καίτοι ὁμολογουμένη, παρ᾽ ἀπουσίαν τελάχιστον τῶν ἐν τῇ φύσει οὕτω δραστηρίων αἰτίων, ἐξωτερικῶς ἀδυνάτως φύσει ἔδοξεν ἔχειν. Καὶ ἡ τῆς γῆς μετακίνησις, καθ᾽ αὐτὸ μὲν, τῷ Μηχανικῷ, δυνατὸν εἶναί τι ἐδόκει, πρὸς δὲ τὸν ἐπιχειρήσοντα, μὴ ἔχοντα ποῦ στῇ ἔξω γῆς, ἀδύνατον. Καίτοι καὶ ταῦτα πρὸς τὸ πανσθενὲς τῆς ὑπερτάτης Αἰτίας ἀπιδοῦσιν δυνατὰ ὄντα καθωμολόγηται. Κύκλος δὲ τετράγωνος ἑκατέρως ἀδύνατον. Κύκλον δὲ στρογγύλον καταγράφεσθαι καθ᾽ ἑκάτερον δυνατόν. (2)

§. ρξέ. Δυνατὸν οὖν τι καθ᾽ ἕνα τῶν τριῶν τρόπων Ἀριστοτέλης εἶναι φησί. (3) Τὸ μὲν ὅτι τούτου τὸ ἐναντίον οὐκ ἐξ ἀνάγκης ψεῦδές, οἷον τὸ ἑστῶτα καθεσθῆναι. Τὸ δ᾽ ὅτι καὶ ἀληθές, οἷον τὸ καθήμενον καθῆσθαι. Τὸ δ᾽ ὅτι ψεῦδες μὲν τάχα, ἐνδέχεται δὲ, καὶ οὐδὲ πάνυ πολὺ ἀπέχει τοῦ εἶναι ἀληθές, οἷον ἄνδρα βουληφόρον ἐγρηγορέναι. Ἔοικε δὲ

τοῦτο

(1) Μεταφ. Δ.

(2) „ Κοινότερον μὲν ( δυνατὸν ) τὸ κατὰ φύσιν πεφυκὸς γίνεσθαι.
„ Κυριώτερον δὲ ταὐτὸ τοῦτο, ὁπόταν μηδὲν ἔξωθεν ἔχῃ πρὸς τὸ γίνεσθαι
„ ἐμποδών. Τῶν δὲ δυνατῶν τὰ μὲν οὐκ ἂν κωλυθείη ποτὲ, ὡς τὰ κατ᾽ οὐρανόν.. Τὰ δὲ εἴατε κωλυθῆναι ἐστὶν, ὡς πολλὰ μὲν τῶν ἀνθρωπίνων, πολλὰ δὲ καὶ τῶν μεταρσίων. Πλουτ. περὶ Εἱμαρμ.

(3) Μεταφ. Δ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦτο τοῦ πιθανοῦ, πλὴν ὅσον, τὸ μὲν αὖ λέγοιτο διὰ τὸν κατὰ τὸ εἶναι ἀποχρῶντα λόγον, τὸ δὲ διὰ τὸν κατὰ τὴν γνῶσιν. (§. λζ΄.) Ὁ καὶ ἐπὶ τῶν ὄντων οὐδὲν ἧττον, καὶ ἐπὶ τῶν ἀδυνάτων, ἢ ἐπὶ τῶν δυνατῶν λέγεται. Τούτοις παρασυναπτέον καὶ δύναμίν τινα κατὰ μεταφοράν, ἢ ἐν τῇ Γεωμετρίᾳ, φησὶν ὁ Φιλόσοφος, λέγεται. Τοιαύτη δ' αὖ εἴη ἡ δύναμις, καθ' ἣν ἡ εὐθεῖα εἰς τετράγωνον αὖ ἐπιδοίη ἀχθεῖσα, καὶ τετράγωνον εἰς κύβον, καὶ τὰ παραπλήσια. (1)

§. ρξς΄. Διαιρετέον δὲ ἡμῖν ἔτι τὰ ἀδύνατα καὶ δυνατὰ εἰς τὰ μεταφυσικῶς τοιαῦτα λεγόμενα, οἷα τὰ ἐσωτερικῶς (§. ρξδ΄.), καὶ τὰ φυσικῶς, ἃ καὶ ἐξωτερικῶς λέγεται, ὥς γε πρὸς τὴν φύσιν δηλ., καὶ τοὺς ἐν αὐτῇ κειμένους θεσμούς, οὓς οὐ τῷ Δημιουργῷ μεταβαλεῖν ἐθελήσαντι, οἷον τὸν ἥλιον αὔριον μὴ ἀνατελεῖν. Καὶ τὰ ἠθικῶς, τὰ ἢ ὡς ἥκιστα, ἢ ὅτι χαλεπῶς συμβαίνοντα· οἷον τοὺς ἅπαξ σωθέντας, εἶτ' αὖθις παραπεσόντας ἀνανῆψαι, καὶ ἀφέσεως τυχεῖν, ἀδύνατον εἶναι ἱεραὶ μαρτυροῦσι γραφαί. Οὐχ ὅτι μὴ ἐνδεχόμενον τοῦτο, ὡς οἱ περὶ Ναύατον ἐξεδέχοντο, ἀλλ' ὅτι οὐ ῥᾴδιον. Τούτοις συγκαταλέγουσι καὶ ἅττα τῷ Καθήκοντι λαμπρῶς διαμάχεται, οἷον ὑγιᾶ τὰς φρένας, κακὸν μηδαμόθεν προσδοκῶντα πείσεσθαι, αὐτόχειρα ἀναιρεθῆναι· ἢ υἱὸν συνετόν τε ἄλλως, καὶ τῷ τεκόντι φίλπατον ὄντα, πατραλοίαν γενέσθαι, σχεδὸν ἀδύνατα.

§. ρξζ΄. Ἔτι τὰ μὲν ἀνυποθέτως ἀδύνατα, φασί, δίκαιον καλεῖν, τὰ φύσει τοιαῦτα (§. ρξδ΄.) τὰ δὲ ἐξ ὑποθέσεως, οἷς λόγος ἀποχρῶν τοῦ ἀδύνατα εἶναι ἐστὶν ἡ ὑπόθεσις· οἷον εἰ οὐ τρέφεται, ἀδύνατον αὐξῆσαι. Οὕτω δ' αὖ εἴποις καὶ δυνατὰ καθ' ὑπόθεσιν, τὰ καθ' ἑαυτὰ ἀδυνάτως ἔχοντα· οἷον εἰ σωματικὴ ἡ ψυχή, καὶ θανάτῳ τελευτήσει διαλυθεῖσα. Καί τοι ῥᾴδιον συνιδεῖν, ὡς τὰ ὑποθετικὰ ταῦτα, μὴ οἷα ἐστὶν οἷα δ' αὖ, εἴπερ οὕτως, ἢ οὕτως εἶχεν, ἀποφαινόμενα, κατὰ τὸ δυνατῶς ἔχειν, ἢ ἀδυνάτως κυρίως εἰπεῖν, οὔτε δυνατά, τὰ περὶ ὧν ὁ λόγος παρίστησιν ὄντα, οὔτε ἀδύνατα.

Θεω-

(1) Μεταφ. Δ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

## Θεώρημα ΟΒ΄.

§. ρξή. „ Ο ἀποχῶν λόγος τȣ̃ εἶναι τὶ ἐσωτερικῶς „ δυνατὸν, ἐν τοῖς αὐτȣ̃, ἐξ ὧν συγκροτεῖσθαι νοεῖται, „ παθήμασιν ἀναθετέος.

Τοιȣ̃το γὰρ εἴρηται εἶναι, διότι καθ᾽ ἑαυτὰ τὰ ἐν αὐτῷ συμπαραλαμβανόμενα, τὴν κατὰ τὸ ἅμα εἶναι οἰκείωσιν καὶ συνάφειαν, ȣ̓δαμῶς ἀποςρέφεται, ( §. ρξδ΄. ) ἅτε δὴ μηδεμιᾷ ἀντιφάσει ὑπαντιάζοντα, ȣ̓θ᾽ ὑπ᾽ ἀλλήλων ἀναιρεπόμενα. Ἀλλὰ γὰρ δι᾽ ὃ, τί ἐςὶν, ἐκεῖνο τȣ̃τȣ ἀποχῶν λόγος ἐςίν. ( §. λζ΄. ) Ἄρα κτ.

## Θεώρημα ΟΓ΄.

§. ρξθ΄. „ Ο δὲ τȣ̃ εἶναι τὶ ἐσωτερικῶς ἀδύνατον, ἐν „ τοῖς αὐτοῖς, ἀλλ᾽ ἐναντίως.

Διότι γὰρ ταῦτα ἀσύμβατα καθ᾽ ἑαυτὰ ( §. ρξδ΄. ) ὡς ἀντιφάσει περιπίπτοντα, καὶ ἀλλήλων ὄντα ἀναιρετικά. Ἄρα ( §. λζ΄. ) κτ.

## Σχόλιον.

§. ρό. Καὶ πῶς εἴρηται, ὅτι τȣ̃ ἀδυνάτȣ, ὁ πρὸς τὸ εἶναι ἀποχῶν λόγος, ἐν μηδενί; ( §. μέ. ) Ἀλλ᾽ ἔχει ȣ̈τως, ὁ μὲν γὰρ πρὸς τὸ δυνατὸν εἶναι, ἢ ὑποςατὸν τὸ ἀδύνατον, ἐν μηδενὶ πάντως, ὡς ἐν ἐκείνῳ ἐδείκνυτο. (§. αὐτ.) ὁ δὲ πρὸς τὸ εἶναι ἀδύνατον, ἐν τοῖς ἀσυςάτως ἔχȣσι πάθεσι κεῖται, ὡς ἐνταῦθα.

## Θεώρημα ΟΔ΄.

§. ροά. „ Ο ἀποχῶν λόγος τȣ̃ εἶναι τὶ ἐξωτερικῶς „ δυνατὸν, τῇ ἀρχῇ ὑφ᾽ ἧς ἀναθετέος.

Τοιȣ̃-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοιῦτο γὰρ εἴρηται, ἢ αἰτιατὸν γίνεσθαι ἐνδέχεται, πρὸς τὸ ποιητικὸν ἀναφερόμενον ( §. ρξδ'. ), καὶ ἐν ποιοῦσιν ὑποστῆναι. Τοῦ δὲ ποιητικοῦ ἄνευ, οὐκ ἂν γένοιτο ποιητὸν οὐδέν. ( §. νζ'. ) Ἄρα κτ.

## Θεώρημα ΟΕ'.

§. ροβ'. „ Ο δὲ τοῦ εἶναι τί ἐξωτερικῶς ἀδύνατον ὡ„ σαύτως, ἀλλ' ἐναντίως.

Διὰ γὰρ τὴν ἀπουσίαν τοῦ ὑφ' οὗ, τοιοῦτον εἶναι τίθεται. ( §. ρξδ'. ) Ἄρα κτ.

## Σχόλιον.

§. ρογ'. Μὴ καὶ περιττὸν ἢ σημειοῦν ἐθέλειν, τὸν, καθ' ὅν τι ἐσωτερικῶς ἐστὶ δυνατὸν, ἢ μὴ, ἀποχρῶντα λόγον, οὐσίας ὀρθῶς καλεῖσθαι, τὸν δὲ καθ' ὃν ἐξωτερικῶς, ὑπάρξεως; Ἀλλὰ τοῦτο οὐκ ἂν οἶμαι περιττὸν εἶναι δόξειεν, εἰ παραινέσαιμι, δόκησιν παρέχειν ἄν τινα ἀντιφάσεως τὰ δύω Θεωρημάτια ( τό, τε ογ'. φημὶ, καὶ τὸ οέ. ) πρὸς τὸ Θεώρημα τὸ ς'., τοῖς μὴ τὰ ἐν αὐτοῖς λεγόμενα εὐθυβόλως παραδεξαμένοις. Πῶς γὰρ, ἂν φαῖεν ( δοκοῦντες ἴσως καὶ γενναῖα λέγειν. ) τοῖς ἀντιπεφυκόσιν ὅλως ( §. ρξθ'. ) ἢ τῇ ἀπούσῃ αἰτίᾳ ( §. ροβ'. ) ἀναθετέον τὸν ἀποχρῶντα λόγον τινὸς, τὸ μηδαμῶς ὂν, μηδ' οὗ τινοσοῦν ποτὲ περιέξειν ἂν, τὸν ἀποχρῶντα λόγον πρὸς τὸ εἶναι, ἢ ὡδέ πως εἶναι, φθάσαντας ( §. λή. ) ἀποδεῖξαι; Ἀλλὰ γὰρ αὐτίκα παύσονται τοῦ ἀπορεῖν, εὖ οἶδ' ὅτι, ὅσον διαφέρει τὸ εἶναι τὶ, ἢ ὡδέ πως εἶναι, τοῦ ἀδύνατον εἶναι ἁπλῶς, ἢ πῇ ἐννοήσαντες.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα Ος'.

§. ροδ'. „ Τὸ ἐσωτερικῶς ἀδύνατον, τοῦτο καὶ ἐξωτερι-
„ κῶς εἶναι πᾶσα ἀνάγκη.

Τὸ γὰρ ἐσωτερικῶς ἀδύνατον τοῦ πρὸς οὐσίαν ἀποχῶντος λόγου ἠμοίρησεν. ( ρξθ'. ροδ'. ροζ'. ) Καί ἐστιν, ἵν' οὕτως εἴπω, ἀνούσιον, καὶ ἁπλῶς μηδέν. ( §. ρξδ'. ) Τοιγαροῦν οὐδὲν τὸ τοιοῦτον, οἷον ἂν εἴη παραγαγεῖν εἰς τὸ ἐνεργείᾳ εἶναι. ( §. νδ'. ) Ἀλλ' ὃ μηδέν ἐστι ποιητικὸν, τοῦτο ἀνάγκη ἐξωτερικῶς εἶναι λέγειν ἀδύνατον. ( §. ρξδ'. ) Ἄρα κτ.

## Πόρισμα.

§. ροέ. Τὸ ἄρα ἀπολύτως καὶ οὐσίᾳ ἀδύνατον, οὐκ ἂν ἔχει οὐδενὶ λόγῳ γενέσθαι ποτὲ δυνατόν.

## Σχόλιον.

§. ρος'. Κοινὸν τὸ δόγμα, τοῖς τε πάλαι καὶ τοῖς νῦν ἐπίσης πρεσβευόμενον. Ἅπασι γὰρ ὁμόλογον, ὡς τὰ ὑποπίπτοντα ἀντιφάσει οὔθ' ὁ Θεὸς, οὔθ' ἡ φύσις ποιῆσαι δύναται. Εἰ μὴ γὰρ τοιαῦτα εἶναι τεθῇ τὰ πάντη ἀνυπόστατα, τίνα ποτ' ἂν εἴη ταῦτα οὐδεὶς ἂν ἔχοι εἰπεῖν. Ἄξιον μέντοι τοῖς περὶ τούτου τῶν Νεωτέρων (1) εἰρημένοις προσέχειν τὴν διάνοιαν. Φυλακτέον, φησὶ, μὴ τὰ τοῖς ἀδυνά-
„ τοις συγκαταλέγοιμεν, ὧν [illegible] ἐξικνούμενα τάς γε οὐσίας,
„ καὶ τὰς παραιτίους δυνάμεις [illegible] νοεῖν. Ἀλλὰ μὴ παρα
„ τοῦτο δέον ἐκ θατέρας τῶν ἀκρ[illegible] ἐκβραχηλίζεσθαι;
„ Καὶ μηδὲν ἀδύνατον τὸ [illegible] ἡγεῖσθαι, οὐδὲ τὸ αὐτὸ
„ ἅμα εἶναι, καὶ μὴ εἶναι, [illegible] πεπονθέναι ἴσμεν τὸν
„ Καρ-

(1) Γενεύσ. Μεταφ. Μέρ. α'. Ορ.

,, Καρτέσιον, τὸν τὸ πανσθενὲς τοῦ Θεοῦ, καὶ πάνσοφον λόγῳ
,, ἀτόπῳ ἐξυμνεῖν οἰόμενον; ὑπερβολὴ μανίας τῆς τῶν Σκε-
,, πτικῶν τὸ τοιοῦτο, καὶ πάσης γνώσεως ἀνθρωπίνης κα-
,, θαίρεσις. Εἰ γὰρ, ᾗ φησὶ Μαλεβράγχιος (1) ἅπαντα
,, Θεὸς τὰ δυνατὰ ἐναργῶς τε καὶ συνεχῶς ἐποπτάνει, τού-
,, των ἀλλ' οὖν, εἰ μὴ πάντα, ἀλλ' ἔνια γοῦν, ἀσφαλῶς καὶ
,, αὐτοὶ εἰδέναι παρ' ἐκείνου ἔχομεν λαβόντες· οἷον τὸ ὅλον
,, εἶναι μεῖζον τοῦ μέρους, καὶ τὰ διπλήσια. Ἐὰν οὖν ἐπὶ
,, τῶν τοιούτων ἡ θεία γνῶσις, μείζων ἢ τὴν ἀσφάλειαν,
,, ἀσφαλὴς πάντως ἡ ἡμῶν αὐτῶν περὶ τὰ τοιαῦτα οὐκ ἂν
,, εἴη. Ἀλλ' ἄλογον οἶμαι ὑπὸ τοῦ πανσθενοῦς Θεοῦ, τοιούτους
,, ἡμᾶς δημιουργηθῆναι ὑπολαμβάνειν, οἵους μηδὲν ὅλως
,, ἀσφαλῶς ἔχειν εἰδέναι, καί τοι νοητικῇ δυνάμει πλουτί-
,, σαντος. Λανθάνει δὲ ἄλλως, ἐκεῖνος καὶ τὸ πανσθενὲς οὕ-
τω τοῦ Θεοῦ καθαιρῶν, καί τοι δοκῶν ἐξαίρειν, διὰ τοῦ ἀτό-
που φρονήματος. Ὅρον καὶ γὰρ τῆς παντεργικῆς ἰσχύος τιθέ-
μενος τὸ ἀδύνατον, εἰς τὸ μηδὲν οὕτως ἀποτερματίζει τὴν
θειοτάτην ἐνέργειαν. Καὶ ποιητὴν ὄντα τέως τοῦ μηδὲν ὄν-
τος ( τὸ γὰρ ἀντιφάσει ὑποβαῖνον, καὶ κατ' αὐτὸ ἀδυνάτως
ἔχειν λεγόμενον, φύσει μηδὲν ) ἀναδείκνυσιν, ὃν Δημιουρ-
γὸν τῶν ὄντων γεραίρομεν. Ἐφ' οἷς οὐδὲ τοῦτο συνιδεῖν ἔχει,
οἷ ἀτοπίας προβαίνει αὐτῷ τὸ δόγμα. Ἐπεὶ αὐτὸ ἑαυτοῦ
τὸ θεῖον, γένοιτ' ἂν οὕτως ἀναιρετικόν· ἢ καὶ ἴσου παρ' αὐτὸ,
ἄλλου παραγωγικόν· ἢ καὶ μείζονος, ταῦτα δὴ τὰ λαμπρῶς ἀν-
τιφάσκοντα, καὶ ἀδύνατα. Ἀλλὰ γὰρ ἄπαγε. Οὔκουν ἐκεῖ-
νος κρείζων ἐστὶ τῆς φύσεως ταύτης δυνάμεως· ἄπειρος δὲ
ὢν τὴν ἰσχὺν, καὶ ὄντων ἀπείρων παραγωγικὸς γένοιτ' ἂν ἐ-
θελήσας, ἀεὶ ἐπ' ἄπειρον. Οὕτω; γὰρ οὐκ ἀδυνατήσει πα-
ρὰ τῷ Θεῷ πᾶν ῥῆμα. Τὸ δ' ἀντιφάσκον οἴκοθεν ἐπαγό-
μενον τὸ ἀδύνατον, καὶ τοῦ εἶναι φύσει παρολισθαῖνον καὶ διεκ-
πῖπτον, οὐδὲ ῥῆμα κυρίως εἰπεῖν, οὐδὲ νόημα· πολλοῦ γε
καὶ δεῖ ὂν εἶναι καὶ πρᾶγμα.

Θεώ-

---

(1) Περὶ Ἠθ. καὶ Θρησκ. βιβλ. α'.

## Θεώρημα ΟΖ΄.

§. ροζ΄. „ Τὸ ἐξωτερικῶς δυνατὸν, τὸ ἐσωτερικῶς εἶ-
„ ναι τοιῦτο προϋποτίθησι.

Φέρε γὰρ, εἰ δοκεῖ, ἐσωτερικῶς ἔσω μὴ δυνατόν. Ἄρα καὶ ἐξωτερικῶς τῦτο εἶναι πᾶσα ἀνάγκη. ( §. ροδ΄. ) Ἀλλὰ γὰρ καὶ ἐξωτερικῶς τὸ αὐτὸ ἅμα, ( ἐξ ὑποθ. ) δυνατόν. Ἄρα κατὰ τὸ αὐτὸ καὶ δυνατὸν, καὶ μὴ, ὅπερ ( §. λ΄. ) ἀδύνατον. Ἄρα κτ.

Ἄλλως· τῆς ὑπάρξεως τὸ ἔσχατον πλήρωμα ὗσης ( ὡς εἰρήσεται ) ἡ ὐσία φύσει προτέρα. Τὰ δὲ τῶν προτέρων πάθη πρότερα. ( §. ιθ΄. ) Τὸ ἄρα δυνατὸν καθ᾽ ὕπαρξιν προτερῦν οἶδε τὸ κατ᾽ ὐσίαν. Ἀλλ. τὸ μὲν ἐξωτερικῶς δυνατὸν, καθ᾽ ὕπαρξιν ἐςί. Τὸ δὲ ἐσωτερικῶς κατ᾽ ὐσίαν. ( §. ρογ΄. ) Ἄρα κτ.

## Σχόλιον.

§. ροη΄. Λογισμοῖς ὗν δικαίοις τὸ περὶ τύτυ οἱ Μεταφυσικοὶ ταλαντεύοντες, τὸ ἁπλῶς δυνατὸν πρώτως τε, καὶ καθ᾽ ἑαυτὸ, ἐκ τῦ μηδεμιᾷ περιπίπτειν ἀντιφάσει τιθέασι. Δευτέρως δὲ καὶ κατὰ σχέσιν ἀναθεωρῦσι τῦτο, καὶ ὡς ἐκ τῆς θείας δυνάμεως. Τὸ γὰρ πανσθενὲς τῦ Θεῦ, εἴτις πρώτως αἴτιον εἶναι θείη, τῦ ὐσιωδῶς εἶναι δυνατὰ, τάγε ὗτω δυνατὰ, ὐκ ἂν ἔχοι ἔπειτα διερωτηθεὶς ἀποδῦναι, τίνι δήποτε λόγῳ τῦ Θεῦ γεραίρει τὸ παντοδύναμον, εἰμὴ ταυταδολεσχήσας ψυχρῶς, καὶ εἰπὼν, διότι πάντα δύναται, ὅσα καὶ δύναται. Δι᾽ ὧν, ὐδὲ τῦ Θεῦ τι ἐρεῖ πάντως ἐπάξιον, εἴγε καὶ πᾶς τις σαφῶς τῦτο ᾠκείωται. Ἀλλ᾽ ὅγε πρώτως τε καὶ ὐσιωδῶς καθ᾽ ἑαυτὰ τοιαῦτα εἶναι τὰ δυνατὰ εἰσηγύμενος, παντοδύναμον ὗτος ἐξυμνήσει τὸ Θεῖον, ὡς ἄρα πάντα τὰ πόῤῥω ἀντιφάσεως οἱασῦν γινόμενα, ταὐτὸν εἰπεῖν τὰ ὀνοματικῶς ὄντα, εἰς τὸ μετοχικῶς εἶναι παράγειν δυνάμενον.

Θεώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΟΗ΄.

§. ροθ΄. „ Τὰ φυσικῶς ἀδύνατα ἐξωτερικῶς τε, καὶ ἐ-
„ σωτερικῶς εἰσὶ δυνατά.

Τοιαῦτα γὰρ λέγεται, πρός γε τοὺς ἐν τῇ φύσει κειμένους θεσμοὺς παρεξεταζόμενα. ( §. ρξς΄. ) Ἀλλὰ γὰρ παρὰ τῷ θεμένῳ κεῖται τὸ τοὺς θεσμοὺς μεταθέσθαι τούτους. ( §. αὐτ. ) Ἔστιν ἄρα ἐξωτερικῶς δυνατὰ τὰ τοιαῦτα. Ὅ, τὸ Α΄.

Ἀλλὰ καὶ τὸ ἐξωτερικῶς δυνατὸν, τὸ ἐσωτερικῶς εἶναι τὶ τοιοῦτο προϋποτίθησιν. ( §. ροζ΄. ) Ἄρα κτ. Ὅ, τὸ Β΄.

## Σχόλιον.

§. ρπ΄. Ἥλιον οὖν εἰς δυσμὰς ἐπιπερχὲς φερόμενον στῆναι, καὶ μεσουρανοῦντα παλίνδρομον ἀναποδισθῆναι, καὶ πανσελήνου ἀκριβοῦς οὔσης τέλεον ἐκλιπεῖν, καὶ πῦρ δροσοβόλον ἀναδειχθῆναι, καὶ αὐτὴν τὴν ξιχῶν φειδόμενον, φλόγας τε ἄνωθεν κατενεχθῆναι, καὶ θάλασσαν πληγῇ βακτηρίας ὑποχωρήσασαν, ἑκατέρωθεν εἰς τείχη παγιωθῆναι, καὶ ποταμὸν ἄφνω ἀναχαιτίσαι τὸ ῥεῦμα, ταῦτα δὴ καὶ τὰ τοιαῦτα τοῖς μὲν κατὰ φύσιν κειμένοις θεσμοῖς προσέχουσιν ἀδύνατα, τοῖς δὲ εἰς τὸ πανσθενὲς τοῦ νομοθετήσαντος ἀναφέρουσι τὴν διάνοιαν, δυνατὰ καὶ μάλα ὁμολογεῖται. Οὐ μόνον δὲ, ἀλλὰ καὶ ὑπερφυῶς, ὡς ἂν ἐκείνῳ δόξῃ, εἰς ἔργον ἀγόμενα. Τὰ γὰρ παρὰ τοῖς ἀνθρώποις ἀδύνατα, δυνατὰ ἐστὶ παρὰ τῷ Θεῷ. Οὐδὲν οὖν, κυρίως εἰπεῖν, ἐξωτερικῶς ἂν εἴη ἀδύνατον, ἁπάντων τῶν ἐσωτερικῶς δυνατῶν, τῇ θείᾳ δυνάμει ὑπακουόντων. Ἐκτὸς εἰ μὴ, τοῦτο μόνον „ ἀδύνατον φαμὲν, ὃ Θεὸς οὐ βούλεται, οὐδὲ παραχωρεῖ (1), ἐπεὶ οὐδὲν οἷόν ἐστι τῷ ἐκείνου ἀντιστῆναι θελήματι.

Θεώ-

(1) Δαμασκ. περὶ Ὀρθοδόξ. Πίστεως Κεφ. ξη΄.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΟΘ΄.

§. ρπα΄. „ Τὰ ἠθικῶς ἀδύνατα, φυσικῶς εἰσὶ δυνατά.
Τοιαῦτα γὰρ τὰ ἤτοι ὡς ἥκιστα, ἢ ὅτι χαλεπῶς συμβαίνοντα· (§. ρξς΄.) ὐ γὰρ δηλαδὴ παρέλλειψιν δυνάμεων τῶν ἐν τῇ φύσει. Ἀλλ᾽ ὧν ὐκ ἄπεισι τῦ παντὸς δυνάμεις τελεστικαὶ, ὐ φυσικῶς ἀδύνατα τὰ τοιαῦτα. (§. αὐτ. ἄρα κτ.)

## Θεώρημα Π΄.

§. ρπβ΄ „ Τὰ ἐξ ὑποθέσεως ἀδύνατα, ἢ δυνατὰ, „ καθ᾽ ἑαυτὰ ἐςὶ δυνατὰ, ἢ ἀδύνατα.
Παραίτιος γὰρ, τῦ ταῦθ᾽ ὕτως ἔχειν, αὐτοῖς καθίσαται ἡ ὑπόθεσις. (§. ρξζ΄.) Ἀλλὰ γὰρ καθ᾽ ἑαυτὰ θεωρύμενα ὑπεξίσαται τῆς ὑποθέσεως, ἄρ᾽ ὖν ὑπεξαιρεῖται τηνικαῦτα τῦ ἀποχρῶντος λόγυ, πρὸς τὸ εἶναι ἀδύνατα, ἢ δυνατά. Καὶ μένει ἄρα δυνατὰ, ἢ ἀδύνατα. Ο. Ε. Δ.

## Περὶ Ὑπάρχοντος, καὶ Μέλλοντος.

§. ρπγ΄. Μετοχικῶς τὸ ὂν ἐκληφθὲν, σημαίνει τὸ ὑπάρχον ὡς εἴρηται. (§. ρνα΄.) Καὶ ἔςιν ὅ,τι δήποτε ὑφέςηκε, κἄν τε ὐσία τῦτο ᾖ, κἄντε τὶ τῶν περὶ τὴν ὐσίαν. Τῦθ᾽ ὃ ἐντελεχείᾳ ἔχει τὸ εἶναι, ὡς σὺν Ἀριςοτέλει ἐπὶ τῶν διαιρέσεων τῦ ὄντος (§. ρνγ΄.) ἐλέγομεν, καὶ ὅπερ ἐπὶ τὸν δεύτερον καὶ τέταρτον τῶν τεττάρων τρόπων ἀνεκαλῦμεν. (§. ρνβ΄.) Νοήσαις δ᾽ ἂν τὸ ὑπάρχον, πρὸς μὲν τὸ κυρίως ἀδύνατον, πάντῃ ἀκοινώνητον ὂν, καὶ ἀσύμφυλον. Πρὸς δὲ τὸ δυνατὸν, πῇ μὲν ἀκοινώνητον, πῇ δὲ καὶ κοινωνίαν ἔχον. Δυοῖν γὰρ τυτωνὶ λόγων θεωρυμένων ἀποχρώντως ἐχόντων πρὸς τὸ εἶναι τὶ, τῦ μὲν ἐσωτερικῦ,

καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ κατ' οὐσίαν, τοῦ δ' ἐκτὸς, καὶ καθ' ὕπαρξιν, (§. ρογ'.) τὸ μὲν ἀπολύτως ἀδύνατον ἑκατέρων ἠμοίρησεν. Οὐδὲ γὰρ ἐνὶ ὅλως συναφθῆναι, μὴ συμπάσχοντα ἐπὶ τούτου τὰ τοῦ εἶναι συστατικά· οὐδ' ἂν γένοιτό τι τῆς τούτων συναφείας παραίτιον. (§. ροδ'.) Τὸ δὲ δυνατὸν ἑκατέρων ἔτυχεν, ἀλλὰ δυνάμει. Καὶ γάρ τοι τούτου τὰ γνωρίσματα καὶ καθ' ἑαυτὰ συμβατὰ, καὶ ἄλλως, καὶ δύναμις ἐστὶν, ἥτις αὖ αὐτὰ ἐφ' ἓν συμβιβάσειε. Τὸ δὲ ὑπάρχον ὁμοίως, ἀλλ' ἐνεργείᾳ. Τοῦ γὰρ αἰτίου ἐνεργοῦντος, τὸ ἐξ ἐκείνου εἰς ἐντελέχειαν ἄγεται. Κἀντεῦθεν αὖ εἰσβάλλοι τις προσδεῖν τῆς τοῦ ποιοῦντος ἐνεργείας ἐξ ἀνάγκης, εἰ μέλλοι εἰς τὸ ὑπάρχον τὸ δυνατὸν μεταστήσεσθαι, καὶ ἔξω τοῦ μὴ ὄντος (μετοχικῶς μοι νόει) γενήσεσθαι, τοῦ λόγου καθ' ὅν τι δυνατὸν ἐστὶ, τοῦ ὑφ' οὗ αὐτὸ τὴν ὕπαρξιν ἔχει, πολὺ διαφέροντος. (§. μή.) Διοριστέον δὲ καὶ τοῦτο ἐνταῦθα, ὡς τῶν δυνατῶν, τὰ μὲν ἀεὶ δυνατὰ εἴρηται καὶ ἐστὶν, ἃ μηδέποτε εἰς τὸ ἐνεργείᾳ ἐλεύσεται. Τὰ δὲ ἄχρι τινὸς τοιαῦτα, οἷα τὰ τέως εἰς τὸ ὑπάρχειν μετατιθέμενα. Τὰ δὲ τοιαῦτα ἰδιαίτερον ἀποκαλεῖν εἰώθασι μέλλοντα.

§. ρπδ'. Ὁρίσειας οὖν τὴν ὕπαρξιν ἐντελέχειαν τοῦ εἶναι εἰπών. Καὶ κατάστασιν τοῦ ὄντος, καθ' ἣν ἐξέβη τῆς ἰδίας αἰτίας, ὡς οἱ Σχολαστικοί. Καὶ πλήρωμα τῆς, ὡς εἰπεῖν, δυνατότητος, καθάπερ ἄλλοι ὡρίσαντο. Καὶ τὸ ὑπάρχον δὲ κατ' αὐτὰ, τὸ ἐνεργείᾳ εὐμοιροῦν τοῦ εἶναι, καὶ μὴ δυνάμει. Καὶ ὅπερ ἤδη, ἡ ποιητικὴ αἰτία ἐξήνεγκεν ἐνεργήσασα. Καὶ ᾧ περαιτέρω οὐδενὸς ἐνδεῖ, πρός γε τὸ εἶναι. Ἐνέδει γὰρ ἀμέλει τοῦ μὲν ἀπολύτως δυνατοῦ, καὶ αἰτίου, τοῦ δ' αἰτίου καὶ ἐνεργείας. Ταύτης δὲ τέως τεθείσης, λείπεται περαιτέρω οὐδὲν, ὥστε τὸ ἐξ ἐκείνου τε, καὶ διὰ ταύτης ὂν εἶναι πληρέστατα. Προσάψαις δ' αὖ τοῖς ἀποδοθεῖσι καὶ τὸν ἐφεξῆς, καθ' ὃν ἡ ὕπαρξις ὁρίζεται παρ' ἄλλοις, κατάστασις ὄντος, καθ' ἣν δεξιῶς ἔχει πρὸς τὸ ἐνεργεῖν, ἢ παθαίνεσθαι. Καὶ ὑπάρχον τὸ ἐνεργείας, ἢ πάθους δεκτικόν.

§. ρπέ. Καλῶς δὲ ἔχει διαιρεῖν καὶ τὸ τῆς ὑπάρξεως ἐπὶ τῶν λαχόντων· ἢ γὰρ καθ' ἑαυτὰ ἔλαχεν, ἢ κατ' αὐτῶν, ἢ ἐν αὐτοῖς. Καθ' ἑαυτὰ μὲν αἱ πρῶται οὐσίαι, ὡς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀριστοτέλης καλεῖ, (1) ἤτοι τὰ ὑποκείμενα. Κατ' αὐτῶν δὲ αἱ δεύτεραι οὐσίαι, αἱ καὶ καθ' ὑποκειμένου εἰρημέναι. Ἐν αὐτοῖς δὲ τὰ συμβεβηκότα, καὶ ἐν ὑποκειμένῳ τὸ εἶναι ἔχοντα. Ὧν τὰ μὲν ἐνυπάρχοντα δίκαιον ὀνομάζειν, τὰ δὲ καθυπάρχοντα, τὰ δὲ ἁπλῶς ὑπάρχοντα. Ἀλλὰ καὶ τὸ οὕτως ὑπάρχον, οἷον ἐστὶ τὸ κατὰ μέρος, ἄτομον καλεῖται, καὶ ὑπόστασις, καὶ πρόσωπον. Καὶ ἄτομον μὲν, ὅτι δὴ πάντη μερικώτατον ὂν (2) εἰς μερικώτερα οὐκ ἂν τμηθείη. Ὑπόστασις δὲ, ἅτε δὴ ὑφεστὼς ὂν πρᾶγμα κατὰ Ἀμμώνιον. Ἢ ὡς τοῖς Σχολαστικοῖς ὑπογράφειν φίλον, ὡς οὐσία οὖσα τῶν καθ' ἕκαστα, ἀκοινώνητος, καὶ πεπληρωμένη. Τὸ μὲν διὰ τὸ κατὰ τὴν ὕπαρξιν πλήρωμα· ( §. ρπδ'. ) τὰ δὲ, διὰ τὸ ἄτομον εἶναι, καὶ τὰς ἀτομοποιοὺς ἔχειν διαφορὰς, καθ' ἃς τὸν ἀριθμὸν διαφέρειν λέγεται. Αὗται δὲ εἰσὶν, ὡς μὲν ὁ πατὴρ Δαμασκηνὸς φησὶ (3) τὰ ἀχώριστα τῶν
„ συμβεβηκότων. Ἡ γὰρ ὑπόστασις θέλει ἔχειν οὐσίαν μετὰ
„ συμβεβηκότων, καὶ καθ' ἑαυτὴν ὑφίστασθαι, καὶ αἰσθήσει,
„ ἤγουν ἐνεργείᾳ θεωρεῖσθαι. Ὡς δὲ Θεόδωρος ὁ Ἀβουκάρας, (4) τὸ ἔχειν τήνδε τὴν ψυχὴν τοῦτο ἐστὶ τὸ συστατι-
„ κόν. Τὸ δὲ γρυπὸν, ἢ ξανθὸν, ἢ ὅσα ἀχώριστα συμ-
„ βεβηκότα, ταῦτα οὐκ εἰσὶν ὑποστατικὰ κυρίως, ἀλλὰ κα-
„ ταχρηστικῶς. Περιαιρουμένων γὰρ τούτων ἁπάντων τῇ ἐπι-
„ νοίᾳ μένει ἡ ὑπόστασις. Ἀλλ' οὐκ ἔδει μένειν τὴν ὑπόστα-
„ σιν τούτων περιαιρουμένων, εἰ ἦσαν ὑποστατικὰ, διὰ τὸ
„ μὴ δύνασθαι τὴν ὑπόστασιν ἄνευ τούτων εἶναι. Τῷ γὰρ
„ αὐτῷ λόγῳ ἔσονται, καὶ χωριστὰ συμβεβηκότα ὑποστατι-
„ κὰ, ὅπερ ἀδύνατον. Οὐ γὰρ δύναται ἡ ὑπόστασις εἶναι
„ ἄνευ κινήσεως, ἢ ἠρεμίας· ἢ ἄνευ τοῦ καθέζεσθαι, ἢ ἵ-
„ στασθαι, ἢ τοῦ κεῖσθαι πως. Ἀλλ' οὔτε ἡ κίνησις, οὔτε ἡ ἠ-
„ ρεμία, οὔτε ἡ θέσις, οὔτε οὐδόλως τι τῶν χωριστῶν συμβε-
„ βηκότων ἐστὶν ὑποστατικόν. Ὥστε διὰ τοῦτο, οὐδὲ τὰ ἀχώ-
„ ριστα συμβεβηκότα ἐστὶν ὑποστατικά. Πρόσωπον δὲ, ἐὰν ᾖ
ὑπό-

---

(1) Περὶ Οὐσίας. (2) Ἐν τῇ Λογικῇ.
(3) Κεφ. λ'. (4) Ἐν Ἀνεκδότοις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑπόστασις νοῦ καὶ λόγου μετέχουσα. Πρόσωπον γάρ ἐστιν ὅ-
„ περ διὰ τῶν οἰκείων ἐνεργημάτων, καὶ ἰδιωμάτων ἀείδη-
„ λον καὶ περιωρισμένην, τῶν ὁμοφυῶν αὐτοῦ παρέχεται τὴν
„ ἐμφάνειαν. (1) Ἀκριβῶς δὲ ἐπισκοποῦσιν οὐκ ἄλογον δο-
κεῖ, τὸ ἐπὶ πλέον κἀν τούτοις, καὶ ἔλαττον διαδέξασθαι.
Καὶ τὸ μὲν ἄτομον, καὶ τοῖς καθ' ἕκαστα τῶν συμβεβηκότων
ἐπιφημίζειν, τὴν δὲ ὑπόστασιν ἰδιαίτερον ταῖς ἀτομικαῖς οὐ-
σίαις, τὸ δὲ πρόσωπον, ταῖς λογικαῖς ὑποστάσεσιν ἰδιαί-
τατα. Ὡς λέγειν μὲν ἅπαν πρόσωπον καὶ ὑπόστασιν, καὶ ἄ-
τομον, καλεῖν δὲ πᾶσαν ὑπόστασιν ἄτομον μὲν, πρόσωπον
δ' οὔ. Ἡγεῖσθαι δὲ ἄτομα τινὰ οὔθ' ὑποστάσεις ὄντα, οὔτε μὴν
πρόσωπα. Καίτοι ταῦτα οὕτω πολυπραγμονοῦσιν οὐδὲ τοῦτο
„ παραλειπτέον, ὡς οἱ ἅγιοι Πατέρες, παρεάσαντες τὰς
„ πολλὰς ἐρεσχελίας, τὸ μερικὸν ἐκάλεσαν ἄτομον, καὶ πρό-
„ σωπον, καὶ ὑπόστασιν. (2)

§. ρπϛ'. Κείσθω δὲ καὶ ταῦτα ἐκ τοῦ θείου Δαμασκηνοῦ
περὶ τοῦ ἐνυποστάτου μετ' ἀκριβείας λεγόμενα, (3) καὶ οὐκ ἔ-
ξω εἱρμοῦ τοῦ προκειμένου ἡμῖν λόγου λεγόμενα. „ Τὸ ἐνυ-
„ πόστατον ὁτὲ μὲν τὴν ἁπλῶς ὕπαρξιν σημαίνει· κα-
„ θ' ὃ σημαινόμενον, οὐ μόνον τὴν ἁπλῶς οὐσίαν ἐνυπό-
„ στατον λέγομεν, ἀλλὰ καὶ τὸ συμβεβηκὸς, ὅπερ κυρίως οὐκ
„ ἐνυπόστατόν ἐστιν, ἀλλ' ἑτεροϋπόστατον. Ποτὲ δὲ καὶ τὴν κα-
„ θ' ἑαυτὸ ὑπόστασιν, ἤγουν τὸ ἄτομον δηλοῖ· ὅπερ κυρίως
„ οὐκ ἐνυπόστατον, ἀλλ' ὑπόστασις ἐστί τε, καὶ λέγεται. Κυ-
„ ρίως δὲ ἐνυπόστατόν ἐστιν, ἢ τὸ καθ' ἑαυτὸ μὲν μὴ ὑφι-
„ στάμενον, ἀλλ' ἐν ταῖς ὑποστάσεσι θεωρούμενον, ὥσπερ τὸ
„ Εἶδος, ἤγουν ἡ φύσις τῶν ἀνθρώπων, ἐν ἰδίᾳ ὑποστάσει οὐ
„ θεωρεῖται, ἀλλ' ἐν Πέτρῳ καὶ Παύλῳ, καὶ ταῖς λοιπαῖς τῶν
„ ἀνθρώπων ὑποστάσεσιν· ἢ τὸ σὺν ἄλλῳ διαφόρῳ κατὰ
„ τὴν οὐσίαν, εἰς ὅλου τινὸς γένεσιν συντιθέμενον, καὶ μίαν
„ ἀποτελοῦν ὑπόστασιν σύνθετον. Οἱονεὶ ὁ ἄνθρωπος ἐκ

„ ψυ-

(1) Δαμασκ. Κεφ. μγ'.
(2) Δαμασκ. Φιλοσοφ. Κεφ. λ'. καὶ μγ'.
(3) Αὐτ. Κεφ. μδ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ ψυχῆς ἐςὶ καὶ σώματος συντεθειμένος, καὶ οὔτε ἡ ψυχὴ „ μόνη λέγεται ὑπόςασις, οὔτε τὸ σῶμα, ἀλλ᾽ ἐνυπόςατα. Τὸ δὲ ἐξ ἀμφοτέρων ἀποτελούμενον, ὑπόςασις ἀμφοτέρων. Ὑπόςασις γὰρ κυρίως τὸ καθ᾽ ἑαυτὸ ἰδιοσυςάτως ὑφιςάμενον, ἐςί τε καὶ λέγεται. Λέγεται πάλιν ἐνυπόςατον ἡ ὑφ᾽ ἑτέρας ὑποςάσεως, προσληφθεῖσα φύσις, καὶ ἐν αὐτῇ ἐσχηκεῖα τὴν ὕπαρξιν. Ὅθεν καὶ ἡ Σὰρξ τοῦ Κυρίου μὴ ὑποςᾶσα καθ᾽ ἑαυτὴν, μηδὲ πρὸς καιροῦ ῥοπὴν, οὐχ ὑπόςασις, ἀλλὰ μᾶλλον ἐνυπόςατον ἐςίν. Ἐν γὰρ τῇ ὑποςάσει τοῦ Θεοῦ λόγου ὑπέςη, προσληφθεῖσα ὑπ᾽ αὐτῆς, καὶ ταύτην καὶ ἔσχε, καὶ ἔχει ὑπόςασιν.

§. ρπζ΄. Ἀναγκαῖον ἀλλ᾽ οὖν ἐνταῦθα καὶ τοῦτο προσημειῶσαι, ὡς ἦν ποτε παρὰ τοῖς ἱεροῖς Συγγραφεῦσιν, ὅτε ἡ οὐσία καὶ ἡ ὑπόςασις ἀνθ᾽ ἑνὸς ἐλαμβάνετο, διεκρίθη δὲ ὕςερον τὰ ὀνόματα, οὐ μετρίας τῆς ἀτοπίας ἐν τοῖς θείοις δόγμασι, παραιτίου γινομένης τῆς τούτων συγχύσεως, ὅπερ ἅλις ἐμφαίνει τὸ Λεοντίου ἀποσπασμάτιον. (1) „ Ἡ γοῦν ὑπόςασις κατὰ δύω, φησὶν ἐκεῖνος, σημαινομένων φέρεται· „ σημαίνει γὰρ καὶ τὸ ἁπλῶς ὂν ὑπάρξει ὄν, ὅτε μάλιςα „ τῶν χαρακτηριςικῶν ἰδιωμάτων ἐςέρηται, σημαίνει καὶ τὸ „ πρόσωπον τὸ καθ᾽ ἑαυτὸ ὑφεςώς. Ὅθεν ὁ Ἅγιος Κύριλλος ποτὲ μὲν ἐπὶ τοῦ ἁπλῶς ὄντος, τῷ ὀνόματι τῆς „ ὑποςάσεως χρησάμενος, φησὶν ὅτι δὴ ἀσύγχυτοι μεμενήκασιν αἱ ὑποςάσεις, περὶ οὐσιῶν λέγων. Καὶ πάλιν ὅτι πραγμάτων, ἤγουν ὑποςάσεων, γέγονε σύνοδος. Καὶ „ εἴτις ἐπὶ τοῦ ἑνὸς Χριςοῦ διαιρεῖ τὰς ὑποςάσεις, καὶ ἕτερα τοιαῦτα περὶ τῶν οὐσιῶν λέγων. Ἀλλὰ καὶ ὁ Ἅγιος „ Ἀθανάσιος ἐν τῇ πρὸς τοὺς Ἄφρους ἐπιςολῇ φησίν, ἡ δὲ „ ὑπόςασις οὐσία ἐςὶ, καὶ οὐδὲν ἄλλο σημαινόμενον ἔχει ἡ „ οὐσία, ἢ τὸ ὄν. Ποτὲ δὲ πάλιν ὁ αὐτὸς Κύριλλος ἐπὶ „ τοῦ καθ᾽ ἑαυτὸ ἰδιοσυςάτου ὑφεςῶτος προσώπου τὴν ὑπόςασιν λαμβάνων, ἔφασκεν. Εἴτις ἐν προσώποις δυσίν, „ ἤγουν

(1) Ἐν τοῖς κατὰ Σεβηριανῶν Ἀνεκδ. Συμμίγμ. Κεφ. κζ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

,, ἤγουν ὑποστάσεσι, τὰς ἐν Εὐαγγελίοις ἀπονέμει φωνὰς,
,, ἀνάθεμα ἔστω. Οὐχ ἧττον δὲ, καὶ τὸ πρόσωπον εὕροι
αὖτις παρὰ τῷ μεγάλῳ Ἀθανασίῳ (1), ἀντὶ τῆς φύσεως
,, ἀδιαφορούμενον, ἐν οἷς περὶ Χριστοῦ, οὐκ ἐν διαιρέσει προ-
σώπων, φησὶ, τὰς συνιούσας εἰς ἓν φύσεις θεολογῶν.
Ὅπερ ἐκφεύγων οἶμαι ὁ Θεῖος Κύριλλος, (2) εἴτις ἐν προ-
,, σώποις δυσὶν, ἤγουν ὑποστάσεσι, τὸ ἐξηγηματικὸν προ-
σέθηκεν ἀκριβολογούμενος.

§. ρπη'. Μέλλον ἐστὶ τὸ καὶ τὸ ὕστερον τοῦ χρόνου ἀπὸ τοῦ νῦν, ὕπαρξιν ἐντελεχείᾳ ληψόμενον· καὶ ἔξω τῶν αἰτιῶν αὐτοῦ γενησόμενον. Καὶ πλήρωμα ἔξον τῆς κατ᾽ αὐτὸ δυνατότητος. Καὶ οἷον ἐσόμενον ἐνεργεῖν, ἢ παθαίνεσθαι. (§. ρπδ'.) Διὸ καὶ πλέον τι ἢ δυνατὸν τὸ μέλλον. Ἐκεῖνο γὰρ κυρίως εἰπεῖν (§. ρπγ'.) οὐκ ἔσται ποτὲ ἐνεργείᾳ, διὸ καὶ ἀεὶ δυνατόν· τὸ δὲ ἀσφαλῶς ποτὲ, καὶ ἐν χρόνῳ τεταγμένῳ, πάντη ἔσται, οἷον ὁ Ἀντίχριστος, καὶ τὸ πλεῖστον μέχρι τινὸς δυνατόν. Θαυμαστὸν οὖν οὐδὲν, εἴπερ ἄλλῳ καὶ ἄλλῳ, ἢ σεσημείωται (3) τὸ αὐτὸ, τῷ μὲν δυνατὸν ἁπλῶς ἂν δοκοίη, τῷ δὲ προειδότι τὴν τοῦ πράγματος ἔκβασιν, μέλλον ἔσοιτο. Ὅπου γε τὰ πολλὰ, καὶ ὅπερ οὗτος καραδοκεῖ ὡς ἐσόμενον, οἷον τὸ τῶν Ἰουδαίων ἔκπονδον ἔθνος τὸν Μεσσίαν, ἄλλος τις, ὡς οἱ τοῦ Χριστοῦ, καὶ ἐκ πολλοῦ γεγονὼς ἴσασι. Καὶ τοῦτο δὲ σεσημειώσθω σὺν Ἀμμωνίῳ (4), ὅτι ἄλλο ἐστὶν, ὡς αὐτὸς Ἀριστοτέλης (5) διορί-
,, ζεται, τὸ μέλλον, παρὰ τὸ ἐσόμενον. Καὶ τὸ μὲν ἐσό-
,, μενον, τὸ πάντως ἐκβησόμενον σημαίνει· ὡς ὅταν εἴπω-
,, μεν, ἔσται χειμὼν, ἢ θέρος, ἢ ἔκλειψις. Τὸ δὲ μέλλον
,, τὸ ἐκβῆναι καὶ μὴ ἐκβῆναι δυνάμενον, οἷον μέλλω βα-
,, δίζειν, μέλλω πλέειν.

§. ρπθ'. Οἱ τῆς ἑταιρείας εἶναι τοῦ Ἰησοῦ σεμνυνόμενοι

παρὰ

(1) Ἐν τῷ περὶ τῆς Σωτηρίου τοῦ Χριστοῦ Παρουσίας.
(2) Ἀναθεματ. Δ'. κατὰ Νεστορίου.
(3) Γενουένσ. Μεταφ. μέρ. α'. Κεφ. α'. Ὀρ. ζ'.
(4) Ἐν τοῖς περὶ Ἑρμηνείας ὑπομν.
(5) Ἐν τοῖς περὶ Γεν. καὶ Φθορ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παρὰ Λατίνοις, διαίρεσιν τοιαύτην τινὰ τῶν μελλόντων εἰσήνεγκαν, εἰς τάγε ἀπολύτως, ἤ φασι, καὶ τὰ ἐξ ὑποθέσεως μέλλοντα, τὰ μὲν, ὅτι πάντως ἔσται, τοιαῦτα εἶναι τιθέμενοι, τὰ δὲ, ὡς ἔσοιτ᾽ ἂν, εἰ τοδὶ, ἢ τοδὶ γένοιτο. Καὶ κατὰ ταῦτα δὴ καὶ τὴν τοῦ Θεοῦ πρόγνωσιν διαιρεῖν χαίρουσιν, εἰς τὴν κατὰ τὴν ἁπλῆν νόησιν, ἢ τῶν ἀπείρων δυνατῶν ἁπλῶς ὄντων, ὁ νοῦς ὁ θεῖος ἐπιδράττεται, καὶ τὴν κατ᾽ ἐποπτείαν, ἥπερ τὰ ἀπολύτως νοεῖ ἐσόμενα. Καὶ εἰς τὴν μεταξὺ τούτων, τὴν τῶν ἐξ ὑποθέσεως μελλόντων (ἅτε δὴ καὶ αὐτῶν μεταξύ πως ἱσταμένων, καὶ μήτε δυνατῶν, φασὶν, ἁπλῶς, μήτ᾽ αὖ κυρίως μελλόντων) οὖσαν ἀντιληπτικήν. Ἀλλ᾽ ὁ μὲν περὶ τῆς ὑπεραγνώστου γνώσεως λόγος, οἷα δὴ θειοτέρας ὢν θεωρίας, καὶ τῆς ἐν χερσὶ ταύτης ὑπεραλλόμενος, ἐν ἄλλοις τεταμιεύσθω. Τὸ δὲ ταῖς οὕτως ἰσχναῖς διαιρέσεσιν ἐπιχαίρειν ταύταις, μήτι γε μᾶλλον κουφότητα κατηγοροίη φρενῶν, ἢ λεπτότητα. Εὖ γάρ μοι δοκεῖ, μεταξὺ τοῦ ἔσεσθαι καὶ μὴ, μέσον παρεμπίπτειν μηδέν. Εἰ δὲ μὴ, πῶς οὐ δῆλον, καὶ μεταξὺ τῶν ἐσομένων, οἷα τὰ μέλλοντα, καὶ τῶν μὴ, οἷα τὰ ἁπλῶς δυνατὰ, τὸ μέσον ζητεῖν, ἤτοι κράσει τῇ ἐκ τούτων, ἢ καὶ ἀποβολῇ, αὐτὰ ἄντικρυς εἶναι τὸ ζητεῖν τὰ ἀδύνατα; Ἀλλ᾽ εἰ, φασὶν, αὐτίκα τεχθεὶς τεθνήξοιτο, οὐ πάντως τοσαῦτα κατὰ τῶν ἐκλεκτῶν, ὥστε πλανῆσαι καὶ αὐτοὺς, εἰ δυνατὸν, ὁ ἀπατεὼν ἐκεῖνος ἐπινοήσοιτο. Οὐδ᾽ ἂν βασιλεύσοι τότε ἀνακεκαλύπτῳ τῷ προσώπῳ ἐπὶ γῆς ἡ ἀνομία. Τὸ δὲ ἤπου οὐχ οὕτως ἔσται, ἀλλ᾽ ἔσοιτο ἄν· ὥστε οὐδὲ μέλλον· ἀλλ᾽ ἐσόμενον ἄν. Ἀλλὰ μὴν οὐδὲ ἁπλῶς δυνατὸν, ὅσῳ γε καὶ ἡμῖν αὐτοῖς ῥᾳδίως εἶναι τὸ τοιοῦτο προγινωσκόμενον. Τούτοις ἀλλ᾽ οὖν οὐ χαλεπὸν ἐῤῥωμένως ἀντεμβαλεῖν, ὡδὶ διαιρήσαντας. Ἤτοι γὰρ ἐκεῖνα τὰ ὑποθετικὰ, ὡς ἂν αὐτοὶ φαῖεν, μέλλοντα ἀναγκαίως καὶ ἀπαραιτήτως ἐξῆπται τῆς ὑποθέσεως, ἢ οὐχί. Εἰ μὲν οὖν ἐκεῖνο, συμπεριενεχθήσεται πάντως τῇ ὑποθέσει, ἀδιαχώριστα. Εἰ δὲ τοῦτο, καὶ τῆς ὑποθέσεως τεθείσης, οὐκ ἂν παρὰ ταύτην, ἐξ ἀνάγκης, καὶ ἀπταίστως, καὶ αὐτὰ ἔσοιτο. Ἐπείγει γὰρ οὐδέν· ὥστε οὐδ᾽ οὕτως εἶεν ὑποθετικὰ μέλλοντα. Εἰδ᾽ οὖν, ἀλλ᾽ ἐπὶ τὸ πρῶτον αὖ, πρὸς ὃ καὶ ἐοίκασιν, ἀναδράμοιεν, ἤτοι τεθείσεται ποτὲ ἐν τοῖς οὖσι

τὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ τῆς ὑποθέσεως, καὶ συνέσται πάντως ταύτῃ τὰ ἐξ αὐτῆς τοῖς λοιποῖς τῶν μελλόντων συναριθμούμενα. Ἢ οὐ τεθείσεται, καὶ τοῖς ψιλῶς δυνατοῖς ἄμφω συγκαταταχθήσεται. Καὶ μὲν δὴ καὶ οὕτως, εἰς τὰ δυνατὰ, ἢ ἐσόμενα διαῤῥυήσεται ἡμῖν ὁ τῶν ὑποθετικῶν τουτωνὶ μελλόντων εἱρμός. Εἶτα καὶ εἰ μὴ Φίλιππος, φασὶν, ὁ Μακεδὼν, χερσί τε καὶ στρατηγήμασι τὰ τῶν Ἑλλήνων φθάσας ἐκόλυσεν, οὐκ ἂν ὁ υἱὸς Ἀλέξανδρος Πανελλήνιος αἱρεθεὶς στρατηγὸς, τοῦ μεγάλου βασιλέως ἐκράτησε. Καὶ εἰ νοσήσας πρὸ τῆς μάχης τεθνήκει, οὐκ ἂν ὑπὸ χεῖρα τοῖς Ἕλλησι, τὸ Περσῶν ἐγένετο κράτος. Καὶ ἀσιτῶ μὲν, μὴ ἔχων ὅ,τι καὶ φάγωμαι, ἐμφοροῦμαι δὲ γενναίως, εὖ μάλα κεκαρυκευμένῳ περιτυχὼν τῷ ἐδέσματι. Τί δῆτα; ἔσται ἄρα ἡμῖν καὶ ἐξ ὑποθέσεως, τὰ μὲν γενόμενα ἂν, τὰ δὲ καὶ μή. Καὶ τὰ μὲν γινόμενα, τὰ δὲ μή. Ἀλλ᾽ ὥσπερ οὖν, ἃ μὲν γέγονε τοῖς παρῳχημένοις, ἃ δὲ γίνεται τοῖς ἐνεστῶσιν, οὕτω δήπερ καὶ ἃ γενήσεται, κἂν ἐξ ὑποθέσεως τεθεισομένης ἕξῃ τὸ ἔσεσθαι, τοῖς ἐσομένοις τεθείσεται καὶ αὐτὰ ἐναρίθμια. Καὶ καθάπερ οὐδὲν ὀνίνησιν ἡ ἐπινοουμένη ὑπόθεσις, πρὸς τὸ, τοῖς ὑφεστῶσιν, ἢ ὑφισταμένοις, συνεπιλογίζεσθαι, τὰ μηδὲ γεγονότα, μηδὲ γινόμενα, οὕτω τοι πάντως πάνυ ψυχρῶς εἰσενήνεκται καὶ τὰ τῆς ὑποθέσεως, ὅθεν ἂν ὑποσταίη τὰ πάντῃ πάντως μηδέ ποτ᾽ ἐσόμενα, ἐφ᾽ ᾧ, παρὰ τὰ δυνατὰ καὶ τὰ μέλλοντα τρίτον τι εἶδος πλασθῆναι τὸ τῶν εἰρημένων μελλόντων ἐξ ὑποθέσεως.

## Θεώρημα ΠΑ΄.

§. ργ΄. „ Τὸ αὐτὸ ὑπάρχον οὐκ ἔνι ἅμα καὶ δυνατὸν εἶ-
„ ναι, ἤ γε ὑπάρχον.

Τὸ μὲν γὰρ, ἐνεργείᾳ ἔχει λαβὸν τὸ εἶναι, καὶ ἔξω τῆς ἰδίας αἰτίας ἐγένετο, καὶ πεπλήρωται ἤδη αὐτῷ, τὸ καθ᾽ ὃ δυνατὸν εἶναι ἐλέγετο. Καὶ οἷον ἐστὶν ἐνεργεῖν, ἢ πάσχειν. (§. ρπδ΄.) Τὸ δὲ δυνατὸν κἄν τε ἀπολύτως εἶναι τοιοῦτο τεθῇ, κἄν τε, καὶ κατὰ σχέσιν τινὰ πρὸς τὰ αἴτια. (§. ρξδ΄.) Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ δὴ, εἴτε καὶ ἀεὶ δυνατὸν, εἴτε καὶ ἄχρι τινός. (§. ρπγ'.) Τούτων οὐδὲν δύμοιρεῖ. (§. ρξδ'.) Ἄρα κτ.

Ἄλλως, εἰ τὸ ὑπάρχον, ᾗ ὑπάρχον δυνατὸν τὸ αὐτὸ, καὶ τὸ μὴ, ταύτηγε, ᾗ μὴ ὑπάρχον, ἀδύνατον. Ἀλλ' οὐχὶ τὸ δεύτερον. (§. ρξδ'.) Ἄρα οὐδὲ τὸ πρῶτον.

Ἄλλως, εἴπερ ὑπάρχον τὸ αὐτὸ καὶ δυνατὸν, πάντως γε δυνατὸν ὂν, τὸ αὐτὸ καὶ ὑπάρξει. Ἀλλ' οὐχὶ τὸ δεύτερον. Προσδεῖ γὰρ ἔτι τῷ δυνατῷ πρὸς τὸ ὑπάρχειν, καὶ τῆς τοῦ αἰτίου ἐπενεργήσεως. (§. ρξδ'. ρπγ'. ρπδ'.) Ἄρα οὐδὲ τὸ πρῶτον.

Ἄλλως, ἔτι δὲ καὶ τὸ ὑπάρχον πρὸς τὸ δυνατὸν, εἰμὴ πάντη, ἀλλὰ πῇ γοῦν τυγχάνει ἀσύμφυλον. (§. ρπγ'.) Ἄρα κτ.

## Σχόλιον

§. ρϟα'. Εἶτα quod actu existit, id quoque debet esse possibile. Τουτέσι τὸ ἐνεργείᾳ ὑπάρχον, τοῦτο καὶ δυνατὸν εἶναι, εἰσὶν οἱ τῶν καθ' ἡμᾶς (1) θαῤῥούντως ἀποφθέγγονται, καὶ τοὺς ἀρχαίους, τοῦτο ἀξιοῦντας, ἐν οἷς φασιν, ὡς ab esse ad posse valet consequentia, ἀπὸ τοῦ εἶναι ἐπὶ τὸ δύνασθαι ὀρθῶς εἰσβάλλειν, ὅτι, μάρτυρας προσεπαγόμενοι. Τί τοίνυν πρὸς τοὺς ἄνδρας ἐροῦμεν; ἢ ὅτι περὶ ἑτέρου μὲν τοῦ ἀριθμοῦ, ὁμοφυοῦν δὲ ὁ λόγος αὐτοῖς; Ἀλλ' ὤφειλον πάντως οἰκειότερον ἀποφαινόμενοι, μὴ τὸ ὑπάρχον εἶναι δυνατὸν οὕτως ἁπλῶς ἀποφαίνεσθαι, τὸ δὲ τὴν φύσιν προσεοικὸς τῷ ὑπάρχοντι, καὶ μὴ ὑπάρχον, τῶν ἁπλῶς, ἢ τῶν ἄχρι τινὸς δυνατῶν εἶναι λέγειν. Καί τοιγε οὐδ' ἐκεῖνο γοῦν τὸ παρὰ τῶν ἀρχαιοτέρων (τῶν Σχολαστικῶν πάντως) πρὸς ἀκρίβειαν λόγου ἀληθοῦς λεγόμενον φέρεται, ὡς δῆθεν ἀπὸ τοῦ εἶναι ἐπὶ τὸ δύνασθαι, τὰ τῆς ἐπιφορᾶς ὀρθῶς ἕλκεται. Οὐ

(1) Βαυμεϊστέρειος Ὀντολογ. μέρ. ά. Κεφ. β'. περὶ ἐννοίας τοῦ ὄντος. §. 23.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐ γὰρ δηλονότι εἴτι ἐστὶ, τοῦτο καὶ εἶναι κατὰ τὸ αὐτὸ δύναται, κἂν μυριάκις ἡμῖν τὸν ὑφεστῶτα κόσμον ( ὃ ποιοῦσιν ὡς ἐν τύπῳ παραδείγματος ) posse esse, ἤτοι δύνασθαι εἶναι, προβάλλοιντο. Ἀκριβοῦντας δὲ κἀκεῖνο εἰς τόδε μεθαρμοστέον τ' ἀξίωμα, ὅτι ἀπὸ τοῦ εἶναι τὶ ( οἷον τόνδε τὸν κόσμον ), πρὸς τὸ εἰκάσαι δυνατὸν εἶναι ὑφεστάναι τοιοῦτον ἕτερον, ἤτοι παραπλήσιον, ὀρθῶς ἐναγόμεθα. Ἢ καὶ οὕτως, ἐκ τοῦ εἶναι τὸ δύνασθαι ἐπιφέρομεν, εἰσβάλλοντες, ὡς ἐπεὶ ἤδη ἐστὶ, πρὶν γενέσθαι, τὸ εἶναι πάντως λαβεῖν ἠδύνατο. Τοῦτο γὰρ δὴ, ὡς ἀληθὲς ὂν, καὶ αὐτοὶ τιθέμεθα. (1) Τί οὖν ἐρεῖς; τὸ ὑπάρχον ἀδύνατον; μὰ δί, ἀλλ' οὐχὶ δυνατόν· πολὺ δὲ διαφέρει τοῦ μὴ δυνατὸν εἶναι, τὸ εἶναι ἀδύνατον. Τὸ μὲν γὰρ ὑποχώρησις ἐστὶ τῇ δυνάμει, ἐπεληλυθότος τοῦ ἐνεργείᾳ. Τὸ δὲ παντελῆ σημαίνει ἀπουσίαν, καὶ αὐτῆς τῆς πρὸ τοῦ ἐνεργείᾳ εἶναι δυνάμεως.

## Θεώρημα ΠΒ΄.

§. ρυβ΄. „ Τὸ ὑπάρχον πρὶν ἢ ὑπάρξαι δυνατὸν ἦν, „ ἀλλὰ μέχρι τινός.

Ὑπάρχον καὶ γὰρ ( ἐξ ὑποθ. ) ἔξω τῶν αὐτοῦ αἰτίων ἐγένετο. ( §. ρπγ΄. ρπδ΄. ) Ἔστιν ἄρα αἴτιον τοῦ τοιούτου παρακτικόν. ( §. νζ΄. ) Ἦν ἄρα ἐξωτερικῶς δυνατόν. ( §. ρξδ΄. ) Τοιγαροῦν καὶ ἐσωτερικῶς. ( §. ροζ΄. ) Ἐπεὶ δὲ ἔμελλεν ὑπάρχειν, καὶ μέχρι τινὸς τὸ δυνατὸν εἶναι εἶχεν. ( §. ρπγ΄. ) Ἄρα κτ.

## Πόρισμα.

§. ρυγ΄. Οὐκ ἄρα τὸ ὑπάρχον πρὶν ἢ ὑπάρξαι, κυρίως ἦν δυνατόν. ( §. ρπγ΄. ρυβ΄. )

Θεώ-

---

(1) Λογικ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΠΓʹ.

§. ρμδʹ. „ Τὸ δυνατὸν ἐχ ᾗ δυνατὸν, καὶ ὑπάρχον.

Ἔςω γὰρ ὑπάρχον εἰ δοκεῖ· καὶ δυνατὸν ταύτηγε· (ἐξ ὑποθ.) Ἄρ' ἐν καὶ ὑπάρχον ἔςαι ἅμα καὶ δυνατὸν τὸ αὐτό. Ἀλλ' ἐχ οἷόν τε. (§. ρμʹ.) Ἄρα κτ.

Ἄλλως. Προσδεῖ δήπε τῷ δυνατῷ εἰς τὸ ὑπάρχειν, καὶ τῆς τε ποιητικῆς ἐνεργείας. (§. ρξδʹ. ρπγʹ. ρπδʹ.) Ἄρα κτ.

## Σχόλιον.

§. ρμεʹ. Διὰ μὲν τε̃δε τε̃ Θεωρήματος, ἀνωτέρω ἐδείκνυτο, καὶ τὸ π αʹ., δι' αὐτε̃ δὲ ἐκείνε τε̃ π αʹ., ἐνταῦθα κατασκευάζεται ἀνάπαλιν τόδε. Τί ἐν ἄλλο, ἐρεῖτις, τετο ἐςὶν, ἢ κύκλῳ ἐν ταῖς δείξεσι φέρεσθαι δινεμένες; Ἀλλὰ μηδεὶς θροείσθω. Πολλαχόθεν καὶ γὰρ τοῖς Θεωρηματίοις, τὰ τὴν πίςιν πορίζοντα εἴληπται. Τὸ μὲν γὰρ π αʹ., καὶ αὐτὸ τῆς γʹ. δείξεως ἐκ περιεσίας ὠχύρωται. Τὸ δὲ καὶ αὐτὸ τῆς αʹ. ἐκ τῶν §. ρξδʹ. ρπγʹ. ρπδʹ. ἐςὶν ἀναμφίλεκτον τὸ παρόν. Θαυμάσειέ τις μᾶλλον εἰκότως, τῶν τὸ μὲν ὑπάρχον δυνατὸν εἶναι ὑποτιθεμένων, τὸ δὲ δυνατὸν ἔπειτα ἐχὶ καὶ ὑπάρχον τὸ αὐτὸ ἐχόμενα ἀποφαινομένων. Ἀλλ' ἴσως ἐκείνοις, περὶ ἑτέρε τε ὡς εἴρηται (§. ρμαʹ.) παραπλησίε ὁ λόγος ἦν, ἢ γεν περὶ τε̃ κατὰ τὸ πρότερον ἄχρι τινὸς δυνατε̃, καὶ μὴ τῷ ὑπάρχοντι συνεπινοεμένε. (§. αὐτ.). Τετὶ δὲ τὸ Θεώρημα, δι' ἰσοδυναμέσης προτάσεως τοῖς Σχολαςικοῖς, ὧδε ἠξίωται· ἀπὸ τε̃ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ διὰ συλλογισμε̃ ἐκ ἀσφαλὴς ἡ μετάβασις.

## Θεώρημα ΠΔʹ.

§. ρμϛʹ. „ Τὸ ἁπλῶς ἀδύνατον, ἐδέποτε καθίςαται „ ὑπάρχον.

Φέρε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Φέρε γὰρ δῶμεν ὡς καθίσαταί ποτε. Πρὶν ἂν ὑπάρξαι δυνατὸν ἦν. ( §. ρϟβ'. ) Ἀλλὰ καὶ ἀδύνατον (ἐξ ὑποθ.) τοῦτ᾽ αὐτό. Οὐκ ἔσι δὲ τὸ ἁπλῶς ἀδύνατον, οὐδενὶ λόγῳ γενέσθαι ποτὲ δυνατόν. ( §. ροέ. ) Ἄρα κτ.

## Θεώρημα ΠΕ'.

§. ρϟζ'. „ Τὸ μὴ ὑπάρχον, οὐ παρ᾽ αὐτὸ καὶ ἀδύνατον.
Πολλὰ γὰρ τὰ μηδαμῶς μὲν ὑπάρχοντα, φύσει δὲ, ἢ ἄλλως πως δυνατὰ, ἃ δὴ καὶ ὑπὸ αἰτίων ἔχοι ἂν παραχθῆναι, τὴν ἐν τοῖς ἔσι· ( §. ρπγ'. ρπδ'. ) τοιαῦτα δὲ πάντως τὰ μέχρι τινὸς δυνατά. ( §. ρπγ' ) Τούτοις αὖ συγκαταλέξειας καὶ τὰ φυσικῶς μὲν ἀδύνατα, ἐξωτερικῶς δὲ καὶ ἐσωτερικῶς δυνατά. ( §. ροθ'. ρπ'. ) Καὶ τὰ ἀδύνατα μὲν ἠθικῶς, δυνατὰ δὲ φυσικῶς. ( §. ρπά. ) Τὰ γὰρ τοιαῦτα πρὸς τὴν ἐνεργείᾳ εἶναι, οὐδαμῶς καὶ τὸ δυνάμει ἐκπέφευγε. Ἄρα κτ.

## Θεώρημα Πϛ'.

§. ρϟή. „ Τὸ μέλλον παραπλησιώτατον ἐστὶ τῷ ὑπάρ-
„ χοντι, εἰ μόνον τὴν κατὰ τὸν χρόνον διαφορὰν ἐξέλῃς.
Ὅσα γὰρ ἐπιθεωρεῖται τῷ ὑπάρχοντι, καὶ τῷ μέλλοντι ὑπάρχειν, πάντως προσέσαι· οἷον ἥτε ἐντελεχείᾳ ὕπαρξις, καὶ τὸ ἐκτὸς τοῦ αἰτίου εἶναι, καὶ τὸ τῆς δυνατότητος ἔσχατον πλήρωμα, καὶ ἡ πρὸς τὸ ἐνεργεῖν, ἢ πάσχειν δεξιότης. ( §. ρπδ'. ρπή. ) Πλὴν ὅσον τῷ μὲν κατὰ τὸ ἐνεσὸς τοῦ χρόνου ἐπαληθεύει, τῷ γε ὑπάρχοντι· τῷ δὲ κατὰ τὸ ἐσόμενον, τῷ γε μέλλοντι. Ἄρα κτ.

## Σχόλιον.

§. ρϟθ'. Ἀλλ᾽ εἴποις αὖ ἴσως, ὡς τὸ μὲν ὑπάρχον οὐκ ἔνι ἅμα καὶ δυνατὸν εἶναι ( §. ρϋ. ) τὸ δὲ μέλλον, καὶ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μάλαγε, ( §. ρϒβ'. ) ὃ διὰ τοῦ ἐφεξῆς ἀποδείκνυται Θεωρήματος, καθ' ὃ τὸ ὑπάρχον πρὶν ἢ ὑπάρξαι δυνατὸν, οἷον ἂν εἴη ὁμολογουμένως τὸ μέλλον πρὸ τῆς ὑπάρξεως. Εἰ τοίνυν ταῦτα, πῶς ἔπειτα, τὸ ὑπάρχον τῷ ὑπάρξοντι παραπλησιώτατον εἶναι δώσομεν; Ἢ ὅτι καὶ τὸ ὑπάρξον, τὸ δυνατὸν εἶναι κυρίως παρῃτήσατο. ( §. ρϒγ'. ) Ἐξοικειούμενον δὲ τὸ μέχρι τινὸς ( §. ρπη'. ρϒβ'. ) ἐν τούτῳ παρὰ τὴν χρονικὴν διαφορὰν, καὶ παρήλλακται τοῦ ὑπάρχοντος· αὐτὸ γὰρ τοῦτο καὶ τοῦ τὴν ὕπαρξιν εἰληφότος, πρὶν ἢ λαβεῖν, ὀρθῶς κατηγόρηται, ὅπερ ἤδη τοῦ μέλλοντος. Τὰ δ' ἄλλα ὅτι τῷ ὑπάρχοντι τὸ μέλλον συμβαίνει, καὶ ἐξωμοίωται, παρὰ τὸ ἀνὰ χεῖρας Θεώρημα, ἀποχρώντως οἶμαι πείθει, καὶ τὰ ἀνωτέρω. Καὶ γὰρ ὥσπερ τὸ δυνατὸν, οὐχ ᾗ δυνατὸν καὶ ὑπάρχον, ( §. ρϒδ'. ) οὕτως οὐδὲ ὑπάρξον. Καὶ ὥσπερ τὸ ἁπλῶς ἀδύνατον οὐδέποτ' ἂν καταςαίη ὑπάρχον, ( §. ρϒς'. ) οὕτως οὐδὲ ὑπάρξον. Καὶ ὥσπερ τὸ μὴ ὑπάρχον οὐ παρ' αὐτὸ καὶ ἀδύνατον, ( §. ρϒζ'. ) οὕτως οὐδὲ τὸ μὴ ὑπάρξον.

## Περὶ Ἀναγκαίου, καὶ Ἐνδεχομένου.

§. σ'. Ἀναγκαῖον λέγομεν σὺν Ἀριςοτέλει τὸ μὴ ἐνδε-„χόμενον ἄλλως ἔχειν· οἷον ἀναγκαῖον τὸ ζῶον εἶναι αἰσθητικὸν, καὶ τὸν ἄνθρωπον λογικόν. (1) Ἐξ οὗ δὴ, ( ὅπερ ἁπλῶς ἐςὶν ἀναγκαῖον, οἷα δὴ ἐκ τοῦ οὐσιώδους εἴδους ὂν, καὶ οἴκοθεν ὡς εἰπεῖν τὰ τῆς ἀνάγκης φέρον ) καὶ ἄλλοι τρόποι τοῦ ἀναγκαίου ἠρτημένως τοῦ πρώτου τούτου, παρὰ τῷ Φιλοσόφῳ εἰσὶ διακρινόμενοι. Καὶ γὰρ ἀναγκαῖον, φησὶ, λέ-„γεται, καὶ οὗ ἄνευ οὐκ ἐνδέχεται ζῆν, ὡς συναιτίου· οἷον τὸ ἀναπνεῖν, καὶ ἡ τροφὴ τῷ ζώῳ ἀναγκαία. Τὸ μὲν γὰρ τὴν κυκλοφορίαν τοῦ αἵματος προάγον, ἡ δὲ, τὰς γινομένας δαπάνας ἀντικαθιςῶσα, καὶ ἀναπληροῦσα, παραίτια ἐςὶν

( εἰ

(1) Μεταφ. Δ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

( εἰ καὶ ἐξωτερικὰ ) τοῦ τὴν κρᾶσιν τοῦ ζώου, ἐξ ἧς τὸ ζῆν, διασώζεσθαι. Καὶ ἀναγκαῖα, ὧν ἄνευ τὸ ἀγαθὸν μὴ ,, ἐνδέχεται ἢ εἶναι, ἢ γενέσθαι, ἢ τὶ κακὸν ἀποβαλεῖν, ἢ ,, στερηθῆναι· οἷον τὸ πιεῖν τὸ φάρμακον ἀναγκαῖον, ἵ- ,, να μὴ κάμνῃ, καὶ τὸ πλεῦσαι εἰς Αἴγιναν, μὴ ἀποβά- λῃ τὰ χρήματα. Καὶ ἀναγκαῖον δὲ καὶ τὸ βίαιον, καὶ ἡ βία. ,, Τοῦτο δὲ ἐστὶ τὸ παρὰ τὴν ὁρμὴν· ( ἐπὶ τῶν φυσικῶν ) ,, καὶ τὴν προαίρεσιν ( ἐπὶ τῶν θελητικῶν ) ἐμποδίζον ,, ( εἴπερ ἤρξατο φέρεσθαι. ) καὶ κωλυτικὸν ( εἰ μηδὲ ἤρξα- ,, το ὅλως. ) Διὸ καὶ λυπηρὸν, ὥσπερ καὶ Εὔηνος φησί.

,, Πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιηρὸν ἔφυ. Καὶ ἡ βία ,, ἀνάγκη τὶς, ὥσπερ καὶ Σοφοκλῆς λέγει.

,, Ἀλλ' ἡ βίαμε ταῦτ' ἀναγκάζει ποιεῖν. Καὶ δοκεῖ ἡ ,, ἀνάγκη ἀμετάπειστόν τι εἶναι, ὀρθῶς· ἐναντίον γὰρ τῇ κατὰ ,, προαίρεσιν κινήσει, καὶ κατὰ τὸν λογισμόν. Ἐπὶ τούτοις δὲ, διὰ τὸν ἀποδοθέντα λόγον τοῦ ἀναγκαίου, καὶ ἡ ἀπόδειξις ,, τῶν ἀναγκαίων ἐστὶν, ὅτι οὐκ ἐνδέχεται ἄλλως ἔχειν, εἰ ,, ἀποδέδεικται ἁπλῶς. ( καὶ μὴ ἐξ ὑποθέσεως δηλονότι, ἢ ἐκ τῶν δοκούντων ἐκείνῳ πρὸς ὃν ἡ ἀπόδειξις, καὶ διὰ τῆς ἀπαγωγῆς εἰς ἀδύνατον. ) ,, Τούτου δὲ αἴτια τὰ πρῶτα ,, ( τουτέστιν αἱ προκείμεναι. ) ἃ ἀδύνατον ἄλλως ἔχειν, ,, ἐξ ὧν ὁ Συλλογισμός.

§. σα'. Ἐν ἄλλαις φωναῖς, τὸν κατὰ τοὺς Νεωτέρους τοῦ ἀ- ναγκαίου ὁρισμὸν εὕροις ἂν παραπλήσιον, ἐκεῖνο λέγοντας, ,, οὗ περ τοὐναντίον ἐστὶν ἀδύνατον. Ἐν ᾧ καὶ τὸν ὅρον τοῦ ἀδυνάτου ἀνελίξας, ἰσαρίθμους ἂν τοῖς κατὰ τοῦτο τρόποις καὶ τοὺς κατ' ἐκεῖνο πορίσαιο. Τὸν μὲν γὰρ, καθ' ὅν τι ἀναγκαῖον λέγεται μεταφυσικῶς τε καὶ ἐσωτερικῶς, οἷον ὅτι τὸ τρίγωνον τρίπλευρον· τὸν δὲ, καθ' ὃν ἐξωτερικῶς, καὶ πρὸς τὸ ποιητικὸν ὑφ' οὗ ἀφορῶσιν. Οἷον ὅτι ἡ γῆ τῷ Ἀρχιμήδῃ ἀκίνητος, καὶ ὅτι ἥλιος αὔριον ἀνατελεῖ, φυσικῶς ἀναγκαῖα. Τὸν δὲ καθ' ὃν ἠθικῶς, οἷον ὅτι ὁ πατὴρ, ἀγαπᾷ τὸν υἱὸν τὸν ἑαυτοῦ. Τὸν δὲ, καθ' ὃν ὑποθετικῶς, οἷον ἀναγκαῖον βουληθέντα δικαιοσύνην ἀσκεῖν. Τὸ τοίνυν κατὰ τὸν πρῶτον τρόπον ἁπλῶς ἐστὶν ἀναγκαῖον. Ἐκείνου καὶ γὰρ τοὐναντίον ἁπλῶς ἀδύνατον.

§. σβ'. Ἐπὶ τούτοις τὸ μὲν εἶναι φασὶν ἀναγκαῖον κα-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θ᾽ ὕπαρξιν, τὸ δὲ κατ᾽ οὐσίαν· καὶ τὸ μὲν πρὸς ὕπαρξιν, τὸ δὲ πρὸς οὐσίαν. Καὶ πρὸς οὐσίαν μὲν, τὸ οὐσιῶδες τινὶ γνώρισμα, καὶ ὂν καὶ νοούμενον, οὗ αὐτοῦ δηλονότι ἡ οὐσία οὐδ᾽ ἂν εἴη, οὐδ᾽ ἂν νοηθείη· διὸ καὶ τούτων ἐσωτερικῶς ἡ οὐσία ἐξῆφθαι λέγεται. Οὕτω τοι πρὸς οὐσίαν τοῦ ΒΑ, ἀναγκαῖα λέγεται τὸ Α καὶ τὸ Β. Πρὸς ὕπαρξιν δὲ ἀναγκαῖον τὸ ὑφ᾽ οὗ, ἢ τὸ ἐν ᾧ, ὡς τούτου αὐτοῦ τὸ αἰτιατὸν, ἢ τὸ ἐν ὑποκειμένῳ ἀδύνατον ἔχειν τὴν ὕπαρξιν. Διὸ καὶ τούτου ἐξωτερικῶς τὸ ὂν ἐξηρτῆσθαι λέγεται· οἷον ἂν εἴποις τὸ Α αἴτιον, ἢ ὑποκείμενον ἀναγκαῖον εἶναι καθ᾽ ὕπαρξιν, ἢ κατ᾽ ἐνύπαρξιν τοῦ Β, τοῦ ἐξ ἐκείνου, ἢ ἐν ἐκείνῳ. Ἀναγκαῖον δὲ κατ᾽ οὐσίαν πᾶν ὁτιοῦν, τοῦ λόγῳ τῶν πρὸς οὐσίαν αὐτοῦ ἀναγκαίων ὄντων, θεωρούμενον, καθ᾽ ὃν δὴ λόγον μεταφυσικῶς τε καὶ ἐσωτερικῶς ἀναγκαῖον εἴρηται. ( §. σα΄. ) Ἀναγκαῖον δὲ καθ᾽ ὕπαρξιν, ὅτῳ τῶν πρὸς οὐσίαν ἀναγκαίων ἡ ὕπαρξις, καὶ ἀδύνατος ἡ ἀνυπαρξία· ἢ ᾧ τὸ εἶναι οὐσία· ἤτοι, ᾧ πρὸς ὕπαρξιν οὐδὲν ἀναγκαῖον, ἢ, ὅπερ ἐξωτερικῶς ὑπ᾽ οὐδενὸς ἄλλου ἐξήρτηται κατὰ τὸ ὑπάρχειν. Τὸ τοίνυν κατ᾽ οὐσίαν, καὶ καθ᾽ ὕπαρξιν ὂν τὸ αὐτὸ, ἀναγκαῖον εἰρήσθω πάντῃ πάντως ἀναγκαῖον. Τὸ δὲ κατὰ τὴν οὐσίαν μόνον, κατὰ τοῦτο.

Ἐνδεχόμενον δὲ, ᾗ τῷ ἀναγκαίῳ ἀντιδιέσταλται, οὗ τοὐναντίον ἁπλῶς δυνατόν. Καὶ ἄλλως, πᾶν ὅ,τι ἐξωτερικῶς ἄλλου ἐξῆπται, εἴτε ὡς ὑποκειμένου, ᾧπερ ἂν, μὴ ὡς μέρος, μηδ᾽ ὥς τι τῶν πρὸς οὐσίαν ἀναγκαίων, παρυποσταίη, εἴτε καὶ ὡς ὑφ᾽ οὗ· καὶ τοῦτο ἤτοι δυνατὸν ὂν, εἰ μὴ ἐνεργείᾳ ποτὲ ὑποστήσεται, ἢ καὶ ὑφεστώς, ἢ καὶ μέλλον ποτὲ ὑφίστασθαι.

## Θεώρημα ΠΖ΄.

§. σδ΄. „ Τὸ αὐτὸ τοῦ αὐτοῦ, ἀναγκαῖον εἶναι ἅμα πρός „ τε οὐσίαν, καὶ πρὸς ὕπαρξιν, ἀδύνατον.

Ἔστω γὰρ ( ἐξ ὑποθ. ) τὸ Α ἀναγκαῖον πρὸς οὐσίαν τοῦ ΒΑ, ὡς μηδὲ εἶναι τοῦτο δύνασθαι ἐκείνου ἄνευ, μηδὲ τὴν ἀρχὴν νοηθῆναι. ( σβ΄. ) Ἀλλ᾽ ἔστω δὴ τὸ αὐτὸ Α, εἰ δυνατὸν καὶ ἀναγκαῖον πρὸς ὕπαρξιν τοῦ αὐτοῦ ΒΑ. ( ἐξ ὑποθ. )

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑποθ. ) οὐκοῦν ποιητικὸν ἔσαι τὸ Α τοῦ Β, ἢ ὑποκείμενον. ( §. σβ'. ) Ἄρα καὶ τὸ Α τοῦ Α ποιητικόν, τὸ μὴ δυνατὸν ( §. νς'. ) ἢ τὸ Α τοῦ Α καὶ ὑποκείμενον, καὶ ( ἅτε δὴ ἐν ὑποκειμένῳ ) μὴ ὑποκείμενον. Τὸ ἀδύνατον. ( §. λ'. ) ἄρα κτ.

## Θεώρημα ΠΗ'.

§. σε'. „ Ὅ,τι δήποτε ὑφεστηκὸς ἤτοι ἐνδεχόμενον ἐστὶ „ καθ' ὕπαρξιν, ἢ ἀναγκαῖον.

Τοῦ γὰρ ὑφεσῶτος, ἤτοι ἐξωτερικῶς ἄλλου ἡ ὕπαρξις ἀπήρτηταί τινος, ἢ οὐχί. Ἀλλ' εἰ μὲν ἐκεῖνο, ἐνδεχόμενον ἐστίν. ( §. σγ'. ) εἰδὲ τοῦτο, ἀναγκαῖον καθ' ὕπαρξιν. ( §. σβ'. ) Ἄρα κτ.

## Θεώρημα ΠΘ'.

§. σς'. „ Ἅπαν ὂν κατ' οὐσίαν ἐστὶν ἀναγκαῖον.

Ὂν γὰρ τὸ νοητόν. ( §. ρνβ'. ) Τὸ δὲ νοητὸν, ἐσωτερικῶς δυνατόν. ( §. ρξδ'. ) ἤτοι μεταφυσικῶς. Τούτου δὲ τοὐναντίον ἐσωτερικῶς καὶ μεταφυσικῶς ἀδύνατον. ( §. αὐτ. ) Ἀλλ' οὗπερ αὖ τοὐναντίον τοιοῦτον ᾖ, ἐκεῖνο μεταφυσικῶς τε καὶ ἐσωτερικῶς ἀναγκαῖον. ( §. σα'. ) Τὸ δ' οὕτως ἀναγκαῖον, καὶ κατ' οὐσίαν ἐστὶν ἀναγκαῖον. ( §. σβ'. ) Ἄρα κτ.

## Θεώρημα Ϙ'.

§. σζ'. „ Τὸ φυσικῶς ἀναγκαῖον, καθ' ὕπαρξιν ἐνδεχόμενον ἐσί.

Τοῦ γὰρ φυσικῶς ἀναγκαίου τοὐναντίον φυσικῶς ἀδύνατον ἐσί. ( §. σα'. ) Τὸ δὲ οὕτως ἀδύνατον ὂν ἁπλῶς ἐσὶ δυνατὸν, ( §. ροθ'. ρπ'. ) τοῦ ἄρα φυσικῶς ἀναγκαίου, τοὐναντίον ἁπλῶς ἐσὶ δυνατόν. Ἀλλ' οὗ τοὐναντίον ἁπλῶς δυνατὸν, ἐνδεχόμενον τὸ τοιοῦτο. ( §. σγ'. ) Ἐνδεχόμενον δὲ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατ' ἐσίαν ἐκ ἂν εἴη. (§. σϛ΄.) Ἐνδεχόμενον ἄρα καθ' ὕπαρξιν.

## Θεώρημα ϟΑ΄.

§. σή. „ Τὸ ἠθικῶς ἀναγκαῖον ὡσαύτως.

Ἠθικῶς γὰρ ἀναγκαῖον, ἓ τἐναντίον ἠθικῶς ἀδύνατον. (§. σά.) Τὸ δὲ ἠθικῶς ἀδύνατον φύσει δυνατόν. (§. ρπά.) Ἄρα ἠθικῶς ἀναγκαῖον, ἓ τἐναντίον φύσει δυνατόν. Ταυτὸν δὲ εἰπεῖν ἐξωτερικῶς δυνατόν. (§. ρξϛ΄.) Ἀλλὰ γὰρ τὸ ἐξωτερικῶς δυνατὸν, τὸ ἐσωτερικῶς εἶναι τοιῦτο προϋποτίθησιν. (§. ροζ΄.) Τῦ ἄρα ἠθικῶς ἀναγκαίε τἐναντίον, ἐσωτερικῶς δυνατὸν, τ8τέςιν ἁπλῶς. Ἀλλ' ὅπερ αὖ τἐναντίον, ἁπλῶς ᾖ δυνατὸν, ἐνδεχόμενον τὸ τοιῦτο. (§. σγ΄.) Καὶ δὴ, ἥκιςα κατ' ἐσίαν. (§. σϛ΄.) Ἄρα καθ' ὕπαρξιν.

## Θεώρημα ϟΒ΄.

§. σθ΄. „ Οὐδὲν κωλύει τὸ αὐτὸ ἐνδεχόμενον μὲν εἶναι „ τὴν ὕπαρξιν, ἀναγκαῖον δὲ τὴν ἐσίαν.

Οὐδὲν γὰρ κωλύει δηλονότι ἐξωτερικῶς εἶναι δυνατὸν, καὶ ἐσωτερικῶς ἅμα τὸ αὐτὸ, εἴγε ἐκεῖνο, τῦτο προϋποτίθησιν. (§. ροζ΄.) Ἀλλ. τὸ ἐξωτερικῶς δυνατὸν, ἅτε δὴ ἐξωτερικῶς ἄλλε ἐξηρτημένον, ἐνδεχόμενον ἐςὶ καθ' ὕπαρξιν. (§. σγ΄.) Τὸ δὲ ἐσωτερικῶς, ὡς ἁπλῶς ὂν ἀναγκαῖον, (§. σά.) καὶ κατ' ἐσίαν ἀναγκαῖον. (§. σβ΄.) Οὐδὲν ἄρα κωλύει.

## Σχόλιον.

§. σί. Οὐδὲ παράδοξα τοίνυν οἱ φιλοσοφῦντες ἡμῖν δόξεσι λέγοντες, εἰ νῦν μὲν φθαρτὰ, καὶ ἀλλοιωτὰ, καὶ ἐν ῥοῇ διηνεκεῖ, καὶ ἀπορροῇ τὰ ὄντα διδάσκεσι, καὶ ἐδὲ ὄντα ἀξιεσιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στιν (§. ρνζ'.) ἀποκαλεῖν, νῦν δ' ὡσπερεὶ σκηνῆς τινὸς ἀμειβομένης, ἔμπεδά τε εἶναι φασὶ, καὶ ῥοπῆς ἐπέκεινα πάσης, τὰ αὐτά· καὶ ὅτε μὲν δοξαστὰ, ὡς ἐκείνως, ὅτε δὲ λόγῳ τῷ κατ' ἐπιστήμην ληπτὰ, ὡς οὕτως. Ἔχει γὰρ τῷόντι ταῦτα τούτων ἑκάτερον, καὶ κατ' οὐσίαν μὲν ἀναγκαῖα τυγχάνοντα, ἐνδεχομένης ἔλαχε τῆς ὑπάρξεως. Ἀλλὰ γὰρ δὴ τῷ Μεταφυσικῷ προσεκτέον, ἀφαιροῦντι πάντη πάντως ἀπὸ τοῦ ἐνεργείᾳ ὑφίστασθαι, τοῖς οὐσιώδεσι τῶν ὄντων λόγοις, τοῖς νοεραῖς ταῖς ἐμφάσεσιν εἰκονιζομένοις, τῶν εἴτε ἀεὶ δυνατῶς ἐχόντων, εἴτε καὶ ὑπόστασιν εἰληχότων, εἴτ' οὖν καὶ ἐσομένων ποτὲ, τὸ κατ' οὐσίαν ἀναγκαῖον περιάπτειν, ὡς ἄλλως ἔχειν μηδαμῶς ἐνδεχομένοις. Οὕτω γάρ τοι καὶ τὰς τῶν ὄντων οὐσίας κατ' ἀφαίρεσιν τὴν ἀπὸ τῆς ὑπάρξεως νοουμένας, ἀτρέπτους τε καὶ ἀεὶ ὡσαύτως ἐχούσας, οἱ φιλοσοφοῦντες κοινῇ πρεσβεύουσι, καὶ περὶ αὐτὰς ἐπιστήμην εἶναι λαβεῖν, ὡς ἥκιστα διαπιπτούσας, διδάσκουσι. Καὶ δὴ, καὶ αἰωνίους μετὰ τῶν Πλατωνικῶν, (εἰ μόνον μὴ ἐνυποστάτους πλάττωσι) τὰς ἰδέας γεραίρουσιν.

## Θεώρημα ϙΓ'.

§. σια'. „ Ἀδύνατον ἐστὶν ἅπαντα τὰ ὑφεστῶτα ἐνδεχόμενα εἶναι καθ' ὕπαρξιν.

Εἶεν γὰρ ἂν, εἴπερ, ἐξ ἄλλου τοῦ παρ' αὐτὰ αἰτίου ἐξηρτημένα. (§. σγ'.) Καὶ οὐδὲν ἂν ἦν μὴ ἐκ προτέρου. Ὥστε οὐδέ τι πρῶτον, παρὰ τὸ ἀκόλουθον, καὶ οὐδὲ δεύτερον ἄρα, οὐδὲ τρίτον, οὐδ' οὐδέν. Οὐκοῦν οὐδὲ ὑφεστῶτα ὅλως· ὅπερ ἀναιρεῖ τὴν ὑπόθεσιν. Ἀδύνατον ἄρα, (§. λ'.) κτ.

## Σχόλιον.

§. σιβ'. Ἐμφιλοσοφώτατα τοίνυν καὶ Ἀριστοτέλης, τὴν ἐπ' ἄπειρον πρόοδον, πολλαχοῦ τῶν βιβλίων αὐτοῦ ἀποπτύσας, ἐντεῦθεν ἐν τοῖς περὶ φυσικῆς Ἀκροάσεως (1) ἐπὶ τὸ πρῶ-

πρῶ-

(1) Βιβλ. η'.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρῶτον αἴτιον ἄνεισι, τὸ ἄζεπτον, καὶ αἰώνιον, ὃ παύτῃ πάντως ἀναγκαίαν τὴν ὕπαρξιν ἀποδείκνυσιν. Καὶ ἐξαῤῥύεται δὲ ἔτω ῥαδίως, ἡ κατὰ Δημόκριτον Εἱμαρμένη, ἥτις ἐδὲν ἄλλο ἐςὶν, ὅτι μὴ αἰωνιός τις εἱρμὸς, κατ᾽ ἐκεῖνον, αἰτίων τε καὶ αἰτιατῶν, τῶν ἐπὶ ταῖς αἰδίως διὰ τῦ κενῦ φερομέναις ἀτόμοις θεωρεμένων, καὶ θεσμοῖς τισὶν ἀμεταθέτοις, τόδε τὸ πᾶν συγκροτέντων. (1) Ἀλλὰ περὶ τέτων ἐν ἄλλοις.

## Πόρισμα Α΄.

§. σιγ΄. Ἐπεὶ δὲ, ὅτι δήποθ᾽ ὑφέςηκεν, ἢ ἐνδεχόμενον δέδεικται καθ᾽ ὕπαρξιν, ἢ ἀναγκαῖον. ( §. σέ. ) Ἀδύνατον δὲ πάντα τὰ ὑφεςῶτα, ἐνδεχόμενα εἶναι καθ᾽ ὕπαρξιν. ( §. σιά. ) Πᾶσα ἄρα ἀνάγκη, ( εἴπερ ὄντα τινὰ ὑφέςηκε ), εἶναι τι ἐν τοῖς ἔσιν ὑφεςὼς ὌΝ ἀναγκαίαν ἔχον τὴν ὕπαρξιν.

## Πόρισμα Β΄.

§. σιδ΄. Ἐπεὶ δὲ ἅπαν ὂν κατ᾽ ἐσίαν ἐςὶν ἀναγκαῖον ( §. σϛ΄. ) τὸ ὌΝ ἐκεῖνο τὸ ἀναγκαῖον καθ᾽ ὕπαρξιν ( §. σιγ΄. ) παύτῃ πάντως ἐςὶν ἀναγκαῖον. ( §. σβ΄. ) Τῶν λοιπῶν, οἷς ἐνδεχομένη μὲν ἡ ὕπαρξις, ἀναγκαία δὲ ἡ ἐσία ( §. σθ΄. σί. ) ἀναγκαίων ὄντων κατά τι. (§. σβ΄.)

## Θεώρημα ϛΔ΄.

§. σιέ. „ Τὸ παύτῃ πάντως ἀναγκαῖον, καὶ αἰώνιον.
Τοιῦτο γὰρ τὸ καὶ καθ᾽ ὕπαρξιν. ( §. σβ΄. ) Τοιύτῳ δὲ ὄν-

(1) Ὅρα Λαέρτ. βιβλ. θ΄. καὶ Στομβαῖ. Ἐκλογ. Φυσιολογ. Κεφ. ή.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὄντι, τἐναντίον, ἤτοι ἡ ἀνυπαρξία ἀδιώατος. (§. σά. σβ'.) ᾧ δ' ἀδιώατος ἡ ἀνυπαρξία, ἀεὶ ὑπάρχει. Τὸ δ' ἀεὶ ὑπάρχον αἰώνιον. (§. λ'.) Ἄρα κτ.

## Θεώρημα ϙΕ'.

§. σις'. „ Τὸ πάντη πάντως ἀναγκαῖον, ϗ ἁπλἓν.

Εἰ μὴ γὰρ, ἀλλὰ σιώθετον, εἴη ἂν τὰ ἐξ ὧν αὐτὸ σιωετέθη πρότερα. Τἓ δ' αἰωνίε πρότερον ἓδέν. (§. λ'.) Ἄρα κτ.

## Θεώρημα ϙϛ'.

§. σιζ'. „ Τὸ πάντη πάντως ἀναγκαῖον, καὶ ἄτρεπτον ἐςίν.

Ἤτοι γὰρ κατά τι μὲν ἂν ἑαυτἓ τραπείη, κατά τι δ' ἐχὶ, καὶ ἐδ' ἁπλἓν ἂν εἴη, εἰ τὸ μὲν τρεπτὸν, τὸ δ' ἄτρεπτον. Ἀλλ' ἔςιν ἁπλἓν. (§. σις'.) Ἢ γἓν ἁπλῶς, ϗ ἀνυπαρκτήσειεν. Ὅπερ ἀδιώατον. (§. σιέ.) Ἄρα κτ.

## Θεώρημα ϙΖ'.

§. σιή. „ Τὸ πάντη πάντως ἀναγκαῖον, ϗ τελειότητος „ ἀνεπίδεκτον.

Εἰ γὰρ δεκτικὸν, ϗ τροπῇ ταύτη γε ὑποκείσεται. (ἐξ ὑποθ.) ἄτρεπτον δέ. (§. σιζ'.) Ἄρα κτ.

## Σχόλιον.

§. σιθ'. Χρῶαι δὲ δὴ τὸ μάλιςα ἀναγκαῖον (§. σιδ'.) αἰώνιόν τε ὑμνεῖν (§. σιέ.) ϗ ἁπλἓν (§. σις'.) καὶ τροπῆς οἱασἓν ἐπέκεινα. (§. σιζ'.) Καὶ Ἀριςοτέλης αὐ-

τὸς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸς ἐδίδαξε (1) „ τὸ πρῶτον, φάσκων, καὶ κυρίως ἀναγ-
„ καῖον, ἁπλῦν ἐςί. Τῦτο γὰρ ὐκ ἐνδέχεται πλεοναχῶς
„ ἔχειν, ὥςε ὐδ' ἄλλως κὴ ἄλλως· ἤδη γὰρ πλεοναχῶς ἂν
„ ἔχοι. Εἰ ἄρα ἐςίν ἄττα ἀΐδια, κὴ ἀκίνητα, ὐδὲν ἐκεί-
„ νοις ἐςὶ βίαιον, ὐδὲ παρὰ φύσιν. Διὸ δὴ καὶ οἱ περὶ
Δημόκριτον καὶ Ἐπίκυρον, τὰς ἀτόμυς ὕτως ὑπετίθεντο,
ἀϊδίυς δηλονότι, κὴ ἀπλυςάτας, καὶ ἀναλλοιώτυς, ὡς ἀδύ-
νατον ὂν τύτων θάτερον εὑρεῖν παρὰ θάτερον. Καὶ εἰκότως
ἄρα ἡμῖν ὕμνηται τὸ παντῆ πάντως ἀναγκαῖον ῎ΟΝ, αἰώ-
νιον, μήτε ἀρξάμενον, μήτε παυσόμενον, ὐθ' ἁπλῶς, ὔτε
πῆ, ἀλλ' ἀεὶ ὄν, κὴ ἀεὶ τοιῦτο.

## Θεώρημα ϟΗ'.

§. σκ'. „ Τὸ καθ' ὕπαρξιν ἐνδεχόμενον, αἰώνιον εἶναι
„ ἀδύνατον.

Τῦ καθ' ὕπαρξιν ἐνδεχομένυ δυνατὸν τὐναντίον, ἤτοι ἡ ἀνυπαρξία. ( §. σγ'. ) Τῦ δ' αἰωνίυ ἀδύνατον· ἀδύνατον γὰρ τὸ ἀεὶ ὄν, ποτὲ μὴ εἶναι. ( §. λ'. ) ῎Αρα κτ.

## Θεώρημα ϟΘ'.

§. σκα'. „ Τὸ καθ' ὕπαρξιν ἐνδεχόμενον, κὴ ξεπτὸν, κὴ
„ ἀνάπαλιν.

Δύναται γὰρ ξαπῆναι, ἀπὸ τῦ εἶναι ἐπὶ τὸ μή. (§.σγ'.) ῎Αρα τὸ Α'.

Ἀλλ' εἰμὴ τὸ ξεπτὸν, τὴν ὕπαρξιν ἐνδεχόμενον, ἔςω ἀναγκαῖον. Ἀλλ' ἔςι κὴ τὴν ὐσίαν τοιῦτο. ( §. σς'. ) ῎Αρα παντῆ πάντως ἀναγκαῖον. ( §. σβ'. σιδ'. ) Τοιγαρῦν κὴ ἄξεπτον. ( §. σιζ'. ) Καὶ δὴ κὴ ξεπτόν. ( ἐξ ὑποθ. ) ὅπερ ( §. λ'. ) ἀδύνατον. ῎Αρα κτ. τὸ Β'.

Θεώ-

(1) Μεταφ. Δ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα Ρ΄.

§. σκβ΄. „ Τὸ καθ᾽ ὕπαρξιν ἐνδεχόμενον ἐδ᾽ ἁπλεν πάν-
„ τη, ἐδ᾽ ἀπειροτέλειον.

Τέτῳ γὰρ ἄλλε ἐξηρτημένῳ (§. σγ΄.) ἐπείσακτος ἡ ὕπαρξις, καὶ ἐχ ὥσπερ τῷ ἀναγκαίῳ (§. σβ΄.) πρὸς ἐσίαν ἀναγκαία. Ταυτὸν δὲ εἰπεῖν ἥκιστα ἐσιώδης, ἀλλ᾽ ἕτερόν τι τῆς ἐσίας, καὶ ἐπὶ τῇ ἐσίᾳ· ὥστε ἐξ ἐσίας τε καὶ ὑπάρξεως τὸ τοιῦτον, ὡς ἐξ ἄλλε καὶ ἄλλε. Καὶ ἐδὲ ἁπλεν ἄρα. Ο΄, τὸ Α΄.

Τρεπτὸν δὲ ὂν (σκά.) καὶ τελειότητος ἤτοι θετικὸν, ἢ ἀποθετικὸν, καθ᾽ ἣν ἂν καὶ τραπείη. Τὸ δὲ τοιῦτον ἐκ ἔστιν ἀπειροτέλειον. Ο΄, τὸ Β΄.

## Σχόλιον.

§. σκγ΄. Ρᾶστα δ᾽ ἄντις συνίδοι, ὡς τ᾽ ἀναντία τῷ καθ᾽ ὕπαρξιν ἐνδεχομένῳ προσήκει, ὧν τὸ ἀναγκαῖον ἀμοιρεῖν ἀποδέδεικται. Ἐπειδὴ γὰρ ἐκ τῦ ἐπενεργῦντος ἐκείνῳ ἐξῆπται τὸ εἶναι, ἔξωθέν τε ἐπιχορηγεμένην ἔχει τὴν ὑπόστασιν, ἐδ᾽ ἀφ᾽ ἑαυτῦ ἐστὶ, πῶς ἂν διαιωνίσειε τὸ τοιῦτο, πρότερον ἔχον τὸ τῆς ὑποστάσεως χορηγὸν, καὶ ὑπ᾽ αὐτῦ τέτε εἰς τὸ μηδὲν ῥᾷστα, ὥσπερ καὶ ἐκ τῦ μηδενὸς παρήχθη, τραπῆναι δυνάμενον; πῶς δ᾽ ἂν ἄτρεπτον εἴη τὴν κατὰ τὸ εἶναι καὶ μὴ, τροπὴν μεγίστην, φύσει ἐπιδεχόμενον; πῶς δ᾽ ἂν ἁπλεν εἴη, συμβεβηκὸς, εἰ μηδὲν ἄλλο, αὐτῷ τὸ ὑφίστασθαι, μὴ ἐσίᾳ, ἐδ᾽ ἐξ ἀνάγκης ἐποφειλόμενον· πῶς δὲ καὶ ἀπειροτέλειον, ὑπὸ τῦ παράγοντος, αἷς εἴληφος ἔχει δυνάμεσι, πλετιζόμενον;

## Θεώρημα ΡΑ΄.

§. σκδ΄. „ Υφέστηκεν ὄντα καθ᾽ ὕπαρξιν ἐνδεχόμενα.

Ὑφέστηκε γὰρ τὰ τρεπτὰ, καὶ μεταβλητὰ, καὶ τὰ τῷ χρόνῳ

συν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συνδιολισθαίνοντα, καὶ συναπορρέοντα, καὶ τινῶν μὲν πλειστίπων πάνυ δυσαριθμων δυμοιρῦντα, πολλῶν δὲ, καὶ ὐκ ἔςιν εἰπεῖν ὅσων, ἀποςερέμενα. Τοιαῦτα δὲ ἐςὶν τὰ ἐνδεχόμενα καθ᾽ ὕπαρξιν. ( §. σκ᾽. σκά. κξ᾽. ) Ἄρα κτ. (1)

## Θεώρημα ΡΒ᾽.

§. σκέ. „ Υφέςηκε τὸ ὂν καθ᾽ ὕπαρξιν ἀναγκαῖον.

Εἰ γὰρ ὑφέςηκε τὰ καθ᾽ ὕπαρξιν ἐνδεχόμενα· ( §. σκδ᾽. ) ἀδύνατον δὲ πάντα εἶναι τοιαῦτα ( §. σιά. σιβ᾽. ) ἀνάγκη δέ τι εἶναι καὶ ὑφεςὼς ὂν καθ᾽ ὕπαρξιν ἀναγκαῖον. ( §. σιγ᾽. ) ὑφέςηκεν ἄρα κτ.

## Πόρισμα.

§. σκς᾽. Υφέςηκεν ἡμῖν ἄρα τὸ ΟΝ τὸ πάντῃ πάντως ἀναγκαῖον, ( §. σιδ᾽. ) τὸ αἰώνιον, ( §. σιέ. ) τὸ ἁπλῦν, ( §. σις᾽. ) τὸ ἄτρεπτον, ( §. σιζ᾽. ) τὸ παντέλειον. ( §. σιή. σιθ᾽. )

# ΚΕΦΑΛΑΙΟΝ Ε᾽.

## Περὶ ὐσίας, ἰδίυ, καὶ συμβεβηκότος, δυνάμεώς τε, καὶ ἐνεργείας, καὶ περὶ φύσεως.

§. σκζ᾽. Τεξαχῶς τῆς ὐσίας λεγομένης, ά. τῆς πρώτης καὶ ἀτόμυ, οἷον Σωκράτης. β᾽. τῦ ἐνυπάρχοντος καὶ εἰδοποιῦντος,

(1) Περὶ τύτων καὶ Ἀριςοτέλης φθάσας ἀπεφήνατο, ὅτι τὸ εἶναι, „ ὐκ ὐσία ὐδενὶ, ὡς κατὰ συμβεβηκὸς δηλονότι τὸ εἶναι ἐχόντων, καὶ ἐνδεχομένως, ἀλλ᾽ ὐκ ἀναγκαίως. Ἀρις. ὑςερ. Ἀναλ. Β᾽. Κεφ. ζ᾽.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τος, οἷον ἡ ἐν τῷ ζώῳ ψυχή. γ'. τοῦ ὁρίζοντος, καὶ περατοῦντος, οἷον, καθάτισι δοκεῖ, τὸ ἐπίπεδον τοῦ σώματος, καὶ τοῦ ἐπιπέδου ἡ γραμμή. Καὶ δ'. τοῦ τί ἦν εἶναι, οὗ λόγος ὁ ὁρισμός, συμβαίνει δὴ κατὰ δύω τρόπους, Ἀριστοτέλης φησὶ „ (1) τὴν οὐσίαν λέγεσθαι, τό θ' ὑποκείμενον ἔσχατον, ὃ μη„ κέτι κατ' ἄλλου λέγεται, καὶ ὃ ἂν τοδέτι ὄν, καὶ χωριςὸν „ ᾖ, ( δι' ὅλου δηλονότι διωρισμένον, καὶ παντὶ ἄλλῳ πα„ ρ' αὐτὸ ἀκοινώνητον. ) τοιοῦτον δὲ ἡ ἑκάςου μορφή. ( ἡ „ χαρακτηρίζουσα τῶν ἀτόμων ἕκαςον ) Καὶ τὸ εἶδος. Καὶ ἔςιν ἄρα ἐκείνως μὲν ἡ οὐσία ληφθεῖσα, αὐτὴ σαφῶς ἡ ὑπόςασις· ( §. ρπέ. ) ἔςι δὲ οὕτως, ἡ τῶν οὐσιωδῶν τοῦ ὄντος διαγνωρισμάτων ( §. σβ'. ) τῶν πρὸς οὐσίαν ὄντων ἀναγκαίων, εἰς ταὐτὸ ( §. ρλγ'. ) ἕνωσις. Οἷς δὴ σύμφωνα, καὶ τὰ παρὰ τῷ θεσπεσίῳ Δαμασκηνῷ (2), παρ' ᾧ τὸ „ ειδικώτατον εἶδος οὐσία, καὶ φύσις, καὶ μορφὴ ἤκουσε... Τὸ „ δὲ μερικὸν ἄτομον, καὶ πρόσωπον, καὶ ὑπόςασις.

§. σκή. Τὴν δὲ δὴ διχῶς οὕτω νοουμένην οὐσίαν, καὶ οἱ Νεώτεροι προβαλλόμενοι, ἐν δυσὶ φωναῖς διαςέλλουσι· καὶ substantiam ἀποκαλοῦντες, τὸ καθ' ἡμᾶς ἔσχατον ὑποκείμενον, ἤτοι τὴν ὑπόςασιν, essentiam τὴν οὐσίαν κατονομάζουσι τὴν κατ' εἶδος, ἣν καὶ ὁριζόμενοι, ἐκεῖνο μάλιςα φασὶν εἶναι, δι' οὗ ἐπ' ἀκριβὲς τοδὶ, ὅπερ ἐςὶ, τὸ πρᾶγμα νοεῖται τυγχάνειν, καὶ οὐκ ἄλλο, καθ' ὅ,τε τῶν λοιπῶν ἁπάντων διακρίνεται, αὐτὸ τὸ τοῦ Σταγειρίτου, τί ἦν εἶναι σαφῶς ἡμῖν παραφράζοντες. Οὐ φαύλως δὲ τὸν ὁρισμὸν τῆς οὐσίας ἀπέδωκεν, ὁ εἰπὼν (3) „ Τὸ πρῶτον αὐτὴν εἶναι „ ἐπὶ τοῦ ὄντος νοητὸν, καὶ ᾧπερ ὁ ἀποχρῶν ἐμπεριέχεται „ λόγος, τοῦ τὰ λοιπὰ ἐνεργείᾳ, ἢ δυνάμει ἐνυπάρχειν „ τῷ πράγματι. Ἔχοις δ' αὖ καὶ παρ' ἡμῶν ὑπογραφὴν, ( ἧς νύξιν ἀνωτέρω ( §. σκζ'. ) παρέσχομεν ) τῆς οὐσίας σαφεςάτην, εἰπὼν οὐσίαν τὴν ἀδιαίρετον εἰς ταὐτὸ ἕνωσιν τῶν ἐπὶ ἑκάςου γνωρισμάτων, τῶν πρὸς τὸ εἶναι τοδὶ τῷ πράγ-

(1) Μεταφ. Δ.    (2) Κεφ. λ'.
(3) Οὐόλφιος Ὀντολογ. §. 168.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πράγματι ἀναγκαίων ὄντων, ὧν τε ἄνευ αὐτὸ, οὔτ' εἶναι ὅλως δυνατὸν, οὔτε νοηθῆναι, οἷον ἡ τριὰς τῶν πλευρῶν, καὶ τῶν γωνιῶν ἐπὶ τοῦ τριγώνου.

§. σκθ'. Καλεῖν δὲ δίκαιον τὰ οὕτως ἔχοντα γνωρίσματα ( ὡς ἀναγκαῖα ὄντα πρὸς οὐσίαν ( §. σβ'. §. σκή. ) καὶ οὐσιώδη. Ὡς εἴ γε τι ἐνῇ τῷ πράγματι γνώρισμα, τῶν μὲν οὐσιωδῶν τουτωνὶ κατ' οὐσίαν ἐξηρτημένον, καὶ τούτων ἐκπηγάζον ἀναγκαίως, τοιοῦτο δὲ, ὡς τούτου ἄνευ εἶναι μὲν οὐδαμῶς, νοηθῆναι δὲ δύνασθαι καὶ μάλα τὸ οὐσιωθὲν, οἷον ἐν τῷ τριγώνῳ αἱ δύω ὀρθαὶ, ἴδιον ἀκούει τὸ τοιόνδε καὶ πάθος παρὰ τῷ Ἀριστοτέλει (1). Παρὰ δὲ τοῖς Νεωτέροις προσὸν, καὶ ἀποδιδόμενον· οἷς ἔδοξε (2) καὶ εἰς θετικὰ διαιρεῖν αὐτὰ, δι' ὧν δηλοῦται τί ἐστὶν ( ἀλλ' ὁποῖον φαῖεν ἂν ἴσως ἄμεινον ) ἀναγκαίως ᾧ πρόσεστι, καὶ ἀποφατικὰ, δι' ὧν ὁποῖον οὐκ ἔστι.

§. σλ'. Τὸ δ' ἐνυπάρχον μὲν τῇ οὐσίᾳ, ἐξ αὐτῆς δὲ κατ' ἀνάγκην μὲν ἠρτημένον, μὴ ἀναγκαίως δὲ ἐκπηγάζον, ἐνδεχομένως δὲ, καὶ περὶ αὐτὴν γινόμενον, ὡς τούτου ἄνευ οὐχ ὅπως νοηθῆναι, ἀλλὰ καὶ εἶναι δυναμένην, συμβεβηκὸς, οἷον ἀνθρώπῳ τὸ βασκαίνειν, κτ. Ἐπεὶ δὲ τῷ τῆς οὐσίας ὀνόματι καὶ ἐπὶ τῶν αὐθυπάρκτων οὐσιῶν χρώμεθα, καὶ οὐδὲν ἧττον καὶ ἐπὶ τῶν ἑτερουπάρκτων συμβεβηκότων, οἷα δὴ καὶ τούτων εἶναι τινὰ λέγοντες οὐσίαν, καὶ φύσιν, πάρεργον ἂν ἐν τούτοις γενέσθαι ἡγούμεθα, εἰ σημειωσαίμεθα, ὡς τὰ πρὸς τὸ συνιστάμενον συμβεβηκὸς οὐσιώδη ὄντα, πρός γε τὴν οὐσίαν συμβέβηκε· καὶ τῇ μὲν οὐσίᾳ τὸ συμβεβηκὸς, τῷ δὲ συμβεβηκότι τὴν οὐσίαν παρέχεται· οἷον τὸ λυπεῖσθαι ἐπ' ἀλλοτρίοις ἀγαθοῖς συμβέβηκε μὲν τῷ ἀνθρώπῳ, οὐσιοποιεῖ δὲ τὸν φθόνον. Καλοῦσι δὲ οἱ Νεώτεροι τὰ συμβεβηκότα τρόπους, καὶ διαθέσεις.

§. σλά. Ἦν μὲν οὖν τὰ οὐσιώδη κατὰ νοῦν παριστάμενα, καὶ φωναῖς ἐκφερόμενα, τοιαῦτα τε ᾖ, καὶ τοσαῦτα, ὅσα δήποτε, καὶ

(1) Πολλαχοῦ.
(2) Γενικῶσ. Μεταφ. μέρ. ά. Κεφ. β'. Ὁρισμ. λέ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ οἷα ἡ φύσις ἢ τοῦ νοητοῦ ἀπαιτεῖ, ἥτε ἔννοια, καὶ ὁ λόγος τοῦ τί ἦν εἶναι, ὀρθῶς εἰώθεν ὀνομάζεσθαι πραγματιώδη ἑκάτερα. Εἰδ᾽ οὖν, ἀλλ᾽ ἢ μὴ τοιαῦτα, ἢ καὶ πολλῶν ἐλλειπόντων, καὶ διαφθειρόντων τὴν γνῶσιν, ὀνοματώδη ἄμφω, τό, τε τί ἦν εἶναι, καὶ τὸν λόγον τὸν αὐτοῦ καλεῖν ἐδικαίωσαν, (1) ἢ νοηματώδη. Ἔνθεν τοι καὶ ἡ κατὰ ταῦτα τῶν οὐσιῶν διαίρεσις, εἰς τὰς ὀνοματώδεις, ἢ νοηματώδεις, καὶ τὰς πραγματιώδεις. Τούτων αἱ ὀνοματώδεις τὰς νοηματώδεις σημαίνουσιν, αἱ δὲ τὰς πραγματιώδεις ἀναπλάττουσιν. Ἐπεὶ δὲ ῥᾴδιον τὸν προφορικὸν λόγον τῷ νοήματι συμφωνῆσαι, ἢ τόδε τῷ πράγματι, οἱ ὁριστικοὶ λόγοι (ἢν μή τις ἐθελοψευδοίη ἐπίτηδες σοφιζόμενος) τῶν, ἃς μὲν ἔχομεν περὶ τῶν ὄντων, μάρτυρες πιστοὶ καθεστήκασιν ὑπολήψεων, τῶν δὲ ὄντων αὐτῶν τὰ πολλὰ σφαλεροί. Καὶ τοῦτο ἐστὶν ὅ φασι, περὶ τῶν πραγματιωδεστέρων ὁρισμῶν κινεῖσθαι τὰ ζητήματα, περὶ δὲ τῶν ὀνοματωδῶν οὐδαμῶς. Καίτοι καὶ περὶ τούτων τὰ πολλὰ διαφερόμενοι ὤφθησαν, μηδὲ συνᾴδοντες· ὡς θᾶττον αὖτις, ἢ τὰς φωνάς, δυσὶν ἐντύχοι ἐπ᾽ ἀκριβὲς προσεοικόσι τὰ πρόσωπα. Τί δαί; ἐρεῖς, οὐδένα ἄρα λόγον, οὐδενὸς οὐσιώδη τῶν ἐν τῇ φύσει, τῷ πραγματιώδει δι᾽ ὅλου ἐστὶ λαβεῖν σύμφωνον; οὔπως, εἰμή τινος ἁπλουστάτου ἐν τοῖς νοητοῖς, οἷον τριάδος, εὐθείας, καὶ τῶν τοιούτων, οἶμαι ὅτι τῶν συνθέτων ἔχειν παγχάλεπον.

§. σλβ΄. Διαιρετέον δὲ τῶν οὐσιῶν τὰς πραγματιώδεις, εἰς τὰς ἐν ὑπάρξει θεωρουμένας καθ᾽ ἑαυτάς, καὶ τὰς ἐν τῷ Νῷ τοῦ Δημιουργοῦ, ἃς οὐσίας ἂν εἴποις νοεράς τε, καὶ κατ᾽ ἰδέαν. Διὸ καὶ οἱ περὶ Πλάτωνα καλῶς ἐδόκουν διαιρεῖν τὰς οὐσίας, εἰς τὰς νοεράς, καὶ λογικάς, καὶ φυσικάς. Καὶ νοεραὶ μέν, αἱ τοῦ Δημιουργοῦ ἰδέαι· (ἃς δεῖ δὲ μὴ αὐθυποστάτους πλάττειν αὐτὰς ὀρθῶς ἑλομένους φιλοσοφεῖν) λογικαὶ δὲ αἱ ὀνοματώδεις ἢ νοηματώδεις, ὡς εἴρηται· (§. σλα΄.) φυσικαὶ δὲ αἱ ὑφεστῶσαι. Τούτων αἱ πρῶται, ἀεὶ ταῖς τρίταις σύμφωνα βαίνουσι, διὸ καὶ πραγματιώδεις ἄμφω προσείρηνται.

Αἱ

(1) Λώκιος Βιβλ. γ΄. Κεφ. γ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αἱ δὲ δεύτεραι οὐκ ἀεὶ, σπανιάκις δὲ, καὶ ἐπὶ πάνυ ὀλιγίστων, ἐφ᾽ ὧν δὲ, καὶ ταῖς πρώταις, ( §. αὐτ. ) οὗ χάριν καὶ τῶν πραγματιωδῶν ἀντιδιαστέλλονται. Ἐφ᾽ οἷς σημειωτέον καὶ τοῦτο, ὡς καθ᾽ ἣν αἱ λογικαὶ, καὶ φυσικαὶ πρὸς τὰς νοερὰς ἀναφορὰν ἔχουσι, τὸ ἀναγκαῖον ἔλαχον, καὶ αἰώνιον, ὡς ἐκείναις δηλονότι συνάδουσαι, ἃς ἄλλως ἔχειν ἀδύνατον.

## Θεώρημα ΡΓ΄.

§. σλγ΄. „ Πᾶσα οὐσία τῶν ἐν αὐτῇ οὐσιωδῶν γνωρισμάτων, ἐσωτερικῶς ἐξήρτηται.

Ταῦτα γὰρ οὕτως ἀπάσῃ ἐστὶν ἀναγκαῖα, ὡς τούτων ἄνευ, εἶναί τε ὅλως, καὶ νοηθῆναι αὐτὴν ἀδύνατον. (§. σκή.) Τῶν δὲ τοιούτων ἕκαστον ἐσωτερικῶς ἐξηρτῆσθαι διώρισται. ( §. σβ΄. ) Πᾶσα ἄρα οὐσία κτ.

## Θεώρημα ΡΔ΄.

§. σλδ΄. „ Τῶν δὲ ἐξ αὐτῆς ἰδίων, καὶ τῶν ἐν αὐτῇ „ συμβεβηκότων, οὐδαμῶς.

Τῶν μὲν γὰρ, καὶ χωρὶς ἂν ἔχοι νοηθῆναι, ( §. σκθ΄. ) τῶν δὲ καὶ εἶναι. ( §. σλ΄. ) Ἄρα ( σβ΄. ) κτ.

## Θεώρημα ΡΕ΄.

§. σλέ. „ Τὰ ἴδια καὶ τὰ συμβεβηκότα ἐσωτερικῶς τῆς „ οὐσίας ἐξήρτηται.

Ὡς οὐδὲ εἶναι ἐκείνης ἄνευ, οὐδὲ νοηθῆναι δυνάμενα. ( §. σκθ΄. σλ΄. ) Ἄρα ( §. σβ΄. ) κτ.

## Θεώρημα Ρϛ΄.

§. σλϛ΄. „ Ἡ δὲ οὐσία ἄλλου του παρ᾽ αὐτὴν ἐσωτερικῶς „ οὐκ ἐξήρτηται.

Ἤρ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἤρτηται γὰρ ἀπὸ τῶν ἐν αὐτῇ οὐσιωδῶν ἑκάστη. (§. σλγ΄.) Ταῦτα δὲ, οὐδὲν εἰσὶ παρ' αὐτήν, ἣ δὲ εἰς ταὐτὸ συνοῦσιν, αὐτή ἐστιν ἡ οὐσία. (§. σκή.) Ἄρα κτ.

## Σχόλιον Α΄.

§. σλζ΄. Καλῶς οὖν ἔφασαν οἱ εἰπόντες τὴν οὐσίαν τὸ πρώτως εἶναι νοητὸν ἐν τῷ πράγματι· μὴ ἠρτημένην γὰρ ἀπὸ ἄλλου, οὐδὲ πρότερον ἔχειν ἐπάναγκες. Σαφὲς δὲ τοῦτο, καὶ κρεῖττον ἢ ὥστε χρήζειν ἐκθέσεως, τοῖς οὐσίαν τινὰ κατὰ νοῦν ἀνελίττουσιν. Αὐτίκα γὰρ δίνην ἀκτίνων, εἰς ἕν τι κέντρον συννευσῶν, τὰ γνωρίσματα τῆς οὐσίας, κατὰ τὸ αὐτὸ συμπαρίσταται· οἷον τὸ σχῆμα, τὸ ἐπίπεδον, τὸ περιφερὲς ἅμα τοῖς νοοῦσι τὸν κύκλον. Ἀλλ' ἐρεῖς ὅτι τὰ ἁπλούστερα καὶ προγινώσκεται· (§. ιζ΄.) ὀρθῶς. Πλὴν ἀλλὰ κατ' ἀφαίρεσιν, ἢ τῶν ἐχόντων χωρὶς, τὰ πολλὰ τὸν νοῦν ὑποτρέχει. Τῷ γεμὴν τὰ ὄντα, ὡς ἔχει κατ' οὐσίαν, νοεῖν σπουδάζοντι, σχολῇ γ' ἄν τι τῆς οὐσίας ἀπολειφθείη, κατὰ τὴν πρώτην τῆς οὐσίας περιδράξειν (τοὐλάχιστον τῆς νοηματικῆς (§. σλά.) καὶ ἣν δυνατὸν γνωρίσαι.) Κύκλον δὲ νοοῦντι, παρ' αὐτὸ καὶ σχῆμα, καὶ ἐπίπεδον, καὶ περιφερές τι συναντιληφθήσεται. Τὸ γὰρ σύστημα τὸ τούτων κατὰ τὸ αὐτὸ ἡ τοῦ κύκλου οὐσία ἀσπάζεται, ὧν ἑνὸς τοῦ τυχόντος καθυστερήσαντος, πᾶν ὁτιοῦν πρότερον, ἢ κύκλος εἴη τὸ νοηθέν.

## Σχόλιον Β΄.

§. σλή. Διακριτέον δὲ τοῦ ργ΄. τὸ ἐν χερσὶ ρς΄. Θεώρημα. Εἰ γὰρ καὶ ἡ οὐσία τῶν οὐσιωδῶν ἀπηρτημένη ὡμολόγηται, ὡς ἐν ἐκείνῳ, οὐμὴν ἀλλ' οὐκ ἀφ' ἑτέρου του παρ' αὐτήν, ἐξῆπται, ὡς ἐν τούτῳ δέδεικται. Ἐν ᾧ καὶ τῶν συμβεβηκότων, καὶ ἰδίων, τῶν ἐκ τῆς οὐσίας, καὶ ἐν τῇ οὐσίᾳ ἐχόντων τὸ εἶναι, ἡ διαφορὰ σαφῶς ἀναφαίνεται. Διαπιστοῦται δὲ τὸ λεγόμενον καὶ ἐκ τοῦ ὁρισμοῦ, ᾧπερ οὐσίαν ὑπογράφουσι τὸ „ μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν. Τὰ γὰρ ἐξ αὐτῆς, καὶ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ ἐν αὐτῇ, αὐτῆς εἰσὶ καὶ χρήζοντα ἐξ ἀνάγκης, ὥστε συστῆναι, ἡ δὲ, οἰκοθενὶ τε, καὶ παρ' ἑαυτῆς ἔχει τὰ τῆς συστάσεως. Οὐδὲν γὰρ ἄλλο, ἦ μοι δοκεῖ, τὸ ἐσωτερικῶς μὴ ἐξηρτῆσθαι ἑτέρου, τοῖς Νεωτέροις σημαίνειν βούλεται ( ἵν' καλῶς ἐπιβάλλω ), ἢ ὃ παρὰ τοῖς ἀρχαίοις λεγόμενον φέρεται, τὸ τὴν οὐσίαν μηδενὸς δεῖσθαι ἑτέρου πρὸς σύστασιν.

## Θεώρημα ΡΖ΄.

§. σλθ΄. „ Οὐδὲν εἰς λόγον οὐσίας διαφέρει, τὸ εἶναι „ μέν τινας οὐσίας ἀρχοειδεστέρας τε καὶ ἁπλουστέρας, εἶναι δὲ „ καί τινας ἐκ τῶν ἀρχοειδῶν συγκεκροτημένας, καὶ κατὰ τὸ „ μᾶλλον ἢ ἧττον συνθέτους.

Οὐδὲν γὰρ διαφέρει εἰς λόγον συνδυασμοῦ καὶ ἑνώσεως ἀδιαιρέτου, κἄν τε βραχέα ἢ τὰ συνιόντα εἰς ἓν, κἄν τε πλείω, εἰ τοῦτο μόνον μὴ τῶν ἄλληλα ἀναιρούντων, ἀλλὰ τῶν πεφυκότων εἰς ἓν συνδραμεῖν, ἢ τὰ ἑνούμενα. Ἀλλ. τοῦτο ἡ οὐσία ὡμολόγηται εἶναι, ἡ πλειόνων ἐφ' ἓν ἀδιαίρετος ἕνωσις. ( §. σκη΄. ) Οὐδὲν ἄρα διαφέρει εἰς λόγον οὐσίας, εἴπερ ἐλασσόνων μὲν συνδραμόντων, ἀρχοειδεστέρα τις, καὶ ἁπλουστέρα οὐσία συσταθῇ, ἢ γοῦν πλειόνων, μᾶλλον συγκεκροτημένη, καὶ σύνθετος.

## Σχόλιον.

§. σμ΄. Ἀμέλει τοι καθάπερ ἐπὶ τῶν ἁρμονικῶν, ἡ μὲν διὰ τεσσάρων, ἡ δὲ διὰ πέντε, ἡ δὲ διὰ πασῶν, ἡ δὲ καὶ δὶς διὰ πασῶν, συμφωνίαι τινὲς οὐσία ( ὅτι καὶ λόγῳ ) διαφέρουσαι ἀλλήλων συνίστανται. Καὶ ἐπὶ τῶν Ἀριθμητικῶν, ἡ μὲν τριὰς, ἡ δὲ ἑξὰς, ἡ δὲ ἐννὰς, κτ., εἴδη μυρία, διαπεπερασμένα ἀλλήλων πληθύνεται. Διαφέρει δ' οὐδὲν πρὸς τὴν τῶν τοιούτων ἅμα τε καὶ ἐφ' ἓν σύστασιν, κἂν πλείους οἱ φθόγγοι, ἢ αἱ μονάδες ὦσι, κἄν τε ἐλάσσονες. Τὸν αὐτὸν δὴ τρόπον πρὸς λόγον οὐσίας οὐδὲν διοίσει, ἡ τῶν πλειόνων, ἢ ἐλασσόνων προσάθροισις στοιχεισμάτων, ἐθ' ἂν μὴ

οὕτως

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅπως ἔχῃ τάγε συνυφαινόμενα, ὡς θᾶττον διαρρηγνύειν ἀντιβαίνοντα, ἢ τελεσιουργεῖν τὸν τῆς οὐσίας ἰσὸν, ἀλλήλοις προσοικειούμενα. Ἔνθεντοι καὶ οὐδὲν τὸ κωλῦον οὐσίας ὑφεστάναι, τὰς μὲν ἀρχοειδεστέρας, καὶ ἁπλουστέρας, οἷον γῆν, ὕδωρ, ἀέρα, μέταλλα, καὶ εἴ τινα ἐν τοῖς οὖσι τούτων ἁπλούστερα. Τὰς δὲ ἐξ ἐκείνων, οἷον φυτὰ, ζῶα, καὶ τὰ παραπλήσια· ὅτι μὲν γὰρ τὸ τί ἦν εἶναι, ταῖς ὑπὸ πλειόνων φθόγγων συνηχουμέναις ἁρμονίαις ὁ Ἀριστοτέλης, καὶ τοῖς τῶν ἀριθμῶν εἴδεσιν ὁ Πυθαγόρας ἀφομοιοῦν ἔχαιρον, παρὰ πᾶσιν ἤδη τεθρύλληται.

## Θεώρημα ΡΗ'.

§. σμά. „ Ἡ ἑκάστου οὐσία μία ἐστίν.

Ἡ γὰρ οὐσία, ἡ ἀδιαίρετος ἐστὶν εἰς ταὐτὸ ἕνωσις τῶν ἐπὶ ἑκάστου οὐσιωδῶν γνωρισμάτων. (§. σκή.) Ἡ δὲ ἕνωσις μία εἶναι ἐθέλει. Ἄρα κτ.

## Πόρισμα.

§. σμβ'. Τὸ ἄρα Ὄν, ἐστὶν Ἕν. (§. ρνς'.)

## Σχόλιον.

§. σμγ'. Αὕτη τοίνυν ἡ μεταφυσικὴ θρυλλουμένη ἑνότης, καθ' ἣν ἅπαντα ὅσα ἐστὶ, τὸ ἑνιαῖον πλουτεῖ. Ἔστω γὰρ, ὅσῳ βούλει, σύνθετα, ἔστω πολυμερῆ, πολλῶν τε καὶ ποικίλων συμμοιρείτω δυνάμεων, ἐνεργειῶν, γνωρισμάτων· ἐπεὶ τούτων ἡ σύμπτωσις τοδὶ, ἢ τοδὶ εἶναι, τὸ ἔχον συνίστησιν, αὐτό τε τὴν οὐσίαν γνωρίζει· ἡ δὲ σύμπτωσις ἐφ' ἕν, πᾶσα ἀνάγκη καὶ ἓν καθ' αὑτὸ τυγχάνειν τὸ γνωριζόμενον. Καὶ προσφυῶς τοίνυν ἔφησέ τις τῶν Νεωτέρων (1),

„ ὡς

(1) Ἐβουρσρέϊτιος Α'. Φιλοσοφ. Σελ. 498.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ ὡς εἰ μὴ ἓν τὸ ὄν, οὐδὲ ὂν ἔσται, ἀλλ᾽ ὄντα· πληθὺν „ γὰρ ἐλέγχει οὐσιῶν, ἡ τῆς οὐσίας διαίρεσις. Ἀλλὰ περὶ τοῦ ἑνὸς ὕστερον. Ἤδη δὲ ἐπεί τισι τῶν Νεωτέρων, προσεπαγομένοις ἐστὶν οὓς καὶ τῶν ἀρχαίων, οὐκ ἀσήμου δήπου ὀνόματος, μάρτυρας, τὸ τῆς οὐσίας ὄνομα πολλῶν, μᾶλλον δὲ τῶν πάντων σχεδὸν ἀποσκευάσασθαι ἔδοξε, παρὰ τὴν θεωρουμένην ἐν τούτοις σύνθεσιν, φέρε δὴ καὶ τούτων τὸ δόγμα μικρὸν περικρούσαντες, εἴτι εὔηχον ψοφεῖ, ἢ γοῦν πάμπαν σαθρὸν, καὶ ὑπόχαλκον φθέγγεται βασανίσωμεν. Οὐσία ἐστὶ, φασὶ, (1) τὸ μηδενὸς ἐξηρτημένον. Τὰ δὲ σύνθετα ἐσωτερικῶς ἐξήρτηται τῶν συντιθέντων, οὐσία ἄρα σύνθετος οὐκ ἂν εἴη. (2) Πᾶσα δὲ οὐσία ἁπλῆ. Ἐντεῦθεν τοι οὐδὲ οὐσίας ὁ Φιλόσοφος ἀξιώσει καλεῖν τὰ σώματα, παρήσει δὲ τῷ χυδαίῳ ὄχλῳ οὕτως ἀκυρολεκτεῖν. Ἐκεῖνα γὰρ, ἤτοι ἀθροίσματα ἐξ ἁπλῶν οὐσιῶν ἐστὶ συγκροτούμενα, ὡς ἐδόκει ποτὲ Πυθαγόρᾳ, καὶ Λουκρητίῳ τῷ Ἐπικούρου ὀαριστῇ, καὶ καθ᾽ ἡμᾶς Λειβνιτίῳ τε καὶ Οὐολφίῳ· οἳ καὶ τοσούτῳ τῶν Ἐπικουρείων ἐν τούτῳ διαπεφωνήκασιν, ὅτι ἃς ἐκεῖνοι ἐκτεταμένας, ἀνεκτάτους οὗτοι οὐσίας ἐθέλουσιν· ἢ γοῦν ἡ τῶν σωμάτων οὐσία ἁπλῆ τις οὖσα τυγχάνει ἔκτασις, ὅπερ ὑπετόπασε Λώκιος. Κἀντεῦθεν ἡμῖν αἱ ἄτομοι μόναι οὐσίαι, καὶ εἴτινες μονάδες τῶν ἀτόμων αὐτῶν ἁπλούστεραι, καὶ ἀσωματώτεραι, τῶν σωμάτων αὐτῶν πρῶται οἱονεὶ ὑποβάθραι τε, καὶ κρηπῖδες προκαταβάλλονται. Γῆ δὲ, καὶ λίθος, καὶ μέταλλον, καὶ φυτὸν, καὶ ζῶον, καὶ ἄνθρωπος αὐτὸς, κἂν ὑφεστήκῃ, οὐσίαι μὲν οὐχὶ, πῶς γὰρ, εἰ σύνθετα φασί; πολυούσια δέ τινα, ὡς φάναι σωρεύματα, καὶ ὄντα, μικροῦ δεῖν, ἀνούσια. Ἐμοὶ γοῦν, ὅτι οὐσίαι τινές εἰσιν ἐν τοῖς οὖσιν ἁπλούστεραί πως, καὶ ἀτελέστεραι, ἔξω πάσης ἀμφιβολίας κεῖσθαι τίθεται τὸ λεγόμενον· (§. σλθ΄. σμ΄.) ὅτι δὲ καὶ αἱ ἐξ ἐκείνων σύνθετοι, οὐ καλῶς τοῦ τῆς οὐσίας ὀνόματος καὶ πράγματος ἐκκηρύσσονται, ἑκατέρων κυρίως μετέχου-

τέχου-

(1) Γενεύσ. Μεταφ. Μέρ. α΄. Ὁρισμ. κα΄.
(2) Αὐτ. Πρότ. κβ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τέχουσαι, τοῦτο ἐστὶν, ὃ καὶ μάλιστα δοκεῖ. ( §. αὐτ. ) Εἰ γὰρ τῷ ἀνθρώπῳ ( εἰρήσθω δὲ καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως ) τῳδὶ μέτεσι τοῦ κυριωτάτου λόγου τῆς οὐσίας, μετέσαι πάντως καὶ τοῦ ὁρισοῦ· μετεῖναι δὲ αὐτῷ οὐσιωδῶν γνωρισμάτων, οἷς αὐτὸ τοῦτο συνίσαται ἄνθρωπος, ὅπερ ἐστὶν, ἄλλο δ' οὐδὲν, τίς ἂν ἔξαρνος γένοιτο; καὶ γὰρ, εἰ μὴ ὑπόσασις ὁδὶ ὁ ἄνθρωπος μία. Ἐπεὶ δὲ, καὶ οὐσία πάντως ἔσαι μία· εἰ μή τις λόγος τοὐναντίον πείθει ὑπερφυέσερος, καὶ τῶν φιλοσοφουμένων ἔξω γινόμενος. Εἶτα καὶ ἐνέργεια πᾶσα δυνάμεως. Ἡ δὲ δύναμις οὐσίας, καὶ ἐξ ἀνάγκης. Ἀλλ' ἔσιν ἐνέργεια ἀνθρώπου, ἣ ἄνθρωπος ἐσὶν, οἵαν οὐδεμία τῶν ἐν ἀνθρώπῳ ἀπλουσάτων ἀτόμων προβαλεῖν δύναται. Τοιγαροῦν καὶ δύναμις, καὶ οὐσία, ἣ ἄνθρωπος. Ἀλλ' ἡ οὐσία, φάσκουσιν, ὑπὸ μηδενὸς ἤρτηται ἐσωτερικῶς. Δώσομεν, ἀλλ' οὕτως ἔμπης, ὥσπερ καὶ ἡμῖν δέδεικται. (§.σλϛ'.) ἧπερ δηλονότι πάνθ' ὅσα αὐτῇ ἐσὶν εἰς σύσασιν συνιόντα, τῇ οὐσίᾳ ταυτίζεται, ἐκ τούτων, ταὐτὸν εἰπεῖν ἐξ ἑαυτῆς, τὴν συνάρτυσιν ἐχούσῃ, ὑπὸ δὲ ἑτέρου τοῦ παρ' ἑαυτὴν μηδενὸς, (ὃ τὰ συμβεβηκότα πάσχει ὑπὸ τῆς οὐσίας) §.σλέ.) συνισαμένῃ. Οὕτω δέ τοι φανερὸν καὶ τὰ σύνθετα ἐσωτερικῶς, πρὸς ἄλλα τινὰ, ἃ παρ' αὐτὰ εἴη τυγχάνειν ἀνεξάρτητα, ἅτε δὴ καὶ αὐτὰ ἀπὸ τῶν συνιόντων αὐτοῖς εἰς ἓν γνωρισμάτων, συναρτιζόμενα. Διόπερ οὐδ' οὐσίαν πᾶσαν ἁπλῆν εἶναι φήσομεν ( §. σλθ'. σμ'. ), ὅτι μὴ τῷ λόγῳ τῆς τῶν οὐσιωδῶν ἑνώσεως, αὐτὴν ἐπιθεωροῦντες, ἧπερ καὶ μίαν εἶναι ταύτην, καὶ ἀδιαίρετον ὑπειλήφαμεν. (§.σμά. κζ'. ) Ἄλλως γὰρ, εἴπερ τὴν ἀπουσίαν τῶν ἑνουμένων, καὶ μὴ τὸ ἑνιαῖον τῆς τούτων κατὰ τὸ αὐτὸ συνεμπτώσεως, εἰς ἁπλότητα οὐσιῶν φέρειν ἡγούμενοι, τὰς συνθέτους εἶναι οὐσίας οὐ βούλονται, παρὰ τὸ ἕκασον τῶν οὐσιωδῶν οὐσίαν εἶναι κυριώτατα μίαν ὑποτιθέναι καταναγκάζεσθαι ( ὅπερ ἤδη αὐτοῖς συνέβη, σύμφωνα τοῖς κειμένοις φιλοσοφεῖν μέλλουσι. ) (1) καὶ τὰς ἁπλᾶς αὐτὰς, καὶ σὺν αὐταῖς, καὶ πᾶσαν πάντῃ οὐσίαν, ἐξ ὄντων ποιοῦντες λανθάνουσιν. Ἡ

πο

(1) Γενουώσ. Ὅρ. κγ'. Σχόλ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποῦ γὰρ ἐστὶν οὐσίαν οὕτως ἁπλουστάτην νοῆσαι, ἣν μὴ ποικίλαι χαρακτηρίζουσι τελειότητες, ὧν τε οὐ πλείους ἀεὶ τῶν γινωσκομένων αἱ ἀγνοούμεναι; Ἡ γὰρ ὑπερούσιος (ἣν καὶ ἁπλουστάτην κἂν ἄκοντες ἐξυμνήσειαν) καὶ ἀπειροτέλειος. οὐδέ γε ἡ τῶν τελειοτήτων ἀπειρία, οὐδὲν, οὐδὲ βραχύ γοῦν τὸ ἁπλοῦν αὐτῇ προσλυμαίνεται. Αἱ δὲ τῶν πνευμάτων, πλειόνων πάντως εἰσὶν ἐμμοιροῦσαι συστατικῶν δυνάμεων, ἢ τὰ σώματα. Κἂν δὲ τὰς ἀτόμους ἡμῖν αὐτὰς τὰς ἁπλουστάτας, κἂν τὰς μονάδας, τὰς καὶ τῶν ἀτόμων αὐτῶν ψιλωτέρας προβάλοιντο, κἂν ὁτιοῦν εἰς φάσμα μικροῦ, δι' ἐπινοίας αὐτοῖς ὡς συνήθες ἐξουσιούμενόν τε, καὶ ἐξοντούμενον, οὐδὲν ἧττον, εἴτινα ἐστὶ, καὶ τούτοις προσέσται γνωρίσματα οὐσιώδη τινὰ, τάγε αὐτοῖς ἐπιβάλλοντα· οἷον ταῖς μὲν ἀτόμοις κατὰ τοὺς ἀμφὶ Δημόκριτον, καὶ Ἐπίκουρον, ἔκτασίς τε καὶ σχῆμα καὶ ὁρμὴ πρὸς κίνησιν, τὴν ἢ διὰ καθέτου, ἢ κατὰ παρέγκλισιν. Ταῖς δὲ μονάσιν, (ὧν οἱ Γερμανοὶ Φιλόσοφοι καθ' ἡμᾶς ὅλαις προΐστανται ταῖς δυνάμεσι) καίτοι ἐκτάσεώς τε καὶ σχήματος ἀπηλλαγμέναις, δραστηρίων, ἀλλ' οὖν, οὐκ οἶδ' ὧν τινων καὶ αὐταῖς δυνάμεων μέτεστιν. Ἃς δὴ, καὶ ἤτοι καθ' ἑαυτὰς ὑφεστώσας ὁμολογήσουσι, καὶ ἕξομεν οὕτω καὶ δύναμιν ἀνούσιον, ἢ τῇ μονάδι, ὡς οὐσίᾳ γνώρισμα τὴν δύναμιν περιάψουσι, καὶ αὖθις ἡμῖν ἡ μονὰς παρέσται καθ' ἑαυτὴν ἀδύνατος· ἢ τέως τὸ ἐκ μονάδος καὶ δυνάμεως σύνθετον, ὡς μηδὲ ἁπλοῦν ὂν (εἰ οὖν ἀκολουθῶσι τῷ λόγῳ) ἀνούσιον. Ἐμοὶ δὲ πρὸς τούτοις, οὐδὲ τὸν Πυθαγόραν, σύμμαχον τοῦ δόγματος ἑαυτῶν, μετάπεμπτον παραστησάμενοι, ἤθους ἐοίκασι φιλοσόφου πάνυ πολὺν λόγον ποιούμενοι. Ἐκεῖνον γὰρ, τοσοῦτον ἀπέχει τοῦ τὰς συνθέτους οὐσίας μὴ παραδέχεσθαι, ὅσῳ γε τοῖς ἀριθμῶν εἴδεσι συμβόλοις χρησάμενος, ὡς εἰώθει, ἐν τούτοις τὸ κατὰ τὴν οὐσίαν τῶν συστατικῶν ἑκάστου ἄθροισμα, τῇ τῶν μονάδων πληθύϊ ὀρθῶς ὑπηνίσσετο, καὶ οὐχὶ τὸ τῶν οὐσιῶν, ὡς αὐτοὶ παρερμηνεύουσι, τῶν ἁπλουστάτων. Ἑνὸς γάρ τινος τῶν οὐσιωδῶν ἀρθέντος ἢ προστεθέντος, ὥσπερ μονάδος ὁ ἀριθμὸς, πᾶσα ἄρδην ἡ οὐσία ἀνῄρηται. Ὥσπερ γὰρ Ἀριστοτέλης φησὶν (1) ἐπ'

(1) Μεταφ. Η.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ ἐπ' ἀριθμοῦ ἀφαιρεθέντος τινὸς, ἢ προστεθέντος, ἐξ ὧν ὁ „ ἀριθμὸς ἐστὶν, οὐκέτι ὁ αὐτὸς ἀριθμός ἐστιν, ἀλλ' ἕτε-„ ρος, κἂν τὐλάχιστον ἀφαιρεθῇ, ἢ προστεθῇ, οὕτως οὐδὲ ὁ „ ὁρισμὸς, οὐδὲ τὸ τί ἦν εἶναι, οὐκέτι ἔσαι ἀφαιρεθέντος „ τινὸς, ἢ προστεθέντος. Οὐχ οὕτω δὲ καὶ τῶν ἁπλῶν οὐσιῶν, κἂν ὅτι πολλαὶ τῆς συνθέτου, οἷον ἀνθρώπου ξύλου, περιαιρεθῶσιν, ἢ ταύτῃ προστεθῶσιν. Ἐπὶ πᾶσι δὲ, καὶ τὸ Λοκίου δόγμα οὐδὲν ὀνίνησι τοὺς οὐσιομάχους δὴ τούτους· ἤτοι γὰρ ξύλου μέταλλον οὐσίᾳ οὐδαμῶς διοίσει κατ' ἐκεῖνον, ἢ γοῦν παρὰ τὴν ἐνοῦσαν τούτοις καὶ κοινῇ πᾶσι τοῖς σώμασιν, ἁπλουςάτην ἔκτασιν, καὶ ἀλλ' ἄττα παρελόντα γνωρίσματα τὰς οὐσίας, συναπαρτίσουσι, καὶ διακρινοῦσιν.

## Θεώρημα ΡΘ΄.

§. σμδ΄. „ Πᾶσα οὐσία ἐσωτερικῶς ἐστὶν ἀναγκαία.

Ἐσωτερικῶς γὰρ ἀναγκαῖον τὸ τῶν οὐσιωδῶν ἐν αὐτῷ γνωρισμάτων, τῶν πρὸς οὐσίαν αὐτῷ ἀναγκαίων ὄντων ἐσωτερικῶς ἠρτημένον. ( §. σβ΄. ) Πᾶσα δὲ οὐσία τῶν ἐν αὐτῇ οὐσιωδῶν γνωρισμάτων, ἐσωτερικῶς ἤρτηται. ( §. σλγ΄. ) Πᾶσα ἄρα οὐσία, ἐσωτερικῶς ἀναγκαία.

## Πόρισμα Α΄.

§. σμέ. Καὶ δὴ καὶ ἄτρεπτος. Εἰ μὴ γὰρ, δυνατὸν τραπῆναι αὐτὴν, καὶ εἰς τὸ μὴ οὕτως ἔχειν μεταστῆναι, καὶ οὐκ ἄρα τοὐναντίον αὐτῆς ἁπλῶς ἀδύνατον. Ἀλλὰ γὰρ τῆς οὐσίας ἐσωτερικῶς ἀναγκαίας δειχθείσης ( §. ἀνωτ. ) τοὐναντίον ἁπλῶς ἀδύνατον. ( §. σα΄. ) Ἄρα κτ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Πόρισμα Β΄.

§. σμς΄. Καὶ τοῦ μᾶλλον, καὶ ἧττον ἀνεπίδεκτος, ὡς Ἀριστοτέλης (1) φησὶ, ῥοπῆς γὰρ τοῦτο παραίτιον. Καὶ τοῖς ἀριθμοῖς κατὰ Πυθαγόραν ὀρθῶς ἐξωμοίωται.

## Πόρισμα Γ΄.

§. σμζ΄. Ταύτῃ δέ τοι καὶ αἰωνία. (ὅρα §. σι΄. καὶ σλβ΄.)

## Σχόλιον.

§. σμη΄. Ἐνδέχεται τοίνυν κύκλον ὑπάρχειν, καὶ μή· ὑπάρχοντα δὲ, καὶ δίχα, ἢ ἄλλως τμηθῆναι· δυνατὸν δὲ, ἴσως, καὶ τετραγωνισθῆναι, μεῖναι δὲ κύκλον τὸν αὐτὸν, καὶ τετραγωνισθέντα, ἀδύνατον. Μηδεὶς οὖν ἡμᾶς ὑπολάβοι, ἀπ᾽ αἰῶνος ὑφεστάναι (πλὴν τῆς ὑπερουσίου Οὐσίας, τῆς πάντῃ πάντως ἀναγκαίας, τῆς καὶ καθ᾽ ὕπαρξιν διαιωνιζούσης, (§. σιε΄.) τινὰ τῶν δημιουργητῶν οὐσιῶν, ἐνταῦθα φρονεῖν. Ἄπαγε. Εἴγε μάλιστα τὸ κτιστὴν εἶναι τὴν αὐτὴν φύσιν ἅμα, καὶ διαιωνίζειν, λαμπρῶς ἀντιφάσκειν ἡγούμεθά τε, καὶ ἐν οἰκείῳ τόπῳ δείξομεν. Ἀλλ᾽ οὕτω φαμὲν διαιωνίζειν νοερῶς πᾶσαν οὐσίαν, καθὸ τοιαύτην ἐν χρόνῳ παρῆχθαι, ἢ παραχθήσεσθαι ὑπὸ τοῦ Δημιουργοῦ ὑπειλήφαμεν, οἷα αὐτῷ καὶ ἐνοεῖτο χρόνων ἐπέκεινα. (§. σι΄.) Τῇ νοερᾷ δηλονότι καὶ κατ᾽ ἰδέαν, συμφώνως ἔχουσαν. (§. σλβ΄.) Καὶ ὅτι οὔτ᾽ ἦν ποτὲ, οὔτ᾽ ἔστιν, οὔτ᾽ ἔσται, ὅτε τὴν οὐσίαν τοῦ κύκλου, φέρε, (ταυτὸ δ᾽ ἐρεῖς, καὶ περὶ ἄλλης ἧς τινοσοῦν) ἀληθὲς ἂν εἴη ἄνευ τοῦ περιφεροῦς εἶναι, ἢ νοηθῆναι, καὶ τοῦ ἐπιπέδου, καὶ τῶν ἄλλων ἅττα αὐτῆς συμπληρωτικὰ γίγνεται. (§. σκη΄.)

(1) Περὶ οὐσίας.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

( §. σκή. ) Διὸ δὴ καὶ ἀεὶ ὡσαύτως ἔχειν τὰς ὀσίας, ὡς ἀφ' ἑνὸς σόματος τοῖς πάλαι, καὶ ὕστερον, φιλοσοφοῦσιν ἠξίωται.

## Θεώρημα ΡΙ'.

§. σμθ'. „ Τὰ ἴδια, καὶ τὰ συμβεβηκότα τεθέντα, καὶ „ τὴν ὀσίαν ἑαυτοῖς συνεπάγεται· ἀρθέντα δὲ, τὰ μὲν „ ὀσίᾳ, ἢ φύσει συναναιρεῖ, τὰ δ' ὀδόλως.

Ταῦτα γὰρ ἐκείνης ἐξ ἀνάγκης ἐξῆπται, πρώτης τε ὀσης, καὶ βάσεως πρὸς αὐτὰ λόγον ἐχόσης. ( §. σκθ'. σλ'.) Ἄρα ... Ὃ τὸ Α'.

Τότων δὲ τὰ μὲν ἴδια, ἀνάγκη ὀσίας, ἢ φύσεως ἐκπιδύει πως τῶν ὀσιωδῶν. ( §. σκθ'. ) Τὰ δ' ἐνδέχεται παρὰ τὴν ὀσίαν γίνεσθαι. ( §. σλ'. ) Ἄρα τὰ μὲν συναναιρεῖ, τὰ δ' ὄ. Ὃ τὸ Β'.

## Σχόλιον.

§. σν'. Ἐνταῦθα δὴ γινομένοις ἅπαντᾷ ἡμῖν ἀπορία τις ὀ φαύλη, ὀδ' εὐδιάκριτος ἡ περὶ τοῦ ἰδίου. Πότερον ἄρα τὸ συναναιρεῖν τὴν ὀσίαν, ἔστι καὶ τότε παραπλησίως, ὥσπερ καὶ τῶν ὀσιωδῶν, ἢ ὀχί; Εἰ μὲν γὰρ, ἐπειδὴ καὶ τίθησι συνεισάγον, ὀσιῶδες ἄντικρυς ἔσαι, ἤπερ ἀμέλει ἀναγκαῖον ὂν πρὸς ὀσίαν, τὴν αὐτὴ τότε ἀσύστατον. ( §. σβ'.) Εἰδ' ὀχὶ, πῶς ἂν ἔπειτα προβάλλειν αὐτὸ λέγοιτο ἐξ ἀνάγκης ἡ ὀσία, ( §. σκθ'. ) ἡ καὶ μὴ προβαλλομένη, ὀδὲν ἧττον καθ' ἑαυτὴν, τὴν ἵδρυσιν ἔχοσα; Ἀλλ' εἶναι μὲν ὀσιῶδες, ὀδὲ Πορφυρίῳ, τῷ τὴν περὶ τότε ἀκριβεστάτην θεωρίαν ἡμῖν ὑποθεμένῳ, δοκεῖ (1), ὅτι μὲν συμβέβηκεν, ὀχ ὅτι δὲ καὶ συνυσίωται λέγοντι, καὶ σύμφυτον μὲν, ὀσιῶδες δ' ὀχὶ ὀνομάζοντι. Οὐδ' Ἀμμωνίῳ (2), ὃς καὶ μεταί-

(1) Εἰσαγωγ. εἰς τὰς Ε. φωνάς.

(2) Ὑπομνημ. εἰς τὴν Εἰσαγωγ. τῶν Ε. φωνῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταίχμιον εἶναι οἱονεὶ φησὶ, μέσον πως τῶν οὐσιωδῶν, καὶ τῶν συμβεβηκότων παττόμενον. Οὐδὲ μὲν οὖν τῷ Θεασεσίῳ Δαμασκηνῷ (1) ἐπουσιῶδες σαφῶς, καὶ ἐπεισουσιῶδες ἀποκαλοῦντι. Οὐδέ τῳ τῶν ἄλλων Σοφῶν ἁπάντων, τῶν τὰ δευτερεῖα τῆς οὐσίας, τῷ ἰδίῳ προσνειμαμένων. Εἴγε καὶ ὁ ὀρθὸς λόγος, παρὰ τὸ μὴ εἰς τὸ πρώτως ἐν τῷ πράγματι νοητὸν παρεισάγεσθαι τὸ ἴδιον, τῆς οὐσίας ἀπέκλεισεν. Ἀλλὰ καὶ ἣν ἐπουσιῶδες τεθῇ, οὐχ ἡ τυχοῦσα τοῖς καλῶς ἀκριβοῦσι, παρέψεται δὴ τῷ λόγῳ δυσχέρεια. Πότερον γὰρ, καὶ τούτου αὐτὸ δυνατὸν εἶναι τὸ εἶδος φήσομεν; Εἰ μὴ γὰρ, ἀναγκαῖον τε ἄρα αὐτῷ πρὸς οὐσίαν, καὶ οὐσιῶδες. (§. σβ'. σκη'. σκθ'.) Εἰ δ' οὖν, ὅπερ καὶ οἱ Παλαιοὶ δοκοῦσιν ὑπειληφέναι (ἰσέον γὰρ φησὶν Ἀμμώνιος (2) ὅτι οὐ λέγει „ αὐτὸ τοῦ ἰδίου καὶ τοῦ συμβεβηκότος οὐ δύνανται ὑποστῆναι „ αἱ οὐσίαι, ἐφ' ὧν ταῦτα θεωροῦνται, ἐπεὶ ἡ οὐσία ἐστὶ „ πρᾶγμα αὐθύπαρκτον, ἀλλ' ὅτι χωρὶς τοῦ ἰδίου, καὶ τοῦ „ συμβεβηκότος οὐχ ὑφίσανται αἱ οὐσίαι, οὐχὶ καθὸ οὐ„ σίαι, ἀλλὰ καθ' αὐτά.) ἐπεὶ δυνατὸν εἶναι τὸ εἶδος, καὶ αὐτὸ τοῦ ἰδίου, οὐκ ἄρα ἀντίσροφον, εἰ καὶ ἅπαντες ὑποτίθενται. Τὰ γὰρ ἀντίσροφα, ἅμα τῇ τε φύσει ὄντα, καὶ τῇ γνώσει, τὸ συνεισάγειν ἄλληλα, καὶ συναναιρεῖν ἐξ ἀνάγκης ἔλαχον. Ἐφ' οἷς καὶ τῶν ἰδίων ἐσὶ μὲν ἃ, ὅλην τὴν οὐσίαν σαφῶς ἀναιρεῖν πεφύκασιν ἀναιρούμενα, οἷον αἱ δύω ὀρθαὶ, ἐπὶ τοῦ εὐθυγράμμου τριγώνου. Εἰ μὴ γὰρ ταῖς δυσὶν ἴσαι αἱ τρεῖς, οὐδὲ τὸ εἶδος τὴν ἀρχὴν ὑποσήσεται· ὡσαύτως δὲ ἔχει, καὶ τὸ τῆς ὀξυτέρας γωνίας πάθος, ἐπὶ τοῦ μείζονος τῶν τμημάτων τοῦ κύκλου, καὶ τὸ τῆς ὀρθῆς ἐπὶ τοῦ ἑτέρου τῶν διχασμάτων. Εἰ μὴ γὰρ, οὐδὲ κύκλος ὅλως, ἀλλ' ἔλλειψις τυχὸν, ἤ τι ἕτερον. Εἰσὶ δὲ ἃ οὐκ ἀναιρεῖ· οἷον τὸ ἀνωφερὲς τοῦ πυρὸς καὶ τὸ καυσικὸν, καὶ τὸ γελασικὸν ἐπὶ ἀνθρώπου, καὶ ἐπὶ ἵππου τὸ χρεμετισικὸν, ὧν αὐτὸ, εἰ μὴ κατὰ τοὺς ἐν τῇ φύσει κειμένους θεσμοὺς, καθ' ἑαυτὰ γεμὴν τὰ εἴδη ἀκωλύτως λέγεται δυνατά. (§. ρπ'.) Ἀλλὰ

(1) Διαλεκτ. Κεφ. ιδ'. (2) Ἀμμών. Αὐτ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λὰ γὰρ καὶ τούτων οὔπω διῃρημένων, πότερά ποτε κυρίως ἴδια λέγεσθαι ἀξιώσομεν; Εἰ γὰρ τὰ πρῶτα, ἔσται πάντως ἡμῖν τὰ ἴδια οὐσιώδη. Εἰ δὲ τὰ δεύτερα, οὐκ ἄρα τὰ ἴδια ἀντιστρέφοντα. Ταῦτα μὲν ἴσως δόξειεν ἂν ἄλλῳ τινὶ περιττῶς κινούμενα, καὶ μᾶλλον ἢ πραγμάτων ἐμβριθοῦς θεωρίας, διαλεκτικῆς τινὸς ἀδολεσχίας ἐχόμενα ἀθυρμάτια. Ἐμοὶ δὲ οὐδὲ περιττὰ δοκεῖ, οὐδ᾽ ἐν ψιλαῖς φωναῖς, ἀλλ᾽ ἐν τοῖς πράγμασιν αὐτοῖς, τὸ δυσεξέλικτον ἔχοντα. Τί τοίνυν πρὸς αὐτά; ἢ ὅτι διαιρετέον τὰ ἴδια, καὶ τὰ μὲν εἶναι μεταφυσικὰ ῥητέον, τὰ δὲ φυσικά. Κἀκεῖνα μὲν οὐσιώδη ὑποληπτέον, ἀλλὰ παράγωγα οἱονεὶ, καὶ δευτέρως, ἀπὸ τῶν, οὕτω φάναι, πρωτοτύπων, καὶ ἀρχικωτέρων ὄντων οὐσιωδῶν ἠρτημένα. Εἶναι δὲ κυρίως τῷ εἴδει συναντιστρέφοντα τὰ τοιαῦτα, καὶ τούτων αὐτὴν (κατὰ ἀφαίρεσιν ἁπλῆς ἐπιβολῆς, οὐ γὰρ δὴ κατά γε ἀπόφασιν) τὴν μὲν ὀνοματώδη συνίστασθαι, τὴν δὲ πραγματιώδη οὐσίαν πάντῃ τυγχάνειν ἀσύστατον, καὶ ἀπολύτως ἀδύνατον. Τοιαῦται αἱ δύω ὀρθαὶ, ὡς ἀνωτέρω ἐλέγετο, ἐπὶ τοῦ εὐθυγράμμου τριγώνου, καὶ ἡ πρὸς κίνησιν δεξιότης τῆς ὕλης, καὶ διαίρεσιν, καὶ ἡ ἁπλῶς, πρὸς ὑποδοχὴν οἱασοῦν τῇ οὐσίᾳ προσηκούσης δυνάμεως. Τὰ δὲ λοιπὰ κυριώτατα ἴδια τυγχάνειν θετέον, τριχῶς μετὰ τοῦ θείου Δαμασκηνοῦ (1) διαιρήσαντας. „Εἴς τε τὰ ἀπὸ τῆς διοργανώσεως, τουτέστι τὰ ἀπὸ τῆς διαπλάσεως, ὡς τὸ πλατυώνυχον, καὶ τὸ ὀρθοπεριπατητικὸν τοῦ ἀνθρώπου. Καὶ τὰ ἀπὸ τῆς ἐνεργείας, ὡς τῷ πυρὶ τὸ ἀνωτάτω φέρεσθαι, καὶ τὰ ἀπὸ τῆς δυνάμεως, ὡς λέγομεν τῷ πυρὶ ὑπάρχειν θερμαντικὴν δύναμιν, ὑπερβάλλουσαν τὰς τῶν ἄλλων σωμάτων θερμότητας. Ταῦτα οὖν κἂν ἀρθῇ, οὐδὲν ἧττον τὰ τῆς οὐσίας ἀπαραλύμαντα διασωθήσεται. Οὐκοῦν ἐρεῖς, οὐδὲ ἴδια τὰ τοιαῦτα, οὐδὲ γὰρ ἀντιστρέφει. Ἀλλ᾽ ἀντιστρέφει δήπου καὶ πάνυ, καὶ ἀνάγκῃ φύσεως συμπροσῆπται τοῖς ἔχουσι, καὶ τούτων αὐτὴν τὸ εἶδος φυσικῶς εἶναι ἀδύνατον, καίτοι μεταφυσικῶς δυνατὸν, διό-

τι

(1) Διαλεκτ. Κεφ. ιδ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τι κ̀ ἀπολύτως. ( §. ρπ'. ) Περὶ μὲν ἒν τέτων κ̀ ἡμῖν, ὅτι φύσει συναναιρεῖ τὸ εἶδος ἀρθέντα, ἐν τῷ Θεωρήματι προσδιώρισαι.

## Θεώρημα ΡΙΑ'.

§. σνά. „ Οὐσία παύτῃ πάντως ἀναγκαία, ἡ κατ' ἐ-„ σίαν φημὶ καὶ ὕπαρξιν, τὰ τῆς ἀνάγκης πλετᾶσα, ὑφέ-„ ςηκε.

Ὑφέςηκε γὰρ τὸ τοιᾶτον ὄν. ( §. σκς'. ) Τὸ δ' ἕτως ὂν, ἐδενὸς ἐξήρτηται παρ' αὐτὸ ἐσωτερικῶς. ( §. σβ'. ) Τὸ δὲ ὑπὸ μηδενὸς ἠρτημένον ἐσωτερικῶς ἐσία. (§. σλς'. σλή.) Οὐσία ἄρα κτ.

## Πόρισμα.

§. σνβ'. Υφέςηκεν ἄρα ἡ Οὐσία ἡ πάντων ἐκείνων τῶν καλῶν ἀμοιρᾶσα, ἅπερ ἀνωτέρω ( §. σκς'. ) ἠρίθμηται, ἡ αἰώνιος δηλ. ἡ ἁπλεςάτη, ἡ ἄτρεπτος, ἡ παντέλειος.

## Θεώρημα ΡΙΒ'.

§. σνγ'. „ Η δὲ πολυύμνητος αὕτη, κ̀ πάντων ὑπερι-„ δρυμένη ἐσία, ἀσωμάτως ὑφέςηκεν.

Αὕτη κ̀ γὰρ ἁπλεςάτη. ( §. σνβ'. ) Τὸ δὲ ἁπλεςατον, καὶ ἀμερὲς ὁ λόγος ἀξιοῖ. Τὸ δ' ἀμερὲς, ἐ κατὰ μέρη ἐκτέταται. Τὸ δὲ μὴ κατὰ μέρη ἐκτεταμένον, πῶς ἂν εἴη σῶμα; Ἄρα κτ.

## Σχόλιον.

§. σνδ'. Οὕτως ἐξ αὐτῶν βάθρων ἡ ἀθεότης, καὶ ἡ παν-

πανθεότης, καὶ τὸ τὰ πάντα ἔνυλα φρονεῖν ἀνατέτραπται. Καὶ καταγέλαστοι ἄρα ἡμῖν τὸ τῶν Νεωτέρων Ἐπικουρείων ἀντίθεον στῖφος, Ὡββέσιός τε ὁ σωματικὸν εἶναι τὸ θεῖον καταληρήσας, καὶ Τολάνδος ὁ τὰς ἀσωμάτους οὐσίας ψιλὰ διδάξας εἶναι φαντάσματα, ὅ,τε δυσώνυμος Σπινόζας, ὁ συναφείᾳ ἀναποσπάστῳ συζεύξας τῇ νοήσει τὴν ἔκτασιν. (1)

## Θεώρημα ΡΙΓ'.

§. σνέ. „ Οὐδὲν αὐτῇ προσεῖναι ἐνδέχεται κατὰ συμβε-
„ βηκὸς, τῇ τῶν πάντων ὑπερεξηρημένῃ ὑπερουσιότητι.

Οὐδὲν γὰρ ἂν ἐνδεχομένως αὐτῇ προσείη, πάντῃ πάντως ἀναγκαίᾳ οὔσῃ ( §. σνά. ) καὶ αἰωνίῳ, καὶ ἀπλουστάτῃ, καὶ ἀτρέπτῳ, καὶ ὑπερτελεῖ. Τὰ δέ τοι συμβεβηκότα ἐνδεχομένως ἐστὶ περὶ τὴν οὐσίαν. ( §. σλ'. ) Ἄρα κτ.

## Θεώρημα ΡΙΔ'.

§. σνς'. „ Οὐδὲν τῶν ἐνδεχομένων, ἐκείνης ἐστὶ τῆς ἀ-
„ κηράτου οὐσίας, οὔθ' ὡς μέρος, οὔθ' ὡς πάθος.

Οὔθ' ὡς μέρος ἀπλουστάτης οὔσης, οὔθ' ὡς πάθος, ἀπαθοῦς τε, καὶ ἀναλλοιώτως ἱδρυμένης. ( §. σνβ'. ) Ἄρα κτ.

Ἄλλως τε καὶ τῶν ἐνδεχομένων ἐκείνῃ τῇ ὑπερουσιότητι συνουσιουμένων ( ἐξ ὑποθ. ), ἤτοι ἵσταται ἡ φύσις ἐπὶ τὸ ἐνδεχόμενον, καὶ τροπῆς χείρων, οἵα καὶ φύσει ἐστὶ, καὶ συμμεθελκύσεται εἰς τοὐνδεχόμενον τὸ ἀναγκαῖον· ἢ μεταστοιχειοῦται εἰς ἀτρεψίαν, καὶ εἰς τὸ ἀναγκαῖον ἡμῖν τὸ ἐνδεχόμενον μετασκευασθήσεται. Ἀλλὰ γὰρ οὐδέτερον δυνατόν· ἐπειδὴ γὰρ ἀναγκαῖον μέν ἐστιν, οὗ τοὐναντίον ἀπολύτως ἀδύνατον. ( §. σά. ) ἐνδεχόμενον δὲ, οὗ τοὐναντίον ἁπλῶς δυνατόν. ( §. σγ'. ) ἀποβαίη ἂν, ὡς ἐκείνως, τὸ ἀδύνατον εἰς δυνατὸν,

(1) Γενουέσ. Μεταφ. Μέρ. ά. Σχόλ. Πρότ. ιθ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νατὸν, ἀποβαίη δ' ἂν ὡς ὅπως, τὸ δυνατὸν εἰς ἀδύνατον. Ἄρα ( §. λ'. ) κτ.

## Θεώρημα ΡΙΕ'.

§. σνζ'. „ Οὐσίαι μὴ διαιωνίζουσαι τὴν ὕπαρξιν, ἀλ-
„ λ' ἐνδεχομένην ἔχουσαι ὑφεστήκασι.

Ὑφέστηκε γὰρ ὄντα ἐνδεχόμενα καθ' ὕπαρξιν. ( §. σκδ'. ) Καὶ τούτων οὐδὲν τῆς ἀκηράτου, καὶ διαιωνιζούσης οὐσίας, οὔθ' ὡς μέρος ἐστὶν, οὔθ' ὡς πάθος. ( §. σνς'. ) Ταῦτ' ἄρα, ἤτοι οὐσίαι εἰσὶν ἐνδεχομένως ὑφεστηκεῖαι, ἢ γοῦν, εἰ μὴ, ἀλλὰ μέρη πάντως, ἢ πάθη οὐσίας ἐνδεχομένης τὴν ὕπαρξιν, μὴ ἐξὸν μέρος εἶναι αὐτὸ ὅλου, οὐδὲ πάθος χωρὶς οὐσίας. ( §. λ'. καὶ σκθ'. σλέ. ) Ἄρα κτ.

## Πόρισμα.

§. σνή. Αἱ δὲ καὶ πεπταὶ ἔσονται ( §. σκά. ) καὶ ταῖς ἀτελειότησι τῶν ἐνδεχομένων ὄντων ὑποκείσονται ( §. σκβ'. σκγ'. ) ἐξ ἀνάγκης.

## Θεώρημα ΡΙς'.

§. σνθ'. „ Τῶν ὅπως ὑφεστηκειῶν οὐσιῶν, αἱ μὲν ἀρ-
„ χοειδέστεραι ἐκ μηδενὸς μὲν, ὑπὸ μηδενὸς δ' οὐχὶ, πα-
„ ρ' ἄλλης δὲ πάντως οὐσίας τὸ εἶναι εἰληφεῖαι ἔχουσιν, ἀλ-
„ λ' οὐ κατὰ πρόβλυσιν. Αἱ δὲ ἐκ τῶν ἀρχοειδεστέρων τούτων
„ καὶ ἁπλουστέρων συγκεκροτημέναι, καὶ σύνθετοι, οὐδ' ἐκ μη-
„ δενὸς, οὔθ' ὑπὸ μηδενὸς, παρ' ἄλλης δὲ οὐσίας· ἀλλ' ἤτοι
„ κατὰ πρόβλυσιν, ἢ σύγκρισιν, ἢ ἔκκρισιν, ἢ ἄλλως ὁ-
„ πωσοῦν.

Δείκνυται τὸ Α'. Ἀρχοειδέστεραι γὰρ οὖσαι ( ἐξ ὑποθ. ) οὐκ ἐξ ἄλλων πάντως προϋφεστηκειῶν· ἦσαν γὰρ ἂν αἱ ἄλλαι ἐκεῖναι ἀρχοειδεῖς, αὗται δὲ αἱ ἐξ ἐκείνων οὐχί. Ὅπερ

ἀναι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀναιρεῖ τὴν ὑπόθεσιν. Ἄρα ἐκ τοῦ μηδενός. Ὅπερ ἦν τοῦ Α'. τὸ πρῶτον.

Ποιητικοῦ δὲ αὐταὶ, ποιητὸν οὐδέν· (§. νζ'.) αἱ δὲ ποιηταὶ, ὡς μὴ διαιωνίζουσαι τὴν ὕπαρξιν. (§. σνζ'.) Εἶτα καὶ ἐνδεχομένως ὑφεστηκεῖαι (ἐξ ὑποθ.) (§. σνζ'.) ἐξήρτηνται ἐξ ἄλλου, ὅπερ ἀναγκαῖον ἐστὶν αὐταῖς πρὸς ὕπαρξιν. (§. σβ'.) Τοῦτο δὲ ἐστὶ τὸ ὑφ' οὗ, οὐκ ἄρα ὑπὸ τοῦ μηδενός. Ὃ τοῦ Α'. τὸ δεύτερον.

Ἐπεὶ δ' οὐχ ὑπὸ τοῦ μηδενὸς (διὰ τὸ β'.) ἤτοι ὑπὸ τοῦ, ὃ μὴ ᾖ οὐσία, ἢ ὑπὸ ἄλλης οὐσίας. Οὐχὶ δὲ ἐκεῖνο, εἴη τε γὰρ ἂν κρεῖττον τὸ προαγόμενον τοῦ ὑφ' οὗ παρῆκται, ὅπερ ἄτοπον. (§. οζ'.) καὶ ὅτι ἄλλως ὑπὸ αἰτίου ἐνεργοῦντος, ἡ δὲ ἐνέργεια οὐσίας εἶναι ἐθέλει ἐξ ἀνάγκης. (§. σκθ'. σλ'.) Λείπεται ἄρα λέγειν, ὡς ὑπὸ ἄλλης οὐσίας. Ο. Η. τὸ γ'. τοῦ α'.

Ἀλλ' εἰ κατὰ πρόβλυσιν, ἐνυπῆρχον ἄρα ἐκείνῃ ἐξ ἧς, εἰδικῶς τε καὶ ἐνεργείᾳ. Τοῦτο γὰρ ὑποδηλοῦν τιθέμεθα τὴν πρόβλυσιν. Ἐπεὶ δέ τοι λαβεῖν αὐταῖς ἁπλῶς τὸ εἶναι προβάλλεται ἡ ὑπόθεσις, δῆλον ὅτι οὐκ ἦσαν. Ἀντιβαινουσῶν ἄρα τῶν ὑποθέσεων (§. μς'.) ἀδύνατον κατὰ πρόβλυσιν. Ο. τὸ δ'. τοῦ πρώτου.

Δείκνυται τὸ Β'. Αἱ γὰρ μὴ ἀρχοειδέστεραι ἐκ τῶν ἁπλουστέρων τὴν ἵδρυσιν ἔχουσαι (ἐξ ὑποθ.) οὐκ ἐκ τοῦ μηδενὸς πάντως. (§. λ'.) Ο. Η. τὸ α'. τοῦ β'.

Αὐτομάτως δ' οὐκ ἂν συνεδραθεῖεν εἰς ἓν αἱ ἀρχοειδέστεραι, εἰς σύστασιν τῶν ἐξ ἐκείνων. (§. νζ'. νη'.) Ἄρα οὔθ' ὑπὸ τοῦ μηδενός. Ο. Η. τὸ β'. τοῦ β'.

Ἐπεὶ δ' ὑπὸ αἰτίου ἐνεργοῦντος, ἡ δὲ ἐνέργεια οὐσίας τινὸς ἂν εἴη, (σκθ'. σλ'.) ὑπὸ ἄλλης ἄρα δῆλον ὅτι οὐσίας. Ο. Η. τὸ γ'. τοῦ β'.

Καὶ δὴ, ὡς μὲν ἐν τῷ αἰτίῳ εἰδικῶς προσυνυφίσαντο τῶν ἀρχοειδεστέρων ἀπορρεουσῶν, αἱ ἐξ ἐκείνων ὑφιστάμεναι, προβλύσει ὑφεστηκυῖαι εἰρήσονται· ὡς δ' ἐκ χωρὶς συνεστωσῶν συμμιγνύμεναι, συγκρίσει, ὡς δ' ἐκ πολλῶν ἄλλων, καὶ διαφερουσῶν αἷς συμμεμίχαται ἀποκρινόμεναι, ἐκκρίσει· ὡς δ' ἄλλῃ πῃ, καὶ ἄλλως ὁπωσοῦν. Ἄρα κτ. Ο. Η. τὸ δ'. τοῦ β'.

Σχό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Σχόλιον.

§. σξ΄. Διδάσκει τοίνυν τὸ Θεώρημα γενέσεώς τε διαφορὰν τῆς κατὰ φύσιν, καὶ Δημιουργίας τῆς οὐ κατὰ τοὺς κειμένους τῇ φύσει θεσμοὺς, ἐν τῷ παντὶ γινομένης· τῆς μὲν ἐκ προϋφεστῶτος, τῆς δὲ ἐκ τοῦ μηδενὸς τελεσιουργουμένης. Ἀλλ᾽ ἐκείνην μὲν τὴν ἔκτινος ὑποκειμένου, καὶ ὑπὸ αἰτίου φυσικοῦ τὰ πολλὰ προφανοῦς, τῶν οὐσιῶν σύςασιν, καὶ διὰ αἰσθήσεων τὸ γνώριμον ἔχουσαν, εὐπαράδεκτόν τε οὖσαν τῇ διανοίᾳ, οὐ μόνον οἱ τὸ φιλοσοφεῖν κατὰ βίον διαβίβην πεποιηκότες ἔγνων τε, καὶ κοινῇ παρεδέξαντο, ἀλλὰ καὶ οἷς παιδείας οὐκ ἐμέλησε τῆς κατ᾽ ἐπιςήμας οὐχ ἥκιςα. Ταύτην δὲ τὴν ἐξ οὐκ ὄντων παραγωγὴν, ὁμολογουμένως οὖσαν ἀπεικόνητον, οὐδ᾽ οἱ πρῶτοι συνιέναι οἷοιτ᾽ ἐγένοντο. Ἔνθεν τοι „ καὶ ἀδύνατον ὅλως ἡγησάμενοι, τὸ δόγμα πρὸς οὐδὲν, ἢ „ γελοῖον ἔθεντο. Οἱ γὰρ Θεὸν ἀγνοήσαντες, αἰτίαν ἔμ„ φρονα προεςάναι τῆς γενέσεως τῶν ὅλων οὐ συνεχώρη„ σαν, ἀλλ᾽ οἰκείως τῇ ἐξ ἀρχῆς ἀγνοίᾳ, τὰ ἐφεξῆς συ„ νεπέραναν. (1) Κἀντεῦθεν αὐτοῖς τὸ μηδὲν ἐκ μηδενὸς ἠξίωται, οἷον Δημοκρίτῳ (2) καὶ Ἀριςοτέλει, (3) καὶ Πυθαγόρᾳ, καὶ Πλάτωνι, καὶ τοῖς Στωϊκοῖς, τοῖς τὰς μὲν αὔλους οὐσίας ἐκ Θεοῦ προϊέναι, καὶ εἰς Θεὸν ἐπανιέναι ὑποθεμένοις, τὴν δὲ ὕλην διαιωνίζουσαν. Τὸν γὰρ τρόπον μὴ ἐξικνούμενοι τῆς ἐκ μὴ ὄντων τινὸς ὑποςάσεως, καὶ ἐν τῇ ἀ„ σθενείᾳ τῶν οἰκείων λογισμῶν, τὴν ἀκατάληπτον διανοίᾳ, καὶ ἄφατον παντελῶς ἀνθρωπίνῃ φωνῇ, δύναμιν „ ἐκμετροῦντες, τὴν ἄποιον, τὴν ἀνείδεον, τὴν ἐσχάτην „ ἀμορφίαν, τὸ ἀδιατύπωτον αἶσχος, τῆς αὐτῆς προεδρείας „ τῷ σοφῷ, καὶ δυνατῷ, καὶ παγκάλῳ Δημιουργῷ, καὶ κτίςῃ „ τῶν ὅλων, ἠξίωσαν. (4) Καί τοι οὐ παρὰ τὴν ἄγνοιαν τῆς

(1) Βασίλ. Ἑξαημ. Ὁμιλ. α΄.
(2) Παρὰ Λαερτ. Βιβλ. θ΄.
(3) Φυσικῶν Βιβλ. α΄. Κεφ. δ΄.
(4) Βασίλει. Ἑξαημ. Ὁμιλ. β΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῦ ὅπως ἐςὶ, καὶ τὸ ὅτι ἐςὶν αὐτὸ συνεκκρυςέον τῆς γνώσεως· ἢ δὴ, εἴπερ, καὶ τῶν ὀφθαλμῶν τὸν ἕτερον πεπηρωμένῳ, συνεξορυκτέον δὴ καὶ τὸν ἕτερον. Ἀλλὰ γὰρ ἡμῖν ἐπεὶ τὰς ἀρχοειδεςάτας, καὶ μὴ συνθέτυς τῶν οὐσιῶν, ἐκ μὴ ὄντος ἁπλῶς παρῆχθαι, φθάσαν ςεῤῥῶς ἀποδέδεικται, ὑπὸ δὲ μὴ ὄντος οὐχὶ, κείσεται τὸ δόγμα ἀραρός τε καὶ ἀδιάσειςον, μέχρις οὔτις τῶν ταλαντεύειν τῦ Θεοῦ τὸ ἀπειροδύναμον θρασυνομένων τύτων, ἀποδείξειεν ἐκ τῦ ἀκολούθυ τῇ δόξῃ παρασυμβαίνυσαν τὴν ἀντίφασιν. (§. μς'. ρας'.) Ἀλλ' ὐκ ἂν ἔχοι. Κρατεῖ γὰρ ὁ περὶ τῆς Δημιυργίας λόγος, καὶ αὐτῷ τῷ νοὶ φυσικῶς ἐπιλάμπων, κἂν ὁ τρόπος ἡμῖν ἀνεξείκαςος.

## Θεώρημα ΡΙΖ'.

§. σξά. „ Η ἐκ τῦ μὴ ὄντος εἰς τὸ εἶναι παρακτικὴ „ ὐσίας Οὐσία, ἄπειρος πάντως ἐςὶ τὴν δύναμιν.

Ἡ γὰρ ἀπὸ τῦ μηδαμῇ μηδαμῶς εἶναι, ἀπόςασις τοῦ ἐνεργείᾳ τὶ εἶναι, ἄπειρος ἐςὶν, ὥςγε ἀπὸ τῦ ἀφ' ὗ πέρατος ἀπόντος, (ἐξ ὑποθ.) καὶ ὅτι ὐδὲν τῷ ὄντι καὶ τῷ μὴ ὄντι προσήκει κατηγόρημα κοινόν· τὴν δὲ ἄπειρον ὖσαν ἀπόςασιν, διαδραμεῖν τε καὶ ὑπερβῆναι, ἀπείρυ πάντως ἂν εἴη τινὸς δυνάμεως· εἰ μὴ δέοι κρεῖττον ὁπωσῦν εἶναι λέγειν τῆς παραγύσης αἰτίας τὸ παραγόμενον. (§. οζ'. οή.) Ἡ ἄρα ἐκ τῦ μὴ ὄντος εἰς τὸ εἶναι παρακτικὴ ὐσίας Οὐσία, ἄπειρος κτ.

## Πόρισμα.

§. σξβ'. Τῆς ὑπερυσίυ ἄρα, καὶ ἀπειροτελείυ Οὐσίας (§. σνβ'.) τὸ ἐκ τῦ μηδενὸς ἁπλῶς τὰ ὄντα παράγειν, (§. σνθ'. σξ'.) τῆς δὲ πεπερασμένης, καὶ ἀτελῦς (§. σνή.) ὐδαμῶς.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΡΙΗ΄.

§. σξγ΄. „ Ουσίας της καθ᾽ ὕπαρξιν ἐνδεχομένης, ἡ εἰς „ τὸ παύτη μὴ ὂν ῥοπὴ δυνατή. Δεῖ γενῶν τὴν ῥέψασαν οὐσίαν, εἶναι τὴν δύναμιν ἄπειρον.

Εἰ μὴ γὰρ τὸ ἐξ ὄντων αὐτὴν γίνεσθαι δυνατὸν, ἀδύνατος ἔσται αὐτῆς ἡ ἀνυπαρξία. Καὶ οὕτως αναγκαία ἔσται τὴν ὕπαρξιν. ( §. σα΄. σβ΄. ) Ἀλλὰ καὶ ἐνδεχομένη, ( ἐξ ὑποθ. ) ὅπερ ( §. λ΄. ) ἀδύνατον. Ἄρα κτ. Ὃ ἔδει τὸ Α΄.

Εἶτα καὶ ἡ ἀπὸ τοῦ εἶναι ἐπὶ τὸ παύτη μὴ εἶναι ἀπόστασις, ἄπειρος ἐστὶ παρὰ τὴν ἀπουσίαν τοῦ πρὸς ὃν ὅρου. ( ἐξ ὑποθ. ) Καὶ ὅτι οὐδὲν τῷ ὄντι καὶ τῷ μὴ ὄντι κοινὸν, ὥσπερ καὶ ἐπὶ τοῦ ἀνάπαλιν εἴρηται ( §. σξα΄. ) διιέναι δὲ διὰ τοῦ ἀπείρου οὐ παντὸς, ἀλλ᾽ εἴπερ ἂν καὶ ἡ δύναμις εἴη ἄπειρος. ( §. οζ΄. οη΄. ) Ἄρα κτ. Ὃ ἔδει τὸ Β΄.

## Πόρισμα.

§. σξδ΄. Της αὐτῆς ἄρα ὑπερτελοῦς οὐσίας ( §. σνβ΄. ) τὸ εἰς τὸ παύτη μηδὲν ἀγαγεῖν ἔχειν τὰ ὄντα φήσομεν εἶναι, τῆς ἐκ μὴ ὄντων αὐτὰ ὑποστησαμένης. ( §. σξβ΄. )

## Σχόλιον.

§. σξε΄. Καὶ αὐτοὶ τοίνυν τοῖς φυσικοῖς συναινέσομεν μηδὲν εἶναι ἐκ τοῦ μηδενὸς γενέσθαι, μηδέν τε εἰς τὸ μὴ ὂν καταντῆσαι, δυνάμει τῶν ἐν τῇ φύσει αἰτίων. πεπέρασται γὰρ τούτων ἡ δύναμις, καὶ ὅρους ἔχει, οὓς οὐκ ἔστιν αὐτοῖς ὑπερβῆναι, κρατοῦντας ἐξ ἀνάγκης, τούτων ἐντὸς ἐνεργοῦσιν, ἕως οὗ δόξῃ τῷ τάξαντι. Πάλαι γὰρ ἂν ἄλλως συνεταράχθη ὁ τῶν ὁρωμένων διάκοσμος, καὶ πλεῖστα ἂν ἐκ τῶν ὄντων ἐγένετο μηκέτι ἀναφαινόμενα, πλεῖστά τε τὴν ὑπόστασιν ἂν ἔχον, ἀφανῆ τὸ πρὶν καὶ ἀλλόκοτα. Οὐδ᾽ ἂν ἤργησεν ἐπὶ τοσοῦτον ἡ φύσις εἰς ἐνέργειαν ἀγαγεῖν τὸ περιὸν τῆς ἐνού-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐνούσης αὐτῇ δυνάμεως, εἰ μὴ μάτην καὶ πλουτεῖν αὖ δόξειε λέγειν, ἰσχὺν ἣ μηδέποτε χρήσαιτο· ὡς αὐτὸ τοῦτο ὑπονοεῖν περὶ Θεοῦ τοῦ ὑπερουσίου ἄλογον. Τὸ μὲν γὰρ, δυνηθέντα, εἰς τὸ εἶναι μεταπέμψασθαι τὰ ὄντα (§. σξβʹ.) ἤρεσεν εἰς ἔνδειξιν αὐτοῦ τῆς ὑπεραγάθου δυνάμεως. Τοῦτο γὰρ ἔμφασις ὑπερτελοῦς ἐστὶν ἀγαθότητος· ὅτι τὸ ἀγαθὸν, καὶ μεταδοτικὸν ὡς εἰκὸς ὕμνηται. Τὸ δὲ παλίνοδα ἀνακαλέσαι εἰς τὸ μηκέτ' εἶναι, παρ' αὐτοῦ κεῖται, (§.σξδʹ.) ὡς οὐκ ἐλάσσονος οὐδὲ τοῦτο ἐπιδεὲς τυγχάνον ἰσχύος (σξγʹ.) ἢ ἐκεῖνο. (§. σξαʹ.) Τὴν δὲ δημιουργητὴν φύσιν τῆς ἀπειρίας ἄπειρον ὅσον ἀπολειπομένην, (§. σνηʹ.) τὸ ἀπείρου δυνάμεως ἐξηρτημένον ἀποτελέσαι ἀδύνατον.

## Θεώρημα ΡΙΘʹ.

§. σξςʹ. „ Ὁμολογητέον ἐν τῷ ὑπερουσίῳ αἰτίῳ νοερῶς „ ἐνεῖναι, τὰς ἀπαξαπάντων τῶν ἐνδεχομένων, τῶν τε ἐνερ„γείᾳ ὑφεστώτων, καὶ τῶν δυνατῶν οὐσίας ἀτρέπτως τε, καὶ „ αἰωνίως.

Ἡ γὰρ ὑπερούσιος τῶν πάντων ὑπεριδρυμένη αἰτία, μόνη πάντως παρακτικὴ, εἴη μὲν τῶν ὑφεστώτων, γένοιτο δ' αὖ τῶν δυνατῶν, οὐσία οὖσα ἄπειρος τὴν δύναμιν. (§ σνθʹ. σξʹ. σξαʹ. σξβʹ.) Ἔστι δ' ἀσώματος ἡ ὑπερουσιότης, (§. σνγʹ.) καὶ ἐν ὑπερτελεῖ ἀπειρίᾳ (§. σνβʹ.) νοερά. ΝΟΥΣ ἄρα ἐκεῖνος, ὁ ἀπείρῳ τε καὶ ὑπερτελεῖ λόγῳ, τὰ μὲν ὑφεστῶτα νεύματι μόνῳ οἷος ὢν παράγειν, τὰ δὲ δυνατὰ δυνάμενος, τὰς ἀπαξαπάντων οὐσίας, ὧν παρακτικὸς ἐστὶ βουλόμενος, ὧν τε δύναται βουληθεὶς, νοερῶς περιενήνοχεν. Ἄτρεπτος δὲ ὢν, (§. σιζʹ. σκςʹ. σνβʹ.) καὶ ἀτρέπτως. Αἰώνιος δὲ, (§. σιεʹ. σκςʹ. σνβʹ.) καὶ αἰωνίως. Ἄρα κτ.

## Σχόλιον.

§. σξζʹ. Ἄγε δὴ σύμμοι ἔξω τοῦ θυλακίου μικρὸν προκύψας, καὶ πτερώσας τὸν νοῦν, ὡς ὑπὲρ τὴν ὕλην καὶ τὴν



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αἴσθησιν μετάρσιον αἵρεσθαι, περίελθε τὴν ἑστίαν τοῦ Πλάτωνος, καὶ τοῦ ὑπερκοσμίου νοεροῦ Κόσμου γενοῦ θεωρός. Ἅπαντα ἐν ἐκείνῳ ἀρχαίοις εἰκόσι τετύπωται ὅσαθ᾽ ὑπέστη, ὅσαθ᾽ ὑφίσταται, ὅσα τε ὑποστήσεται, καὶ πρός γε πέρατος ἐκτὸς, καὶ ἀριθμοῦ ἐπέκεινα παντὸς, καὶ οἷς οὐκ ἀδύνατον ἐστὶν ὑποστῆναι. Ἁπάντων γὰρ ἡ τῶν πάντων ὑποστατικὴ δύναμις τὰς δυνάμεις, ἥτε οὐσιοποιὸς οὐσία τὰς οὐσίας, καὶ ἡ ὑπερτελὴς τελειότης τὰς τελειότητας, κατὰ λόγον λόγου κρείττονα περιείληφε· μᾶλλον δὲ περιέχει, τὰ μὲν πεπερασμένα ἀπείρως, τὰ δὲ πεπληθυσμένα ἑνιαίως, τὰ δὲ ὑπὸ τροπὴν ἀναλλοιώτως, τὰ δὲ ἐν χρόνῳ αἰωνίως· οὐκ ἔξω αὐτῆς, ἀλλ᾽ ἐν αὐτῇ. Οὐδ᾽ ἐξ ἀρχῆς, ἀλλ᾽ ἐν ἀρχῇ ἑαυτῇ. Οὐδὲ μεθεκτῶς, ἀλλὰ μεθεκτικῶς. Καὶ ἀδιαστάτως, οὔτε συνημμένως, ἀλλ᾽ ἡνωμένως. Ἐκείνη γὰρ ὑπὲρ πάντα ἡ μακαρία καὶ ἀκροτάτη φύσις, καὶ ἅπαντα, ὡς πάντων μὲν ἐξόχως περιληπτικὴ, ἐκείνων δὲ πρωτουργὸς αἰτία, καὶ δημιουργικὴ, ὧν αὖ βούληται. Ταῦτα μὲν οὖν ἀπὸ τῶν Πλάτωνος μεταλλείων ἀνορυκτέον χρυσοῦ ἀκιβδήλου καθαρὰ ψηγμάτια, ἀπολιποῦσιν ὅσον γεηρὸν, ἢ ὑπόχαλκον. Οὐ γὰρ αὐτοάνθρωπον, καὶ αὐτόϊππον ἐκτὸς τοῦ Δημιουργοῦ
„ ἱδρυτέον, ἀλλ᾽ ὅ φησὶ Πλούταρχος (1) ἐν τοῖς νοήμασι,
„ καὶ ταῖς φαντασίαις τοῦ Θεοῦ, τοῦ νοῦ, τὰς ἰδέας ἀναθε-
„ τέον. Ὡρισμένα τέ τινα παραδείγματα ταῦτα ὑποληπτέον
„ κατὰ τὸν Πλατωνικὸν Δίδυμον, (2) ὧν τὰς ἐπιστήμας γίνε-
„ σθαι, καὶ τοὺς ὅρους... Εἶναι δὲ τὴν ἰδέαν ἀΐδιον οὐσίαν,
( §. σλβ΄. οὐσίαν μοι νόει νοεράν. ) αἰτίαν καὶ ἀρχὴν,
„ ( παραδειγματικὴν δηλονότι. §. να΄. ) τοῦ ἕκαστον εἶναι
„ τοιοῦτον, οἷα ἐστὶν αὕτη. Καὶ γὰρ, ὡς ἄριστα τῶν Ἀττικῶν
„ διηρμήνευται νοήσας Θεὸν αὐτὸς, ( ὁ Πλάτων ) ὡς τῶν
„ ἁπάντων Πατέρα, καὶ δημιουργὸν, καὶ δεσπότην, καὶ κη-
„ δεμόνα, καὶ γνωρίζων ἐκ τῶν ἔργων, τὸν τεχνίτην πρό-
„ τερον νοῆσαι τοῦτο, ὃ μέλλει δημιουργήσειν, εἶθ᾽ οὕτω τῶν
„ νοη-

(1) Πλούτ. Ἀρεσκ.
(2) Ἐκ τῶν Διδύμ. Περὶ τῶν Ἀρεσκόντ. τῷ Πλάτωνι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ νοηθέντι κατόπιν ἐπὶ τῶν πραγμάτων προσάγειν τὴν ὁ-
„ μοιότητα, ταυτὸν δὴ τὰ τοῦ Θεοῦ νοήματα πρεσβύτερα τῶν
„ πραγμάτων. Τὰ τῶν γινομένων παραδείγματα ἀσώμα-
„ τα, καὶ νοητὰ, κατὰ τὰ αὐτὰ, καὶ ὡσαύτως ἔχοντα ἀεὶ, καὶ
„ μάλιστα μὲν πρώτως αὐτὰ ὄντα, παραίτια δὲ καὶ τοῖς ἄλ-
„ λοις τοῦ εἶναι τοιαῦτα ἕκαστα, οἷά περ ἐστὶ, κατὰ τὴν πρὸς
„ αὐτὰ ὁμοιότητα, συνιδὼν ὁ Πλάτων οὐ ῥᾶστα ὀφθῆναι..
„ περὶ ταῦτα φησὶ, καὶ τὴν τούτων νόησιν, τὴν σοφίαν εἶ-
„ ναι, καὶ τὴν ἐπιστήμην. Πολλοὶ δὲ, καὶ τῶν παρ' ἡμῖν ἱε-
ρῶν γραφῶν, ἀπομίμημα ὂν τὸ τῶν ἰδεῶν δόγμα ἐφώρα-
σαν. Εἰ γάρ τις ἐθελήσειεν, ὡς Φίλων ὁ Ἰουδαῖος φησὶ (1)
„ γυμνοτέροις χρήσασθαι τοῖς ὀνόμασιν, οὐδὲν ἂν ἕτερον εἴ-
„ ποι τὸν νοητὸν κόσμον, ἢ Θεοῦ λόγον ἤδη κοσμοποιοῦν-
„ τος. Οὐδὲ γὰρ ἡ νοητὴ πόλις ἕτερόν τι ἐστὶν, ἢ ὁ τοῦ
„ ἀρχιτέκτονος λογισμὸς, ἤδη τὴν νοητὴν πόλιν κτίζειν
„ διανοουμένου. Τὸ δὲ δόγμα τοῦτο Μωσέως ἐστὶν, οὐκ ἐμόν.
Συνῳδὰ δὲ τούτοις, καὶ τὰ τοῦ θεσπεσίου Κλήμεντος. (2) Κό-
„ σμον τε γὰρ, φησὶν, αὖθις τὸν μὲν νοητὸν οἶδεν ἡ βάρ-
„ βαρος φιλοσοφία, τὸν δὲ αἰσθητόν. Τὸν μὲν ἀρχέτυπον,
„ τὸν δὲ εἰκόνα τοῦ καλοῦ παραδείγματος. Καὶ τὸν μὲν ἀ-
„ νατίθησι μονάδι, ὡς ἂν νοητὸν, τὸν δὲ αἰσθητὸν ἑξάδι·
„ γάμος γὰρ παρὰ τοῖς Πυθαγορείοις, ὡς ἂν γόνιμος ἀριθ-
„ μὸς ἡ ἑξὰς καλεῖται. Καὶ ἐν μὲν τῇ μονάδι συνίστη-
„ σιν οὐρανὸν ἀόρατον, καὶ γῆν ἁγίαν, καὶ φῶς νοητόν· ἐν
„ ἀρχῇ γὰρ φησὶν ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν, καὶ τὴν
„ γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος. Εἶτ' ἐπιφέρει, καὶ εἶπεν ὁ
„ Θεὸς γενηθήτω φῶς, καὶ ἐγένετο φῶς. Ἐν δὲ τῇ κοσμογο-
„ νίᾳ τῇ αἰσθητῇ στερεὸν οὐρανὸν δημιουργεῖ· τὸ δὲ στερεὸν
„ αἰσθητόν· γῆν τε ὁρατὴν, καὶ φῶς βλεπόμενον. Ἆρ' οὐ δο-
„ κεῖ σοι ἐντεῦθεν ὁ Πλάτων ζώων ἰδέας ἐν τῷ νοητῷ ἀ-
„ πολείπειν κόσμῳ, καὶ τὰ εἴδη τὰ αἰσθητὰ, κατὰ τὰ γένη
„ δημιουργεῖν τὰ νοητά; Καὶ παραπλησίως τὰς ἰδέας ἀπο-
δέ-

(1) Φίλων. Περὶ τῶν παρὰ Μωσεῖ ἰδεῶν.
(2) Ἐν ς'. Στρωμ.

δέχεται ὁ Θεῖος Δαμασκηνός. Δεύτερος γὰρ τρόπος εἰκόνος,
" ἡ ἐν τῷ Θεῷ τῶν ὑπ' αὐτοῦ ἐσομένων ἔννοια· τουτέστιν ἡ
" προαιώνιος αὐτοῦ βούλησις, ἡ ἀεὶ ὡσαύτως ἔχουσα. Ἄ-
" τρεπτον γὰρ τὸ Θεῖον, καὶ ἡ βούλησις αὐτοῦ ἄναρχος· ᾗ
" καθὼς προαιωνίως ἠβουλήθη ἐν τῷ προορισθέντι ὑπ' αὐ-
" τοῦ καιρῷ γίνεται τὰ ὁρισθέντα. Εἰκόνες γὰρ καὶ παραδείγ-
" ματα τῶν ὑπ' αὐτοῦ ἐσομένων, ἡ περὶ ἑκάστου αὐτῶν ἔν-
" νοια, οἳ καὶ προορισμοὶ παρὰ τῷ Ἁγίῳ Διονυσίῳ ὀνο-
" μάζονται. Ἐν γὰρ τῇ βουλῇ αὐτοῦ ἐχαρακτηρίζετο, καὶ εἰ-
" κονίζετο πρὶν γενέσεως αὐτῶν τὰ ὑπ' αὐτοῦ προωρισμένα,
" καὶ ἀπαραιτήτως ἐσόμενα.

## Περὶ Δυνάμεως, καὶ Ἐνεργείας, καὶ περὶ Φύσεως.

§. σξή. Ὅτι μὲν δύναμις ἐστὶ κυριώτατα, ἡ ἀρχὴ τῆς κινήσεως, καὶ τῆς μεταβολῆς, ἐν ἑτέρῳ, ᾗ ἕτερον, εἴρηται· (§. ρξβ΄.) ὅσαγ' ἀνῆκε, τοὺς τρόπους τοῦ δυνατοῦ θηρωμένοις. Ἐνταῦθα δὲ τὸν ἀκριβέστερον περὶ δυνάμεων λόγον ἀναλαβόντες εἴπωμεν, ὡς ἡ τεθεῖσα τῆς κινήσεως, καὶ τῆς μεταβολῆς ἀρχὴ διττῶς ἂν ἔχοι· ἤτοι γὰρ ἐν ἁπλῇ δεξιότητι κεῖται, ἢ ὁρμῇ τινὶ συνῆπται τῇ πρὸς ἐνέργειαν. Καὶ ἡ μὲν ἀνέπεικτος, ὡς εἰπεῖν, καὶ γαληναία τὶς δύναμις οὖσα, ἐπιτηδειότης τις πρὸς τὸ ἐνεργεῖν ἂν ὁρισθείη. (ἡ γὰρ πρὸς τὸ παθεῖν καταχρηστικώτερον δύναμις, καὶ ἄντικρυς ἀδυναμία) ἢ γοῦν δυνατότης τις (εἰ οὕτω χρὴ λέγειν) εἰς ἐνέργειαν, οὐδ' ἀεὶ ἐνεργοῦσα, οὐδ' ἀεὶ ἐπὶ τὸ ἐνεργῆσαι ἀποδοῦσα, ἀλλ' ἐκ διαλειμμάτων· φαίης ἂν παραπλησίαν εἶναι τῶν κρενῶν τοῖς μὴ ἀενάοις. Τοιαῦται πολλαὶ τῶν ἐν ἡμῖν, καὶ τοῖς οὖσι δυνάμεων, οἷον ἡ φανταστικὴ, ἡ γελαστικὴ, ἡ κινητική· οὐ γὰρ ἀεὶ φανταζόμεθα, οὐδὲ γελῶντες ἐσμὲν ἀδιάλειπτον, οὐδὲ κινοῦμεν ἀεί τι. Καὶ ἡ χρεμετιστικὴ ἐν ἵπποις, καὶ αἱ παραπλήσιαι.

§. σξθ΄. Ἡ δὲ μετ' ἐπείξεως, καὶ ὁρμῆς διττή· ἤτοι γὰρ ἀπαραπόδιστος ἐστὶ, καὶ ὅλως ἀκατάσχετος, ἐνδελεχῶς τε καὶ ἀεν-

ἀεν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ἀνενδότως, ὅσον γε τὸ ἐπ' αὐτῇ ἐνεργοῦσα, μηδὲ παυομένη· (εἰκάσαις ἂν τῶν πηγῶν ταῖς ἀειῤῥόοις) τοιαύτη δὲ ἡ τῆς φλογὸς δύναμις, ἡ φωτιστικὴ τοῦ ἡλίου, καὶ εἴτις ἄλλη τοῦ τοιούτου γένους· ἡ γοῦν ἐπικρατοῦντος τοῦ προσισταμένου, μόνη σώζεται ἡ πρὸς ἐνέργειαν ἀνίκητος σπουδὴ, καὶ ψιλὴ μὲν, ἀλλ' ἐῤῥωμένη ἐντελέχεια· οἵαν ἔπεστιν ἰδεῖν, τὴν ἐν τοῖς διὰ βάρος καταφέρεσι τῶν σωμάτων, τοῖς ἐν μετεώρῳ ἀεὶ ἀπῃωρημένοις διηνεκῆ βαροῦσιν. Τούτων ζῶσαν μὲν τὴν πρώτην, νεκρὰν δὲ τὴν δευτέραν, καλεῖν χαίρουσιν οἱ Νεώτεροι, συντομίας χάριν τῆς ἐν ταῖς περὶ τούτων ἐρεύναις ἀπαιτουμένης, ὀνομαθετεῖν συγχωρούμενοι.

§. σο'. Ἐνέργεια δέ ἐστι τὸ παρὰ τῆς δυνάμεως ἀμέσως προβαλλόμενον, καὶ ταύτης ἤτοι ἐν διαλείμμασιν, ἢ ἀδιαλείπτως ἐκπηγάζον μετ' αὐτοτελοῦς τῆς ἐκβάσεως, ἢ καὶ μόνην τὴν ὁρμὴν, διὰ τὸ ἐμποδὼν ἱστάμενον. (§. σξη'. σξθ'.) Ἀμέσως δὲ εἴρηται διὰ τὰ ἀποτελέσματα, ἅπερ ἐν πολλοῖς διακριτέον τῶν ἐνεργειῶν αὐτῶν. Ἀεὶ γοῦν ἐξῆπται τῆς μὲν οὐσίας, ἡ δύναμις, ἐσωτερικῶς τε καὶ ἀναγκαίως, τῆς δὲ δυνάμεως ἡ ἐνέργεια, (1) ὡς ἀδύνατον ὂν τὶ τῶν ὑστέρων, ἄνευ τοῦ φύσει προτέρου εἶναι, ἀνάπαλιν δὲ ἐν μέρει ἴσως δυνατὸν, ἐπὶ δέ τινων, καὶ πάνυ προδήλως. Καὶ γὰρ καὶ οὐσίαι στερήσεις δυνάμεων τὰ πολλὰ πάσχουσι, καὶ δυνάμεις εἰσὶν αἳ οὐκ ἀεὶ ἐνεργοῦσιν. (§. σξη'.) Προσσημειωτέον δὲ τοῖς εἰρημένοις καὶ τοῦτο, ὡς ἡ ἐνέργεια τῷ ὑποκειμένῳ οὖσα ἡ αὐτὴ, σχέσει διαφέρουσα λέγεται, καὶ πρὸς μὲν τὴν ἐξ ἧς ἐκπηγάζει δύναμιν, αὐτὸ τοῦτο ἐνέργεια καλουμένη, πρός γε τὸ δεκτικὸν αὐτῆς γινόμενον, πάθος ἤ-

(1) Τὸ γινόμενον ἅπαν, καὶ ἡ γένεσις αὐτὴ, οὐ δίχα δυνάμεως· ἡ „ δὲ δύναμις αὐτὴ οὐκ ἄνευ οὐσίας.... Ἀπὸ δὲ τῆς δυνάμεως μεταξὺ „ οὔσης, ἡ μὲν οὐσία δυνάμενον, ἡ δὲ γένεσις, καὶ τὸ γινόμενον ἄμφω „ δυνατά. Πλουτάρχ. Περὶ Εἱμαρμένης.
„ Τριῶν τοίνυν τούτων δυνάμεως, καὶ δυναμένου, καὶ δυνατοῦ, δυνάμεως „ μὲν, ὡς τὸ εἶναι, προϋπόκειται τὸ δυνάμενον, δυνατοῦ δὲ ἡ δύναμις „ προϋφίσταται. Αὐτ.



Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

κῶσαν· οἷον ἡ τοῦ λίθου πρόεσις, ἐνέργεια μὲν ἐστὶ τῆς ἐν τῇ χειρὶ προιείσης δυνάμεως, πάθος δὲ τῷ λίθῳ τῷ προϊόντι.

§. σοα΄. Καλῶς καὶ οἱ Γερμανοὶ Φιλόσοφοι τὴν ἐνέργειαν, καὶ τὸ πάθος μεταβολὴν ὁρίζονται, εἴγε ἀρχὴ τῆς μεταβολῆς ταύτης ἡ δύναμις, ὡς καὶ Ἀριστοτέλει (1) δοκεῖ. (§. σξη΄. σο΄.) Ἀλλ᾽ ἐκείνῳ μὲν ἐνέργεια, ἡ ἐν ἑτέρῳ ἢ ἕτερον, πάθος δὲ ἡ ὑφ᾽ ἑτέρου ἢ ἕτερον μεταβολή, ὧν τὸ μὲν τὸν πρὸς ὃν ὅρον ἐμφαίνει, τὸ δέ, τὸν ἀφ᾽ οὗ. Τούτοις δὲ ἐνέργεια ἐστίν, ἐὰν ὁ ἀποχῶν λόγος τῆς μεταβολῆς, αὐτῷ ἐνυπάρχῃ τῷ μεταβάλλοντι. Πάθος δέ, ἐὰν ἔξω τοῦ μεταβάλλοντος· ἧπου δὲ τὸ κατὰ τὸν Σταγειρίτην, ἐν ἑτέρῳ ἢ ἕτερον ἀεὶ τὴν κατ᾽ ἐνέργειαν μεταβολὴν ἐκβιβάζειν, μὴ παντῃ εἴη τὰς ἐμμόνους τῶν ἐνεργειῶν ἀποσκυάζειν πειρᾶσθαι τῆς φύσεως. Ἔοικεν, εἰ μήτις τὴν ἑτερότητα (ὅπερ ἴσως τὸ ἢ ἕτερον παρεμφαίνει) λόγῳ τε καὶ ἐπινοίᾳ ἐπ᾽ ἐνίων ἐκδέξοιτο. Ἀλλ᾽ εἰσὶν ἐνέργειαι, αἱ μὲν μεταβατικαί, αἱ δὲ ἔμμονοι, καὶ μεταβατικαὶ μέν, αἱ ἀλλοίωσίν τινα τῇ μηδαμῶς ἐνεργούσῃ, ἐπιδεχομένῃ δὲ τὸ πάθος φύσει ἀποτελοῦσαι, οἷον αἱ τοῦ πυρὸς καῦσις, καὶ αἱ παραπλήσιαι. Ἔμμονοι δέ, καθ᾽ ἃς ἡ μεταβολὴ ἐν αὐτῇ τῇ οὐσίᾳ μένει, ἀφ᾽ ἧς καὶ πρόεισι. Ταύτῃ τοι, τὸν κατὰ τοὺς Γερμανοὺς ὁρισμὸν ἐγκριτέον εἶναι δοκεῖ, καὶ ἐνέργειαν ἀποδοτέον, ἀρχῆς ἑαυτὴν μεταβαλλούσης μεταβολήν, ἤτοι (τῆς κινήσεως ἀνθ᾽ ὁποιασοῦν μεταβολῆς ληφθείσης) αὐτοκινησίαν τινά, τῆς οὐσίας. Πάθος δὲ μεταβολὴν ἀρχῆς, ἀφ᾽ ἑαυτῆς μὴ μεταβαλλούσης, τουτέστιν ἐκ τοῦ ἐναντίου, ἑτεροκινησίαν.

§. σοβ΄. Τῶν τοίνυν κατὰ τὰς ἀνωτέρω σημασίας, (§. σξη΄. σξθ΄.) δυνάμεων, τάς γε ποιότητας, καὶ τὰς ἐπιτάσεις ἐκ τῶν ἐνεργειῶν ἡμᾶς μετιέναι χρῆναι, καλῶς σεσημείωται, ὡς ἄρα ἐκ τῶν γνωριμωτέρων ἡμῖν, ἐπὶ τῶν ἧττον γνωρίμων ποδηγουμένους τὴν σύνεσιν. Ἕκαστον γὰρ ὡς ἐστίν, οὕτω καὶ ἔχειν πρὸς τὸ ἐνεργεῖν πέφυκε, καὶ ἐκ τοῦ καρ-
πῶ

(1) Μεταφ. Δ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποῦ τὸ δένδρον, φασὶ, γνωρίζεσθαι. Καὶ γάρτοι ῥίζῃ μὲν καὶ στελέχει τὴν οὐσίαν, κλάδοις δὲ καὶ ἀκρέμοσι τὰς δυνάμεις, πετάλοις δέγε καὶ ἄνθεσι τὰς ἐνεργείας, καρποῖς δὲ τὰ ἀποτελέσματα τούτων οὐ φαύλως παραβάλλοντες, τὰ ἀποφυόμενα, τῶν ὧνπερ ἐξῆπται, ἐναργεστέραν ἀεὶ φασὶ παρέχονται τὴν ἐμφάνειαν. Ἀλλὰ γὰρ ταῦτα, εἶναι μὲν ἐφ' ὧν ἀληθεύει ὁμολογητέον, ἐπὶ πάνυ δέτοι πλείστων καὶ σφάλλεσθαι· μυρίων γὰρ ὅσων ἐνεργημάτων ἐν τῷ παντὶ, αἰσθήσει τε, καὶ συνειδήσει ἀπτομένους, τῶν ἐνεργητικῶν δυνάμεων, ἀφ' ὧν ἐκεῖναι προέισιν, ἡ οὐσία καὶ φύσις, λανθάνουσα κέχωσται, μόλις ἀμυδροτάτῃ εἰκασίᾳ τινὶ, ἐφικτὴ ἡμῖν γινομένη, ὡς ἔστιν οὗ ὁ Ἄγγλος Λώκιος (1) ἀληθῶς ἔφησεν ἀποφηνάμενος.

§. σογʹ. Ἐπὶ πᾶσιν ἐκ τῶν εἰρημένων, καὶ τὸ κυριώτατον τῶν σημαινομένων τῆς φύσεως (καὶ γὰρ καὶ τὸ πᾶν φύσις εἴρηται, καὶ τὰ στοιχεῖα, ἥτε ὕλη καὶ τὸ εἶδος, καὶ ἡ οὐσία.) (2) εἰσβαλεῖν ἔσται. Αἱ γὰρ ἐπὶ ἑκάστῳ ἐνεργητικαὶ ἀρχαὶ, ἤτοι αἱ δυνάμεις, αἱ ἐνεῤῥιζωμέναι μὲν τῇ οὐσίᾳ, πολλῶν δὲ ἐνεργημάτων οὖσαι ἀποτελεστικαὶ, τοῦτο ἡ φύσις, καθ' ἣν τοιόνδε πέφυκεν ἕκαστον· κἂν τούτῳ μάλιστα διαφέρειν αὖ τις, τῆς οὐσίας τὴν φύσιν θήσειεν, ὅτι ἡ μὲν, πρός γε τὸ εἶναι καθ' ἑαυτὸ ἕκαστον, ὅ,τίποτε ἐστὶ νοούμενον, οὐσία καλεῖται· ἡ δὲ φύσις διὰ δυνάμεως ἀφορᾷ πρὸς ἐνέργειαν.

## Θεώρημα ΡΚʹ.

§. σοδʹ. „ Ἡ πρὸς ἐνέργειαν ψιλὴ δεξιότης, ἐνέργειάν „ τινα, ἐξ ἀνάγκης παρεπομένην συνεπιφέρειν οὐ δίδω- „ σιν. οὐδὲ μὲν οὖν ἡ πρὸς πάθος, πάθησιν.

Ἐπὶ γὰρ τῆς οὕτως ἐχούσης δεξιότητος, τὸ τῆς ἐνεργείας πολλάκις δυνατόν. (§. σξηʹ.) ἀλλὰ γὰρ τὸ δυνατὸν, οὐχ ἢ δυ-

(1) Βιβλίῳ Δʹ. Κεφ. γʹ. Περὶ τοῦ ἀνθρωπ.
(2) Ἀριστ. Δ. Μεταφ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἢ δυνατὸν, καὶ ὑπάρχον. (§. ρϟδ´.) Οὐκ ἄρα ἡ πρὸς ἐνέργειαν κτ. ὅπερ ἔδει τὸ Α´.

Ἐνεργείας δὲ αὐτῆ πάθος ἐδέν. (§. σο´.) Ἄρα ἐδ᾽ ἡ πρὸς πάθος δεξιότης, αὐτὴ τῆς πρὸς ἐνέργειαν. Ἀλλ᾽ ἡ πρὸς ἐνέργειαν ψιλὴ δεξιότης ἐνέργειάν τινα ἐξ ἀνάγκης παρεπομένην συνεπιφέρειν ἐ δίδωσιν. (καὶ τὸ Α´.) Ἄρα οὐδ᾽ ἡ πρὸς πάθος πάθησιν. Ο. Η. τὸ Β´.

## Θεώρημα ΡΚΑ´.

§. σοε´. „ Παρ᾽ ἔλλειψιν ἐνεργείας, ἐ κατηγορητέον ἀ„ δυναμίαν τῆς ἐσίας.

Οὐ γὰρ τὸ μὴ ὑπάρχον, παρ᾽ αὐτὸ καὶ ἀδύνατον. (§. ρϟζ´.) Καὶ ἀπέσα ἄρα ἐπὶ πολλῶν, δυνατὴ ἡ ἐνέργεια. (§. σξη´.) Εἰ δὲ δυνατὴ ἡ ἐνέργεια, πάρεστι πάντως ἡ δύναμις. (§. σο´.) Ἄρα παρ᾽ ἔλλειψιν ἐνεργείας κτ.

## Σχόλιον.

§. σος´. Θαυμαστὴν ὅσην ἔχει τὴν χρῆσιν ἐπὶ τῶν καὶ τὴν φύσιν συμβαινόντων τὸ θεωρηθέν. Πολλὰ γὰρ εἰσὶν ἀδρανῆ δοκεντα, καὶ πάντη ἀφυῆ πρὸς ἐνέργειαν, τὰ δὲ ἐχ ἔτως ἔμπης ἔχει καὶ φύσει, οἷα νομίζεται. Ἀλλ᾽ ἤτοι τῶν ἀπαιτεμένων τι εἰς ἐνέργειαν ἄπεστι, καί τοι τῆς πρὸς τὸ ἐνεργεῖν ὑπέσης δεξιότητος, ἤ τι δυνάμει σφοδροτέρα ἀντιβαῖνον, τὴν προϊέσαν ἐνέργειαν ἀπομαραίνει καὶ ἀποσβέννυσιν, (§. σξη´. σξθ´.) καὶ ἔτως ὅπερ αὐθενεστέρα τις ἀντενεργέσα ἐκόλεσε δύναμις, ὁ μὴ προσέχων εἰς ἀδυναμίαν παντελῆ τῷ πράγματι ἔθετο. Κἂν τοῖς ἤθεσι δὲ συμβαίνει τι παραπλήσιον. Ἀλλ᾽ ἔχει μὲν οὕτω ταῦτα, τὸ δὲ τῶν Μεγαρικῶν ἀτόπημα, τῶν οἰομένων ὅταν ἐνεργῇ μόνον „ δύνασθαι, ὅταν δὲ μὴ ἐνεργῇ, μὴ δύνασθαι, νεανικῶς τῷ Σταγειρείτῃ ἀπελήλεγκται. (1) Α´. γὰρ, φησὶν, εἰ ἀρχόμε„ νος

(1) Μεταφ. Θ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ νος ἐνεργεῖν, καὶ τῆς δυνάμεως ἤδη ἐγκρατὴς γίνεται,
„ παυσάμενος δὲ ἐκπίπτει ἅμα, πῶς μὲν ἐκεῖνο μὴ μα-
„ θὼν, πῶς δὲ τοῦτο μὴ λήθῃ, μὴ πάθει, μηδὲ χρόνῳ
„ ἀποβαλών; Β΄. ἔτε ὅλως αἰσθητόν τι ἔςαι μὴ αἰσθανομέ-
„ νοις, ὥςε τὸν Πρωταγόρου λόγον συμβήσεται λέγειν αὐ-
„ τοῖς. Γ΄. καὶ ἐδὲ αἴσθησιν ἕξει ἐδεὶς, ἂν μὴ αἰσθάνηται,
„ μηδ᾽ ἐνεργῇ, καὶ ἔπω τυφλοὶ ἔσονται οἱ αὐτοὶ πολλάκις
„ τῆς ἡμέρας, καὶ κωφοί. Δ΄. εἰ ἀδύνατον τὸ ἐςερημένον δυ-
„ νάμεως, τὸ μὴ γινόμενον ἀδύνατον ἔςαι γενέσθαι· τὸ δὲ
„ ἀδύνατον γενέσθαι ὁ λέγων εἶναι, ἢ ἔσεσθαι, ψεύσεται.
„ τὸ γὰρ ἀδύνατον, τῦτο ἐσήμαινεν· ὥςε ἔτοι οἱ λόγοι ἐ-
„ ξαίρεσι τὴν κίνησιν, καὶ γένεσιν. Ἀεὶ γὰρ τό,τε ἑςηκὸς
„ ἑςήξεται, καὶ τὸ καθήμενον καθεδεῖται· ἐ γὰρ ἀναςήσε-
„ ται ἂν καθέζηται. Ἀδύνατον γὰρ ἄρα ἀναςῆναι, εἴγε
„ μὴ δύναται ἀναςῆναι.

## Θεώρημα ΡΚΒ΄.

§. σοζ΄. Εἰσὶν ἐνέργειαι ἀλλήλαις ἀντιβαίνεσαι, διὰ δὲ
„ τῶν ἐνεργειῶν καὶ δυνάμεις, τῷ δὲ λόγῳ τῶν ἐν αὐταῖς
„ δυνάμεων, καὶ αἱ ἐσίαι, εἰ ἔςιν ἅττα ἐναντία.

Τῶν γὰρ ἐναντίων ὄντων, καὶ αἱ ἀποτελεςικαὶ ἐσαι ἐνέρ-
γειαι, ἅτε δὴ πρὸς ἐναντία ῥέπεσαι, καὶ αὐταὶ ἐναντίαι.
Τὸ ἄρα πρῶτον.

Ἀλλὰ γὰρ αἱ μὲν ἐνέργειαι τῶν δυνάμεων, αἱ δὲ τῶν ἐ-
σιῶν. (§. σό.) Ἄρα τῷ λόγῳ τῶν ὑςέρων, ἀντιβαίνον-
τα εἰσὶ καὶ τὰ πρότερα. Ὃ τὸ Β΄. καὶ τὸ Γ΄.

## Πόρισμα.

§. σοη΄. Φανερὸν δὲ ἐντεῦθεν, καὶ ἀντιπαθήσεις (§. σό.)
εἶναι, καὶ τέτων αὖ τῷ λόγῳ, καὶ δυνάμεις, (τὰς καταχρη-
ςικώτερον (§. σξη΄.) παθητικὰς μαχομένας· καὶ διὰ τέτων
τέως καὶ τὰς ἐσίας.

Σχό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Σχόλιον.

§. σοθ΄. Εἰδὲ τῇ οὐσίᾳ μὴ προσήκειν τἀναντία ἠξίωται, (1) καθ᾽ ἑαυτὴν γεμὴν, οὐ γὰρ τῷ λόγῳ τῶν ἐν αὐτῇ ἐνεργειῶν, καὶ δυνάμεων.

# ΚΕΦΑΛΑΙΟΝ ς΄.

## Περὶ Ἑνότητος καὶ Διαιρέσεως, Ταυτότητος καὶ Ἑτερότητος, Ὁμοιότητος καὶ Διαφορᾶς, Ἰσότητός τε καὶ Ἀνισότητος, καὶ περὶ Ἀντιθέσεων.

§. σπ΄. Τὴν τῶν συμβεβηκότων μετὰ τοῦ ὑποκειμένου, καὶ ἀνάπαλιν, καὶ ἀλλήλων ἐπὶ τοῦ αὐτοῦ πλοκὴν, τὴν τὸ κατὰ συμβεβηκὸς ἓν συνιστῶσαν παρεάσαντες, τὸ καθ᾽ αὐτὸ ἓν ὁριζόμεθα εἶναι, ὃ καθ᾽ ἑαυτὸ ἐστὶν ἀδιαίρετον. Καὶ γὰρ ὅσα „ μὴ ἔχει διαίρεσιν, ᾗ μὴ ἔχει, ταύτῃ ἓν λέγεσθαι, Ἀριστοτέλει (2) καὶ πᾶσι δοκεῖ. Ἐπεὶ δὲ τὸ μὴ ἔχειν διαίρεσιν διττῶς συμβαίνει. (ἤτοι γὰρ ἁπλῶς οὐκ ἔχει, ἢ πῇ.) Εἰ πῇ μὴ ἔχει, ἤτοι ποσῷ, ἢ φύσει. Καὶ ποσῷ μὲν λέγεται ἓν τῷ συνεχῆ εἶναι· συνεχῆ δὲ, ἢ τέχνῃ, οἷον φάκελλος δεσμῷ εἷς, καὶ ξύλα κόλλῃ ἕν· ἢ φυσικῶς τε καὶ ἀνεπιτεχνήτως, οἷον σκέλος, καὶ βραχίων. φύσει δὲ ἓν, ἤτοι ὕλῃ, ἢ γένει, ἢ τῷ εἴδει, ἢ τῷ ἀριθμῷ. Καὶ εἰ μὲν ὕλῃ, ἢ τῇ προσεχεῖ, οἷον ὕδωρ ἓν, καὶ οἶνος, κτ. ἢ τῇ πόῤῥω, οἷον ἅπαντα τὰ ἐκ τῶν στοιχείων ἕν. Γένει δὲ, οἷον ἄνθρωπος, καὶ ἵππος ἕν. Εἴδει δὲ, ὧν ὁ λόγος ὁ τοῦ τί ἦν εἶναι ἀδιαίρετος, πρὸς ἄλλον τὸν δηλοῦντα τὸ τί ἦν εἶναι, οἷον Σωκράτης καὶ Πλάτων. Ἀριθμῷ δὲ, ἡ ἄτομος οὐσία·

(1) Ὅρα Λογικ. Περὶ Οὐσίας.
(2) Μεταφ. Δ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὐσία μία· τοιαῦτα δὲ ἐστὶ τὰ ἁπλῶς ἕν. Ἁπλῶς οὖν ἕν, ὧν ἡ νόησις ἀδιαίρετος, ἡ νοοῦσα τὸ τί ἦν εἶναι, καὶ μὴ δυναμένη χωρισθῆναι, μήτε χρόνῳ, μήτε τόπῳ, μήτε λόγῳ. Παρὰ ταῦτα δὲ, καὶ πλεῖστα ἓν λέγεται, τῷ ἕτερόν τι ἢ ποιεῖν ( οἷον πολλοὶ ἄνθρωποι τὸ αὐτὸ ἕλκοντες. ) ἢ πάσχειν ( οἷον ὑφ' ἑνὸς βασιλευόμενοι, διδασκόμενοι. ) ἢ πρός τι ἓν εἶναι ( οἷον οἱ τὸν αὐτὸν ἀγρὸν κεκτημένοι. ) οἷς, εἰ βούλει, πρόσθες καὶ τὰ κατ' ἀναλογίαν ἕν, ὅσα ἔχει ὡς ἄλλο πρὸς ἄλλο· καὶ ταῦτα ἤτοι καθ' ὁμοιότητα λόγων, οἷα τὰ κυρίως ἀνάλογα, ἢ ἀνομοίως, ὡς τὰ ἀφ' ἑνὸς, ἢ πρὸς ἓν λεγόμενα· μάλιστα μὲν οὖν ἕν, τὸ ἁπλῶς ἕν· τοῦτο δ' ἐστὶ τῷ ἀριθμῷ ἕν· τὸ γὰρ τῷ καθόλου εἶναι, ἤτοι γένει, ἢ εἴδει ἕν, ἢ ἰδέα τις οὖσα τυγχάνει, κοινῇ πλειόνων γινομένη παραστατικὴ, τῷ εἴδει, ἢ τῷ ἀριθμῷ διαφερόντων· ἢ φωνὴ πλειόνων σημαντική. (1) Ὁμοίως δὲ, καὶ τὸ κατ' ἐνέργειαν ἕν, πλειόνων τις ἐνέργεια ἐστὶν ἀποτελεστική. Πράγματι δὲ ἕν, καὶ καθόλου τὸ αὐτὸ οὐκ ἂν εἴη, κἂν εἴτι καὶ λέγοιεν οἱ τῷ Σκότῳ ἑπόμενοι, καὶ Κορυδαλεὺς σὺν αὐτοῖς, ὁ τοῦ ἐκείνων φρονήματος ὅλαις δυνάμεσι προϊστάμενος.

§. σπα'. Τὸ τοίνυν ἁπλῶς ἓν καὶ οἱ Σχολαστικοὶ ὁριζόμενοι, τὸ καθ' αὑτὸ μὲν, φασὶν εἶναι, ἀδιαίρετον, παντὸς δὲ ἄλλου διαιρετὸν, ἐξ Ἀριστοτέλους ἐπιδήλως τὰς ἀφορμὰς λαβόντες, τοῦ τῇ ἀδιαιρεσίᾳ συνάψαντος τὴν ἑνότητα· οἷς καὶ συνᾴδειν ἔοικεν ὁ εἰπὼν τὸ ἓν πρόσθ' ἑαυτὸ λέγεσθαι, καὶ πρὸς ἕτερα. Τὸ μὲν γὰρ ᾗ ἐκπέφευγε καθ' ἑαυτὸ τὴν διαίρεσιν, τὸ δὲ, ᾗ τῶν παρ' αὐτὸ παντὸς ἄλλου διῄρηται, καὶ χωρὶς τέτακται.

§. σπβ'. Ὁσαχῶς οὖν τὸ ἓν εἴρηται, τοσαυταχῶς ἂν καὶ τὰ πολλὰ λέγοιτο. Φανερὸν γὰρ ὅτι τὰ πολλὰ ἀντικειμένως λεχθήσεται τῷ ἑνί. Τὰ μὲν γὰρ τῷ μὴ συνεχῆ εἶναι, τὰ δὲ τῷ διαιρετὴν ἔχειν τὴν ὕλην κατά τι εἶδος, ἢ τὴν πρώτην, νόει μοι τὴν προσεχῆ, οἷον οἶνος καὶ ἔλαιον, ἢ τὴν τελευταίαν καὶ πορρωτάτω, οἷον οἶνος καὶ λίθος.

(1) Λογικ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θος. Τὰ δὲ πρὸ τὰς λόγους πλείους ἔχειν τὰς τὸ τί ἦν εἶναι λέγοντας.

## Θεώρημα ΡΚΓ'.

§. σπγ'. „ Τὸ ἁπλῶς ἓν ἐστὶν ὄν.

Τοῦτο γὰρ ἐστὶ τὸ ἓν τῷ ἀριθμῷ, οὗ τὸ τί ἦν εἶναι ἀδιαιρέτως καὶ χρόνῳ, καὶ τόπῳ, καὶ λόγῳ ἐστὶ νοούμενον. (§.σπ'.) Τὸ δὲ μὴ ὄν, οὐ χρόνῳ, οὐ τόπῳ, οὐδ' ἁπλῶς λόγῳ ἐστὶ νοητόν. (§. ρνβ'.) Τὸ ἄρα ἁπλῶς ἓν ἐστὶν ὄν.

## Θεώρημα ΡΚΔ'.

§. σπδ'. „ Τὸ ὄν, καὶ ἓν ἐστὶν ἀντιστρέφοντα.

Τὸ γὰρ ὄν, καὶ ἕν. (§. σμβ'.) Τὸ δὲ ἓν καὶ ὄν. (§. σπγ'.) Ἄρα κτ.

## Σχόλιον.

§. σπε'. Σημαίνει γοῦν τὸ αὐτόπως τὸ ἓν καὶ τὸ ὄν, ὡς Ἀριστοτέλης φησί. (1) Α'. ὅτι ἰσαχῶς λέγεται τὸ ὄν, καὶ τὸ ἕν· ὥσπερ γὰρ δεκαχῶς τὸ ὄν, κατὰ τὰ σχήματα τῶν κατηγοριῶν (2), οὕτω τοι δεκαχῶς καὶ τὸ ὂν κατ' αὐτά. Καὶ γὰρ καὶ ἡ οὐσία ἕν, καὶ μέζον ἕν, τὸ κατὰ ποσόν, οἷον σπιθαμή, καὶ χρῶμα ἕν, οἷον τοδὶ τὸ λευκόν, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Β'. ὅτι τούτων οὐδέτερον προσκατηγορεῖται, οὐδὲ γὰρ ἕτερον τὸ εἷς ἄνθρωπος τοῦ ἀνθρώπου, φησὶν (3) ὥσπερ οὐδὲ τὸ εἶναι ἄνθρωπον, ἕτερόν τι τῇ ἀνθρώπου φύσει προσετέθετο. Καὶ φανερὸν ἄρα ἐκ τούτων, ὅτι τὸ ἕν, καὶ τὸ

(1) Μεταφ. Κ. Κεφ. β'. (2) Μεταφ. Δ.
(3) Μεταφ. Κ. Κεφ. β'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ ὄν, ἐκ εἰσὶ φύσεις τινὲς καὶ ἐσίαι καθ' αὑτὰς, ὧν τὸ τὶ ἦν εἶναι, αὐτὸ τὸ εἶναι, ἢ τὸ ὂν εἶναι, ( ὡς οἱ περὶ Πυθαγόραν καὶ Πλάτωνα ὑπειληφέναι φέρονται; (1) ) εἰμή τις ἐπὶ τὸ αὐτὸν, καὶ τὸ αὐτοὸν τοῖς λογισμοῖς ἀναδράμοι, ( §. ρνζ΄. ) ἀλλὰ κατηγορήματα ψιλὰ ταῦτα τυγχάνει κοινότατα, οἷς ὑπόκεινται τινὲς φύσεις, καθ' ὧν αὐτὰ λέγονται.

## Θεώρημα ΡΚΕ΄.

§. σπϛ΄. „ Ον καθόλε ὑφεςάναι ἐν τοῖς πράγμασιν „ ἀδυνάτως ἔχει.

Τὸ γὰρ ἐν τοῖς πράγμασιν ὑφεςὼς, ἢ ὑπόςασιν ἔχον, ἄτομον ἐςὶ, ( §. ρπέ. ) καὶ ἁπλῶς ὄν. ( §. σπ΄. σπά. ) Εἰ δὲ καθόλε τὸ τοιῦτον, ἐδ' ἁπλῶς ὂν, ἀλλὰ πῆ, (§.σπ΄.) ἀδύνατον δὲ τὸ αὐτὸ ἅμα. ( §. λ΄. ) Ἄρα κτ.

## Σχόλιον

§. σπζ΄. Οὕτως ἐκ βάθρων αὐτῶν, τὰ κατὰ Σκότον, καὶ τὸν ἡμέτερον Κορυδαλέα, πρὸ τῆς ἐπινοίας εἶναι τιθέμενα Καθόλε, ἀνέσκαπται. Δεῖ γὰρ πάντως τὸ καθόλε ἢ γένει ὂν εἶναι, ἢ εἴδει, ἢ ἄλλῃ πῃ, ἐχ ἁπλῶς δὲ ὄν. Τὸ δὲ ὑφεςὼς ταύτῃ τοι, καὶ ἁπλῶς ὂν, ἐξ ἀνάγκης. Ὅτι δὲ καὶ Ἀριςοτέλης ταύτης ἦν τῆς ὀρθῆς δόξης, δῆλος μὲν ἐκ πολλῶν, ἐχ ἥκιςα δὲ, καὶ ἐξ ὧν τὸ εἴδει ἀδιαίρετον, „ τῷ γνωςῷ, καὶ τῇ ἐπιςήμῃ τοιῦτον, ἤτοι ἀδιαίρετον, ἀπεφήνατο λέγεσθαι. (2) Εἰ γὰρ ἔτω, σαφὲς ὅτι, καὶ κατ' ἐπίνοιαν θεωρεμένη, ὡς μία ἐν πολλοῖς, ἡ κοινὴ φύσις αὐτῷ δογματίζεται. Ἀλλὰ καὶ ἐν οἷς τὸ ὂν μὴ φύσιν εἶναι καθ' ἑαυτὸ τινὰ διϊσχυρίζεται, αὐτὸ τῦτο προσεμπεδοῖ συμ-

„ πε-

(1) Μεταφ. Κ. Κεφ. Β΄. (2) Μεταφ. Ι. Κεφ. α΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ περαίνων ἐκ τῆς κοινότητος. Εἰ γὰρ, φησὶ (1) μηδὲ τῶν „ καθόλε δυνατὸν ἐσίαν εἶναι ( παρεκτὸς δηλ. τῆς ἐσίας „ τῶν κατὰ μέρος, καθ᾽ ὧν ἐκεῖνα λέγεται ) ἐδ᾽ αὐτὸ τῦτο „ ( ἡ καθόλε ) ἐσία, ὡς ἐν τι παρὰ τὰ πολλὰ δυνατὸν „ εἶναι, ( κοινὸν γὰρ ), ἀλλ᾽ ἢ κατηγόρημα μόνον, δῆλον „ ὡς ἐδὲ τὸ ἐν. Τὸ γὰρ ὂν, καὶ τὸ ἐν καθόλε κατηγορεῖ- „ ται μάλιςα πάντων, ὥςε ἔτε τὰ γένη φύσεις τινὲς, καὶ „ ἐσίαι χωρισαὶ τῶν ἄλλων εἰσὶν, ἔτε τὸ ἐν γένος ἐνδέ- „ χεται εἶναι διὰ τὰς αὐτὰς αἰτίας. Ἀλλὰ περὶ τέτε, ἄπεροις αὖ ἐν ἄλλοις καὶ παρ᾽ ἡμῖν πλείονα. (2)

## Θεώρημα ΡΚϚ΄.

§. σπή. „ Τὸ κατ᾽ ἰδέαν, καὶ νοερόν τινα ἐξεικονισμὸν „ ἤ φασὶ, καθόλε, ταυτὸν εἰπεῖν, τὸ ὑςερογενὲς, καὶ κα- „ τ᾽ ἐπίνοιαν, ἐκ ἀδυνάτως ἔχει.

Τοιῦτο γάρ ἐςιν, ὃ γένει, ἢ εἴδει ἐν εἶναι λέγεται, ἐδὲν ἕτερον ὂν, ὅτι μὴ ἰδέα τις νοητὴ, κοινῇ πλειόνων γινομένη παραςατικὴ τῶν εἴδει, ἢ τῶν ἀριθμῷ διαφερόντων. ( §. σπ΄. ) Οὐκ ἀδυνάτως δὲ ἔχομεν μιᾷ νῦ προσβολῇ, τὸ ἐν πολλοῖς κοινῇ πεφυκὸς, ἤτοι εἴδει, ἢ ἀριθμῷ διαφέρεσιν ἐννοεῖν. Εἴη γὰρ ἂν, εἴπερ ἄλλως, ἀφυὴς ἡμῶν ὁ νῦς δι᾽ ἀφαιρέσεως ἐννοεῖν, καὶ ἐδ᾽ αὖ ὑπολειφθείη τι νοητὸν ἡμῖν, ἢ ἐπιςητὸν, ὅλως. Ἀλλὰ γὰρ τῦτο ἐδεὶς ἂν εἴποι. Ἄρα κτ.

## Σχόλιον.

§. σπθ΄. Περὶ γὲν τέτε πολὺς ἐγένετο λόγος τοῖς Νεωτέροις, οἳ τὸ πρὸ τῶν νοερῶν ἐπιβολῶν εἶναι τὰ καθόλε, εἰς χλεύην, ὡς εἰκὸς, θέμενοι, καὶ ἐπὶ τῶν ὑπερβολῶν ἔπειτα

τιν

(1) Μεταφ. Ι. Κεφ. β΄. (2) Λογικ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν ἑτέραν ἐκτρεπόντες, κινδυνεύουσιν ἄλλοθεν τὰ τῆς χλευασίας πρὸς ἑαυτοὺς ἐπισπάσασθαι, ὡς μηδὲ τοῦ νοῦ ὕστερον ἔτι λέγειν ταῦτα αὐτὰ ἀνεχόμενοι. Οἱ μὲν γὰρ τὰ νοητὰ εἴδη, ἃς ἰδέας καλοῦσιν, οἷον εἰκόνας οὔσας τῶν νοητῶν, αἷς ὥσπερ ἐν ἐσόπτροις τὰ ὄντα εἰσορᾶν ὁ νοῦς πέφυκε, τῶν ἐπιβολῶν αὐτῶν τοῦ νοῦ, τουτέστι τῶν προσλήψεων διαστέλλοντες, ἀδύνατον εἶναι φασὶ τὴν ἰδέαν καθόλου εἶναι, εἰ καὶ τὴν πρόσληψιν ὁμολογοῦσιν, (1) ἐνδέχεσθαι. Καὶ γὰρ ἅπαν ὂν φασὶν ἓν εἶναι, καὶ παντὸς ἄρα ὄντος ἡ εἰκὼν ἕν τι παρίστησιν. Ἔνθεν τοι καὶ ἀντιφάσει σαφεῖ περιπίπτειν οἴονται, εἰκόνα εἶναι καθόλου, ἥτις δηλαδὴ μία οὖσα πολλὰ παραστήσειεν. Ὡς εἴπερ ἄλλο τι θετέον τὸ νοητὸν εἶδος (2), καὶ τὴν ἐπιβολὴν, ἢ τούτῳ ἐπιβάλλει ὁ νοῦς ἄλλο, οὐκ ἔσται δήπου ἡμῖν, οὐδὲ νοητῶς τοι τὸ εἶδος τὸ καθόλου δυνατόν. Ἀλλ' εἴπερ αὐτὴν καθ' ἑαυτὴν τὴν ἐπιβολὴν σκοπήσαις, μίαν μὲν οὖσαν τοῦ νοῦ ἁπλουστάτην ἐνέργειαν μοναδικήν τε καὶ συνεχῆ (3), πλειόνων δὲ ἰδεῶν περιληπτικὴν, οὐδὲν ἀδύνατον ἕψεται, ἐξὸν μιᾷ προσβολῇ πολλῶν περιδραχθῆναι ἅμα τὸν νοῦν τὸν ἡμέτερον, ὡς ἐνδοτάτῳ τινὶ συνειδήσει, πᾶς τις ἑαυτῷ τοῦτο δυνάμενος σύνοιδεν. Οἱ δὲ οὐδὲ τοῦτο ὁμολογεῖν ἀξιοῦσιν, (4) ἰσαρίθμους δὲ τὰς ἐπιβολὰς ταῖς ἰδέαις τιθέμενοι, μίαν μιᾷ συμπαραθέειν ἡγήσαντο. Ἐπεί τε καὶ τούτοις τῶν ἀδυνάτων εἶναι δοκεῖ, εἶδος ἓν, πολλῶν τινων ἅμα γίνεσθαι παραστατικὸν, ταύτῃ τοι ἐκ τοῦ ἀκολούθου συνάμα τῷ εἴδει, καὶ τὴν ἐκείνου ἀντίληψιν τῆς προσηγορίας τοῦ καθόλου καθεῖλον. Καὶ τάχει μὲν, οὐκ ἔστιν εἰπεῖν ὅσῳ τὰς τῶν πλειόνων προσλήψεις τελεῖσθαι λέγουσι, τὸ δέ τοι τάχος τοῦ ἅμα τὰ πολλὰ ἐκεῖνα δοκεῖν συμπαρίστασθαι, παραίτιον γίνεσθαι. Τὸ μὲν οὖν ἔγγε τῷ παρόντι, εἴπερ ἐν εἴδεσί τισιν ὁ νοῦς πέφυκε νοεῖν, τῶν ἐπιβολῶν αὐτοῦ διακρινομένοις, εἴτε καὶ μὴ, ὡς οὐ κατὰ τὴν παροῦσαν τοῦ λόγου σκέψιν, ἐξετάζειν παρείσθω, καὶ ἐν οἷς οἰκειό-

(1) Γενουήνσ. Μεταφ. Μέρ. ά. Προτ. νζ'. (2) Αὐτ. Προτ. νή. (3) Αὐτ. Προτ. νθ'. (4) Ὀυόλφ. Ὀντολογ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κειότερος ὁ περὶ τούτου λόγος ὑπερτεθείσθω. Ὅτι γε μὴν, καὶ τούτου οὕτως ἔχοντος, ὡς ἐκείνοις δοκεῖ, ἡ καθόλου ἰδέα οὐκ ἔστι τι ἀδύνατον, μᾶλλον δὲ, καὶ ὅτι σύμφωνον τοῦτο τῇ τοῦ νοῦ φύσει, καὶ τῇ τῶν νοητῶν καταστάσει, ὅλαις δυνάμεσι διατεινόμεθα. Φέρε γὰρ, τί ποτε ἐστὶ τὸ νοητὸν τουτὶ εἶδος, (εἴτι ἐστὶν) οὐχὶ τὸ νοητόν; Τί δὲ τὸ νοητὸν, οὐχὶ ὅπερ ἐνεργείᾳ ὁ νοῦς ἐπιδράττεται; ἐπιδράττεται δὲ ὁ νοῦς, οὐχὶ καὶ τῶν ἀορίστων, καὶ ἀδιαφόρως ἐχόντων; Ἀλλὰ μὴν τοῦτο ἐστὶν ὅπερ αὐτοὶ ἰδέαν εἶναι καθόλου φαμέν. Εἰ μὲν γὰρ, ὡς ἐν ἑαυτοῖς ἔχει, ἀεὶ ὁ νοῦς ἐπιβάλλειν τοῖς οὖσι κατηναγκάζετο, ἦν ἂν ὡς εἰκὸς καὶ τὰ νοητὰ ταῦτα εἴδη διʼ ὅλου ὡρισμένα τὰς ἐμφάσεις, οἷα περ ἀνάγκη ὑφεστάναι καθʼ ἑαυτὰ, καὶ τὰ πράγματα. Καὶ ἦν ἄρα ἀμήχανον οὕτω ἐν ἑνικῷ τε, καὶ μοναδικῷ τῷ εἴδει, πολλὰ εἰκονίζεσθαι. Ἤδη δὲ, ἐπεὶ τῆς κατὰ τὸν νοῦν ὁμολογουμένως ἐστὶ δυνάμεως, τὸ διʼ ἀφαιρέσεως εἰς ἀοριστίαν ἀνακαλεῖν τὰ νοούμενα, τῶν συστελλουσῶν αὐτὰ καὶ διοριζουσῶν διαφορῶν τε καὶ περιστάσεων ἀπαλλάττοντα, πῶς οὐ φανερὸν, ὅτι καὶ τὰ νοητὰ εἴδη, οὕτως ὄντα διανοίᾳ ληπτὰ, πρὸς πολλὰ τυγχάνει ἀόριστα; Εἶτα τὸ νοητὸν εἶδος τοῦ ζώου, ἢ ζῷον, πότερον τὸ κατὰ τὸν νοῦν παρίστησι ζῷον; ἢ τὸ ἐν τοῖς οὖσιν; ἢ ἑκάτερον; ἢ οὐδέτερον; ἀλλὰ τὸ μὲν κατὰ τὸν νοῦν, οὐκ ἂν οἶμαι· πῶς γὰρ αὐτὸ ἑαυτό; ὥστε οὐδʼ ἑκάτερον. Ἀλλὰ μὴν οὐδʼ οὐδέτερον. Εἰς τί γὰρ καὶ εἰσάγεται; πῶς δὲ καὶ εἶδος; λείπεται ἄρα λέγειν, ὅτι τὸ ἐν τοῖς οὖσιν. Ἀλλʼ ὁποῖον δήποτε; τὸ ἐν ἀνθρώπῳ; ἢ τὸ ἐν τῷ ὄνῳ; ἢ τὸ ἐν ἄλλῳ εἴδει τινί; τὸ γὰρ ἐν οὐδενὶ, οὐχὶ πάντως. Περιστήσεται γὰρ αὖθις ἡμῖν, εἰς τὸ μηδὲ παραστατικὸν ὅλως εἶναι τινὸς, οὐδὲ εἶδος. Καὶ μὴν οὐδὲ τὸ ἔν τινι. Τί γὰρ δήποτε τοδὶ, οὐ τοδί; Οὐ γὰρ ἂν οἶμαι ἐν τούτοις τοῦ φιλτάτου λόγου, ὃν ἀποχρῶντα φασὶν, ἐπιληθεῖεν ἡμῖν, ἐφʼ ὧν στρατεύειν κατʼ αὐτῶν ἔοικεν. Ἆρʼ οὖν τὸ ἐν παντὶ εἴδει ζώου, τουτέστιν, ὅπερ οἷόν ἐστι, παντὸς ζώου, ἢ ζῷον παρέχειν τὴν ἔμφασιν. Ἔτι, εἴτις νοεῖ λίθον, καὶ σῶμα. Καὶ εἰ ξύλον, καὶ εἰ μέταλλον, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Εἰ δὲ σῶμα, τί μὴ καὶ λίθον; καὶ ξύλον, καὶ μέταλλον; ἢ ὅτι τινὸς προσδεῖ εἰς τὴν τούτων ἔννοιαν. Ἐὰν οὖν προσλάβηται ἔνθα μὲν τὸ πηκτὸν, ἔνθα δὲ

τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

τὸ χιστὸν, ἔνθα δὲ τὸ ξιπτὸν, πότερόν ποτε τὴν ἔννοιαν τοῦ σώματος, ἢ σῶμα ἤμειψεν; εἰ μὲν οὖν καὶ τὸ τί ἦν εἶναι κατ' αὐτὸ μετέβαλλεν. Εἰ δ' οὐχὶ, τοῦ αὐτοῦ ἐν πολλοῖς νοουμένου, καὶ πολλῶν ἔσται παραστατικὸν τὸ εἶδος τὸ νοητὸν, ταῖς διαφοραῖς διακρινομένων. Τελευταῖον, καὶ ὃς προέστη τοῦ δόγματος, ἀποφηνάμενός που (1) τὰ τὴν αὐτὴν πραγματιώδη λαχόντα οὐσίαν, πράγματι μὴ διαιρεῖσθαι, ἐφεξῆς προσέθετο, „δυνατὸν εἶναι κύκλους δύω, πράγματι μὲν ἀλλήλων διακεκεῖσθαι, ὀνοματώδη δὲ οὐσίαν τὴν αὐτὴν ἔχειν. Εἶναι δὲ τὰ γένη, καὶ τὰ εἴδη οὐσίας ὀνοματώδεις, ὁ αὐτὸς ἀπέδωκεν ὁρισάμενος." (2) Εἶναι ἄρα τὴν κατὰ νοῦν οὐσίαν τοῦ κύκλου μίαν τὴν αὐτὴν, ἢ νοητὴν, δυοῖν, καὶ παντὸς κύκλου παραστατικὴν φθάσας ὡμολόγησεν. Ὁ δέ τοι νοητὸς κύκλος, ἰδέα τις οὖσα τυγχάνει. Οὐκοῦν ἄρα ἡ καθόλου ἰδέα, ἐστὶν ἀσώματος. Ἀλλ' εἰ καὶ τῶν φρονημάτων δέοι τῆς ἀτοπίας τὸ μᾶλλον, ἢ ἧττον διορίσαι, οἷς διαφέρουσιν, ἐμοὶ καὶ ἧττον δοκοῦσι σύμφωνα λέγειν, οἱ ταῖς μὲν ἐπιβολαῖς τὸν λόγον τοῦ καθόλου προσνέμοντες, τῶν δὲ νοητῶν εἰδῶν παραιροῦντες, ἤπερ οἱ ἑκατέρων ἐπίσης ἀποκρουόμενοι, καὶ μίαν μιᾷ εἰκόνι μοναδικῶς παραβάλλειν τὸν νοῦν οἰόμενοι. Ὁ γὰρ νοῦς γίνεταί πως τὸ νοητὸν, καὶ ὅλως ὅλῳ συνάπτεται· καὶ οὐδ' ἂν πολλοῖς οἷος ᾖ ἐπιβάλλειν, μὴ τούτοις πως συμπληθυνόμενος, εἰ μήπου κατὰ λόγον τινὰ κοινότερον, τὰ πολλὰ ἐκεῖνα ἅττα ἂν εἴη, ὑφ' ἓν ἅμα διενθυμοῖτο. Ἀλλὰ περὶ τούτων ἤδη μὲν ἅλις, τὰ δὲ πλείω ἐν ἄλλοις. Ὃ δὲ καὶ εἰς ταύτην ἐκείνους συνεωσκέναι δοκεῖ τὴν δόξαν, ἐξετάσας αὖτις, οὐδὲν ἀναγκαῖον εὑρήσει ὂν, οὐδὲ λόγων πολλῶν ἐπιδεόμενον πρὸς ἀπάντησιν. Ἧπου γὰρ, ἅπαν ὂν ἐστὶν ἕν, ὃ βούλονται. Οὐκοῦν οὐδὲ αὐτοὶ τοῦθ' οὕτως ἔχειν ἀπαναινόμεθα, εἰ μόνον τῷ πραγματιωδῶς ὑφισταμένῳ συνάπτειν ἐθέλωσι τὸ ἁπλῶς ἕν, τῷ τε κατ' ἐπίνοιαν ἀορίστως νοουμένῳ, τὸ πῇ. Οὕτω τοι γὰρ καὶ τὸ εἶδος ἐκεῖνο τὸ νοητὸν, ὁποῖόν ποτε ἐστὶ, τὸ μὲν εἶναι, εἰκών τις πραγματιώ-

(1) Γενουΐνσ. Μεταφ. Μέρ. Α΄. Προτ. να΄. (2) Ὁρισμὸς κϛ΄.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ματιώδης ἐστὶν, ἢ τιθέασι, καὶ μία πάντη τῷ πράγματι, τῷ δὲ τῶν ἐμφαινομένων λόγῳ, ἤτοι αὐτῶν ἐκείνων τῶν παριστααμένων, οὐκέτι ἓν, κυρίως εἰπεῖν, ἀλλὰ γένει ἓν, ἢ εἴδει, ὡς ἂν ἔχῃ τὴν διαφορὰν κατ' εἶδος, ἢ κατ' ἀριθμὸν, τὰ δι' αὐτῆς παριστάμενα. Καὶ δὴ καὶ τὸ ἓν, ( ὅπερ ἐστὶν αὐτοῖς τῆς δείξεως τὸ κεφάλαιον ) ἑνός τινος εἶναι παραστατικὸν, δώσομεν μὲν, ἀλλ' οὐχὶ καὶ μονάδι ὁμογενεῖ, οὕτως εἰπεῖν, καὶ παραπλησίᾳ. Οὐ γὰρ ἓν ἑνὶ παρίσταται ἀεί ποτε τῷ ἀορίστῳ τὸ ἀόριστον, καὶ τῷ ἀδιαφόρῳ τὸ ἀδιάφορον, καὶ ὅλως τῷ γένει τὸ γένει, καὶ τῷ εἴδει τὸ εἴδει, καὶ τῷ ἀριθμῷ τὸ ἀριθμῷ. Ἡ γὰρ οὕτω καὶ ἡ κατ' ἐκείνους νοερὰ ἐπιβολὴ μία οὖσα, ἑνὸς καὶ αὐτὴ, καὶ μόνου ἀντιληφθήσεται. Ἀλλ' οὔ φασί. Κωλύειν γὰρ οὐδὲν, ἐν μιᾷ τῷ ἀριθμῷ ἀντιληπτικῇ νοῦ ἐνεργείᾳ, πολλὰ εἶναι κατὰ τὸ αὐτὸ τὰ ἀντιληπτά. Οὐκοῦν, ἐροῦμεν ἐκ τοῦ παραπλησίου, ὡς οὐδὲν ἂν εἴη τὸ κωλῦσον, καὶ ἐν μιᾷ τῷ ἀριθμῷ εἰκόνι, πολλὰ εἶναι τὰ ἐξεικονιστὰ, τήν γε μάλιστα ἐξ ἀφαιρέσεως λαβοῦσα χροίη τὸ ἀόριστον αὕτη, καὶ τὸ κοινῇ πρὸς πολλὰ ἀδιάφορον. Εἰ μὴ καὶ μᾶλλον τοῦτο εἰκὸς, καὶ τῇ φύσει σύμφωνον τῶν πραγμάτων. Αἱ μὲν γὰρ ἀντιλήψεις τῶν νοητῶν, κατὰ νοερὰν ὡς ἅπασι δοκεῖ ἀποτελοῦνται συνάφειαν, αἱ δὲ παραστάσεις κατὰ σχέσιν. Καὶ ὅλον μὲν ὅλοις συναφθῆναι πολλοῖς, εἰ μὴ ἓν ἑνὶ, καὶ κατὰ διαδοχὴν, ἴσως ἀδύνατον, ἐφ' ὧν ἡ οὐσία πεπέρασται, ἢ γοῦν εἰ μὴ, ἀλλὰ νοῆσαι πάντως παγχάλεπον· ὅλον δὲ πρὸς ὅλα σχέσιν ἔχειν, ἓν πρὸς πολλὰ, ἅμα τε καὶ κατὰ τὸ αὐτὸ, τοῦτο τὸ προχειρότατον. Καὶ ταῦτα ἔνθα τῇ ὁμοιότητι βέβηκε τὰ τῆς σχέσεως· ὥσπερ οὖν φωνὴ τῷ ἀριθμῷ μία, πλειόνων ἂν, ἀριθμῷ διαφερόντων σημαντικὴ γένοιτο, οὕτω τοι καὶ εἰκόνα μίαν πολλὰ εἰκονίζειν πεφυκέναι, ξένον οὐδὲν, κοινωνοῦντα ἀλλήλοις τὴν ὁμοιότητα. Σύμβολα γὰρ οὐδὲν ἧττον τὰ ἐν τῇ φωνῇ τῶν ἐν τῇ ψυχῇ παθημάτων εἴρηται, ἢ αὐτὰ ταῦτα τῶν ἐν τοῖς πράγμασι τίθεται. Ταύτῃ τοι καὶ τὸν τὸ κοινῇ πως ἔχον εἰς ἐξεικονισμὸν, ἐκθλίψαι τῶν νοημάτων πειρώμενον, τὸ κοινὸν τῆς τῶν ὀνομάτων σημασίας, ἐπανάγκες πολὺ πρότερον.

Περὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Περὶ Διαιρέσεως.

§. σή. Τῆς πολυσχεδοῦς παρὰ τοῖς Σχολαστικοῖς Διαιρέσεως, κεφάλαια, ἥτε πραγματιώδης, καὶ ἡ τροπική, καὶ ἡ δυνάμει λεγομένη, καὶ κατ' ἐπίνοιαν, καὶ τελευτῶσα ἡ ἐπινοηθεῖσα τῷ Σκότῳ ἐνεργείᾳ, καὶ εἰδική. Καὶ πραγματιώδης μὲν ἡ μεταξὺ τῶν οὐσιῶν χωροῦσα, ἅτε δὴ πραγμάτων. ( §. ρνς'. ) Τροπικὴ δὲ ἡ τῶν συμβεβηκότων, ἀπό τε τῆς οὐσίας, καὶ ἀλλήλων, οἷα δὴ τρόπων. ( §. σλ'. ) Δυνάμει δὲ ἡ τῶν πράγματι ταυτουμένων, μετὰ λόγου γινομένη κατὰ διαφορικὴν ἐννοιῶν, διάκρισις. Εἰδικὴ δὲ ἡ τῶν ἐν τῇ οὐσίᾳ γνωρισμάτων, ἃς εἰδικότητας ἐδόκει τῷ Σκότῳ ἀποκαλεῖν, διαφορά. Περὶ μὲν οὖν διαιρέσεως, καὶ πλείω τούτων ἡμῖν ἐν τῇ Λογικῇ εἴρηται. Ἤδη δέ, ἐπεὶ τὴν εἰδικὴν ταύτην τῶν Σκοτιστῶν διαίρεσιν, κοινῇ πάντες τῆς ὑγιαινούσης Φιλοσοφίας ἐκσυρίττειν δεῖν ἔγνωσαν, ὡς ἄρα περιττήν τε οὖσαν, καὶ ἄτοπον, καὶ οὐδὲ χώραν αὐτῇ ἐπιτρέπουσιν ἐπὶ τῶν μεταφυσικῶν καλουμένων βαθμῶν, τῆς κατὰ λόγον, ἤτοι τῆς κατὰ τὰς διαφορὰς τῶν ἐννοιῶν ἐξαρκούσης, πρὸς τὴν ἐκείνων διάκρισιν, φέρε δή, καὶ περὶ τούτου τὰ ἐπιβάλλοντα εἴπωμεν, τίνες δήποτε εἰσὶν οἱ μεταφυσικοὶ οὗτοι βαθμοὶ προεκτεθέμενοι.

§. σθ'. Τὰ κατὰ βάθος τῇ ἀτόμῳ οὐσίᾳ ἐνθεωρούμενα οὐσιώδη γνωρίσματα, τά τε ἀπὸ τοῦ εἰδικωτάτου διὰ τῶν μέσων ἄχρι τοῦ γενικωτάτου, ἤτοι τῆς οὐσίας αὐτῆς βαθμηδὸν χωροῦντα, οἷον τὸ ἄνθρωπον εἶναι, τὸ ζῶον, τὸ ἔμψυχον, τὸ σῶμα, τὸ οὐσίαν, Σωκράτει, καὶ ἀνάπαλιν. Καὶ δὴ καὶ τὰ ἐκ πλαγίου, λόγων διαφορῶν συστατικῶν ἔχοντα, οἷον τὸ λογικόν, τὸ αἰσθητικόν, τὸ ψυχὴν ἔχειν, τὸ σωματικόν, ταῦτα ἐστίν, ἃ βαθμοὺς μεταφυσικοὺς ἐπιλέγουσιν. Τὸ μέν, ὅτι ἀπὸ τῶν κατωτέρω δι' αὐτῶν ἐπὶ τὰ ἀνωτέρω προϊόντες γινόμεθα κατὰ ἄνοδον, ἢ γοῦν τὸ ἀνάπαλιν κατὰ κάθοδον. Τὸ δέ, ὅτι φύσει μὲν καὶ πράγματι τουτωνὶ τῶν βαθμίδων εἰς ἓν συνιουσῶν, αὐτοὶ ἐν νοεραῖς ἐπιβολαῖς, δι' αὐτῶν τούτων ἄνιμέν τε, καὶ κάτιμεν· ταῦτα δὴ τῶν Σχολαστικῶν τὰ κομψά, τὰ ὑπόθεσιν ἀγώνων οὐ φαύλην, ὡς αὐτοῖς δοκεῖ, πα-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παραχόντα τοῖς τῶν φρατόρων σίφεσι, καὶ εἰσέτι καὶ νῦν παρεχόμενα· ὧν, ἐφ᾽ ᾧ μὴ δ᾽ ἡμᾶς θεωροὺς ἀπολειφθῆναι ταύτῃ ἀπράγμονας, κείσθω.

## Θεώρημα ΡΚΖ'.

§. σϟβ'. „ Ὅσα δήποτε καθ᾽ ἑαυτὰ χωρὶς ἀλλήλων ὑ-
„ ποςατὰ ἐςὶ, ταῦτα καὶ πράγματι διαιρετὰ, καὶ ἀνάπαλιν.

Οἷον ἔςω δὴ τὸ μὲν α, τὸ δὲ β, καὶ τούτων ἑκάτερον ὑφεςὼς, χωρὶς τοῦ ἑτέρου, ( ἐξ ὑποθ. ) καθ᾽ ἑαυτό· ὥςε καθόλου μὲν οὔ, ( §. σπϛ'. σπζ'. ) ἀριθμῷ δὲ ἓν, καὶ ἁπλῶς ἓν ἑκάτερον. ( §. σπ'. ) δύω δὲ ἄρα τὸ α καὶ τὸ β. ὑποςατὰ δὲ καθ᾽ ἑαυτὰ ὄντα ( ἐξ ὑποθ. ) καὶ οὐσίαι πρῶται ἔσονται ( §. ρπέ. ) καὶ πράγματα κυρίως. ( §. ρϟϛ'. ) Καὶ πραγματιώδης ἄρα ἡ μεταξὺ τούτων διαίρεσις. (§. σϋ.) Ἄρα κτ. Ὅπερ ἦν τὸ Α'.

Εἰ δὲ πράγματι διαιρετὰ, καὶ ἑκάτερον αὐτῶν πρᾶγμα ἕν. ( §. σϋ. ) Καὶ πράγματι, ἤτοι ἁπλῶς, καὶ τῷ ἀριθμῷ ἕν. ( §. σπ'. ) Τὸ δὲ ἀριθμῷ ἓν πρᾶγμα, ἤτοι ἡ πρώτη οὐσία, καθ᾽ ἑαυτὴν ὑποςατή. ( §. ρπέ. ) Ἄρα καὶ καθ᾽ ἑαυτὰ ὑποςατά. Ο. Η. τὸ Β'.

## Πόρισμα.

§. σϟγ'. Οὐδὲν ἄρα αὐτὸ διαιρετὸν ἑαυτοῦ πράγματι. Εἴη γὰρ ἂν, καὶ ὑποςατὸν χωρὶς ἑαυτοῦ ( §. σϟβ'. ) πῶς δ᾽ αὖτι χωρὶς ἑαυτοῦ ὑποςαίη; ( §. λ'. )

## Θεώρημα ΡΚΗ'.

§. σϟδ'. „ Ὧν θάτερον θατέρου ἐξωτερικῶς ἐξῆπται
„ ὡς ὑφ᾽ οὗ, οὐχ ὡς ἐν ᾧ, ταῦτα καὶ πράγματι ἀλλήλων διῄ-
„ ρηται.

Τῶν γὰρ τοιούτων τὸ μὲν ποιητικὸν, τὸ δὲ ποιητόν. (§.σβ'.)

ἐπεὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπεὶ δ' ὡς ὑφ' ἕ, καὶ ἐχ ὡς ἐν ᾧ, ( ἐξ ὑποθ. ) ἑκάτερον ἄρα αὐτῶν ἐσία, καὶ ἐκ ἄμφω μία. Οὐδὲν γὰρ αὐτὸ ἑαυτῷ ποιητικὸν γένοιτ' ἄν. ( §. ϛ́. ) Οὐσίαι ἄρα δύω, πράγματι ( §. σιγ. ) ἀλλήλων διῃρημέναι. Ὧν ἄρα θάτερον κτ.

## Θεώρημα ΡΚΘ΄.

§. σγέ. „ Ὧν θάτερον θατέρε ἐσωτερικῶς ἐξῆπται, „ ταῦτα πράγματι ἀλλήλων ἐκ ἔςι διαιρετά.

Τέτων γὰρ τὸ ἐξημμένον, χωρὶς τῶ ὅπερ ἐξῆπται, ὄτ' εἶναι δύναται, ὅτε νοηθῆναι. ( §. σβ΄. ) ὥςε ἐκ ἂν εἴη ταῦτα χωρὶς ἀλλήλων ὑποςατά. Ἀλλ' εἰ πράγματι διαιρετὰ, καὶ χωρὶς ἀλλήλων ὑποςατά. ( §. σιβ΄. ) Ἄρα καὶ ὑποςατὰ καὶ μὴ, χωρὶς ἀλλήλων, ὅπερ ( §. λ΄. ) ἀδύνατον. Ὧν ἄρα κτ.

## Πόρισμα Α΄.

§. σγϛ΄. Τὰ ἄρα ἴδια, καὶ τὰ συμβεβηκότα, ἅτε δὴ ἐσωτερικῶς τῆς ἐσίας ὄντα ἐξηρτημένα ( §. σλέ. ) ἐδαμῶς πράγματι τῆς ἐσίας διήρηται.

## Σχόλιον.

§. σγζ΄. Πῶς ἐν χωριςὰ τῆς ἐσίας πράγματι, τῶν συμβεβηκότων ἔςιν ἃ εἶναι εἴρηται, καὶ τῶν μὴ χωριςῶν ταύτῃ γε ἀντιδιέςαλται; (1) ἢ καταχρηςικώτερον, ἤπερ τῆς ἧ ἐνυπῆρχεν ἐσίας πράγματι αὐτὰ ἀπογίνεται, τῆς δυχερῶς τέτων ἀπαλλαττομένης. Κυρίως γὰρ ἡ ἐσία αὐτὴ τυγχάνει, ἡ ἀπὸ τέτων χωριςὴ ἔσα, ὡς ἄρα καὶ μετὰ τὸ χωριςθῆ-

(1) Πορφύ. Εἰσαγ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ειθῆναι καθ᾽ ἑαυτὴν, καὶ τούτων αὐτῶν, ἐπιδεχομένουσα, ἐκεῖνα δὲ πῶς ἂν ἀληθῶς χωριστὰ ῥηθείη, τὰ μηδὲ τὴν ἀρχὴν νοηθῆναι, μήτι γε δὴ εἶναι, χωρὶς τῆς οὐσίας δυνάμενα; „ τοῦτο γοῦν ἐμφαίνει καὶ τούτων ὁ λόγος, (1) ἀδύνατον χω- „ ρὶς τοῦ ἐν ᾧ ἐστὶ, ταῦτα εἶναι διοριζόμενος. Ἀλλὰ γὰρ ἐπὶ μὲν τοῦ χωρισμοῦ, ἅλις τυχὸν ἂν εἴη, τὸ ἐξαρκεῖν θάτερον χωρὶς θατέρου. Ἐπὶ δὲ τῆς διαιρέσεως, ἐπίσης ἄμφω παρεῖναι δέον τὰ ἀντιδιαιρούμενα, ἢ λόγῳ, ἢ πράγματι, ὡς ἂν καὶ τῆς ἀναλόγου δεκτικὰ λέγηται διαιρέσεως. Διὸ καὶ ἅμα τῇ τάξει τὰ ἀντιδιαιρούμενα εἴδη, ἔφησαν εἶναι, καὶ Ἀριστοτέλης, ἅμα τῇ φύσει. Ἀλλὰ γὰρ πράγματι καθ᾽ ἑαυτὸ, χωρὶς τῆς οὐσίας, τῶν συμβεβηκότων οὐδὲν, παρέσται οὐδέποτε, οὔτε τοι ὂν, οὔτε νοούμενον, οὔθεν τοι οὐδὲ πράγματι διαιρετὰ τῆς οὐσίας τὰ συμβεβηκότα εἶναι φήσει, οὐδείς ποτε, ὀρθῶς τε καὶ κατὰ λόγον φιλοσοφεῖν αἱρούμενος.

## Πόρισμα Β΄.

§. σϟη΄. Φανερὸν δὲ καὶ ὅτι ἡ οὐσία τῶν κατ᾽ αὐτὴν οὐσιωδῶν γνωρισμάτων πράγματι οὐ διῄρηται. (§. σλγ΄. σϟε΄.) ἐπεὶ καὶ ταῦτα αὐτὴ ἐστὶν ἡ οὐσία ᾗ ἐφ᾽ ἓν συνῆπται (§. σκη΄.) καὶ τὸ αὐτὸ ἑαυτῷ πράγματι ἐστὶν ἀδιαίρετον. ( §. σϟγ΄. )

## Πόρισμα Γ΄.

§. σϟθ΄. Ἐκ τοῦ αὐτοῦ δὲ τοῦδε Θεωρήματος ( §. σϟε΄. ) ἕπεται μηδὲ τοὺς μεταφυσικοὺς καλουμένους βαθμοὺς (§. σϟα΄.) τὴν πραγματιώδη διαίρεσιν ταύτην ἀπ᾽ ἀλλήλων ὑφίσασθαι. ἐπειδὴ γὰρ τούτων ἀεὶ τοῖς κατωτέρω, οἱ ἀνωτέρω, ὡς φύσει πρότεροι ( §. ιζ΄. ) τὸ κατὰ βάθος πλήρωμα συνιστῶντες,

(1) Ἀριστοτέλης.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τες, πρὸς ὑσίαν ἀναγκαῖοι αὐτοῖς εἰσὶν, ὡς τύτων αὖθις μηδὲ ὄντι, μηδὲ τὴν ἀρχὴν νουμένοις, ( §. σβ'. ) οἷον τὸ ζῶον τοῦ ἀνθρώπῳ, καὶ τὸ ἔμψυχον τοῦ ζώῳ, καὶ ἐφεξῆς, δῆλον ὅτι ὐδὲ πράγματι ἀπ' ἀλλήλων ἴσχυσι τὴν διαίρεσιν. ( κατὰ τὸ παρὸν Θεώρ. ) Τῦτο δὲ καὶ ἄλλοθεν ἐκ περιυσίας αὖ κρατυνθείη ἐκ τῶν Θεωρημάτων τῦτε ρκέ. ( §. σπϛ'. ) καὶ τῦ ρκζ'. ( §. σγβ'. )

## Θεώρημα ΡΛ'.

§. τ'. „ Τὰ τρίτῳ τινὸς πράγματι μὴ διαιρετὰ, ὐδ' ἀλλήλων.

Ἐπεὶ γὰρ ὐκ ἔχει διαίρεσιν τὸ Α, φέρ' εἰπεῖν, καὶ τὸ Β τῦ Γ, πραγματιώδη ( ἐξ ὑποθ. ), ταύτῃπερ, ᾗ μὴ ἔχει, ἓν ἐστίν. ( §. σπ'. ) Τὰ ἄρα Α, καὶ Β, αὐτὸ ἐστὶ τὸ Γ. Ἀλλὰ τὸ Γ αὐτὸ ἑαυτῦ ὐ διῄρηται. ( §. σγγ'. ) Ἄρα ὐδὲ τὰ Α καὶ Β ἀλλήλων διῄρηται.

## Πόρισμα.

§. τά. Καλῶς ὖν τὸ ἀξίωμα ταυτίζει, τὰ τρίτῳ τινὶ ταυτιζόμενα. Κἀκτύτυ δὲ πάλιν ἐπιφέρεται τὸ ἀνωτέρω. ( §. σγθ'. ) Εἰ γὰρ οἱ μεταφυσικοὶ λεγόμενοι βαθμοὶ, αὐτῆς τῆς ἀτόμυ ὐσίας πράγματι εἰσὶν ἀδιαίρετοι, πῶς αὖ ἔπειτα οἱ αὐτοὶ πράγματι αὖ εἶεν ἀλλήλων διαιρετοί;

## Θεώρημα ΡΛΑ'.

§. τβ'. „ Τὰ μηδ' ἀλλήλων, μηδὲ τρίτυ τινὸς ἐσωτερι-
„ κῶς τῦ αὐτῦ, ἐξηρημένα, ταῦτα ἤτοι πράγματι ἀλλήλων
„ διαιρετὰ, ἢ πραγμάτων εἰσὶ πάθη ἀπ' ἀλλήλων διαιρε-
„ τῶν.

Τὰ γὰρ τοιαῦτα καὶ νοηθείη αὖ, καὶ εἴη, ἀλλήλων τε, καὶ τῦ τρίτυ χωρίς. ( §. σβ'. ) Εἴη δ' αὖ ἤτοι καθ' ἑαυτὰ ὑποστα-

ποστατὰ, ἢ μή. Εἰ μὲν ἔν, καὶ πράγματι (§. σηβ΄.) ἄρα ἀλλήλων, ὥσπερ δὴ καὶ τοῦ γ΄. διαιρετά. Εἰ δὲ μὴ καθ᾽ ἑαυτὰ ὑποστατὰ, ἤτοι ἄρα προσόντα, ἢ δυνάμεις, ἢ πάθη ἄττα, ἐν ἄλλῳ, ἢ ἐν ἄλλοις ἐνυφιστάμενα. (§. ρπέ. ρπς΄.) Εἰ δὲ τοῦτο, καὶ τοῦ ἄλλου, ἢ τῶν ἄλλων, ἐκ τοῦ ἀκολούθου, ἐσωτερικῶς ἐξημμένα. (§. σλέ.) Ἀλλὰ γὰρ ἄλλου τρίτου τινὸς τοῦ αὐτοῦ οὕτως αὐτὰ ἐξηρτῆσθαι, ἀπείπατο ἡ ὑπόθεσις. Ἐξ ἄλλων ἄρα, πραγμάτων δὲ πάντως. (§. αὐτ.) Τὰ δέ τοι πράγματα ὄντα, καὶ πραγματιώδη ἔχει τὴν ἀπ᾽ ἀλλήλων διαίρεσιν. (§. σή.) Ἄρα τὰ μηδ᾽ ἀλλήλων, κτ.

## Σχόλιον.

§. τγ΄. Εἴτις ἄρα ἀποδείξειε μηδαμῶς ἐξῆφθαι τῶν τῆς ψυχῆς τὰς δυνάμεις τοῦ σώματος, οὐδ᾽ ἀνάπαλιν, οὐδὲ τῆς αὐτῆς οὐσίας πάθη ἐκείνας εἶναι, ἧσπερ καὶ ταύτας. Καὶ εἴτις ἔτι μὴ πρὸς οὐσίαν εἶναι τῇ ἐκτάσει ἀναγκαῖον κατασκευάσειε τὸ τῆς ὕλης στεγανὸν, καὶ στερέμνιον, ἤτοι τὸ πλῆρες, ἔνθεν μὲν ἀποδεδειχὼς ἔσαι τῆς ψυχῆς τὸ ἀσώματον καὶ ἀθάνατον, ἔνθεν δὲ τοῦ κενοῦ, τὸ μὴ πάντῃ ἀδύνατον. Τοῦτο δὲ ἄρα καὶ ὁ νεώτερος ἐκεῖνος φιλοσοφῶν (1) πάνυ ὀρθῶς εἰλήφει, ὡς δεῖγμα τῆς τῶν ὄντων πραγματιώδους διαιρέσεως ἀσφαλέστατον, τὸ unam rem absque altera clare intelligi, τουτέστι τὸ θάτερον ἄνευ θατέρου ἐναργῶς νοεῖσθαι. Τὰ γὰρ ἀλλήλων οὐσιωδῶς ἐξημμένα, οὐδ᾽ ἀλλήλων χωρίς ποτε, οὐδ᾽ ἁπλῶς μὴ ὅτιγε ἐναργῶς, νοηθήσεται. (§. σβ΄.) Καίτοιγε τοῖς εἰρημένοις, εἰς ἀκρίβειαν τοῦ κανόνος προσθεῖναι ὤφειλε, καὶ τὸ ἄνευ ξίτου τοῦ αὐτοῦ νοεῖσθαι, καὶ τὸ ἤτοι πράγματι ἀλλήλων εἶναι διαιρετὰ τὰ τοιαῦτα, ἢ γοῦν ὡς πραγμάτων πάθη ἀπ᾽ ἀλλήλων διαιρετῶν, ἃ καλῶς ποιοῦντες ἡμεῖς τῷ Θεωρήματι (αὐτ.) προ-

(1) Καρτέσιος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προσετιθέμεθα. Εἴη γὰρ ἄττινα, οἷον χάριν παραδείγματος, τὸ διαιρετὸν εἶναι τῷ σώματι, καὶ τὸ ἐλαστικὸν, ἢ τὸ ἑλκυστικὸν εἰ τύχοι, ὧν ἐναργῶς μὲν θάτερον θατέρου χωρὶς νοεῖται, ἐπεὶ δὲ τοῦ αὐτοῦ τρίτου, ἤτοι τῆς τοῦ σώματος οὐσίας, ὡς πάθος ἑκάτερον νοεῖται πράγματι ἀδιαίρετον (§. τ'.) καὶ οὐδὲ οὐσίαι εἰσὶν αὐθυπόστατοι, (§. σϛ'.) οὐδὲ τὸ ἀπ' ἀλλήλων πράγματι διαιρεῖσθαι ἐσχήκασι.

## Θεώρημα ΡΛΒ'.

§. τδ'. „Τὰ πρὸς οὐσίαν ἀναγκαῖα, τῶν οἷς οὕτως ἀναγ„καῖα ἐστὶν, ἔμμενον πράγματι, τῷ δὲ κατὰ νοῦν λόγῳ ἐστὶ „διαιρετά.

Ταῦτα γὰρ ἐσωτερικῶς ἐκείνων ἐξῆπται, (§. σβ'.) τὰ δ' οὕτως ἐξημμένα οὐ πράγματι διαιρετά. (§. σγέ.) Ἄρα τὸ Α'.

Ἐκεῖνα δὲ ἅτε φύσει πρότερα ὄντα, καὶ ἁπλούστερα (§. ιζ'.) κατ' ἀφαίρεσιν πρὸ τούτων, ὡς ὑστέρων καὶ ἐξ ἐκείνων συνισταμένων, πεφύκασι καὶ γιγνώσκεσθαι. (§. αὐτ.) Ἡ δὲ κατὰ γνῶσιν ἀφαίρεσις, τοῦ κατὰ νοῦν λόγου ἔργον τυγχάνει οὖσα σαφῶς. Ἄρα τὸ Β'.

## Πόρισμα.

§. τέ. Ἐπεὶ δὲ ὑστερογενὴς ἐστὶ τοῦ νοῦ, ἡ λόγῳ τελουμένη τῶν τοιούτων διαίρεσις, πρωτογενὴς δὲ ἡ τῷ πράγματι ἀδιαιρεσία τῶν αὐτῶν· (§. αὐτ.) ὥσπερ δὴ, καὶ ἡ ἐν οἷς ἂν ἐγχωρῇ, πραγματιώδης διαίρεσις· (σγβ'. σγδ'.) διά τοι τοῦτο καὶ ἡ μὲν ἐνεργείᾳ διαίρεσις προσφυῶς εἴρηται, ἢ ἀδιαιρεσία, εἰ πράγματι, ἡ δὲ δυνάμει, εἰ τῷ λόγῳ.

## Σχόλιον.

§. τϛ'. Οὕτω δὲ διαιρεῖται πάντα τὰ οὐσιώδη γνωρίσματα,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ματα, τῦ νῦ δηλονότι ἐκείνων χωρὶς τῶν λοιπῶν, καὶ τῆς πλατύσης ὐσίας, ἕκαςον ἐπιθεωρῦντος, καὶ τὴν μίαν ὐσίαν αὐτὴν, κατ' ἰσαρίθμυς ταῖς τελειότησιν ἐννοίας πληθυνόντος, καὶ ἀμερίςως μερίζοντος· ταύτῃ γέ τοι καὶ τὸ τριχῇ διαςατὸν, καὶ τὸ καταμετρητὸν εἶναι, καὶ τὸ ἐν τόπῳ, καὶ τὸ κινητὸν εἶναι, καὶ τὰ παραπλήσια, ἐν τοῖς σώμασι καθ' αὐτὸ ἕκαςον, κατ' ἀφαίρεσιν τὴν ἀπὸ τῶν ἄλλων ἀναλογιζόμεθα, καὶ οἱονεὶ διαιρετὰ εἶεν ἀνατυπύμεθα, τὰ ἐν αὐτοῖς πράγματι ἑνιζόμενα. Καὶ λογικὴν φαμὲν ψυχὴν ἔχειν τὸν ἄνθρωπον, καὶ αἰσθητικὴν, καὶ φυτικὴν, ὐ μαδὶ τρίψυχον οἷον τινὰ ὑπολαμβάνοντες, ἀλλὰ τὴν ἐν αὐτῷ μίαν; ὅσαγε καὶ αἱ τρεῖς αὗ, ἰδίᾳ ἑκάςη, ἰσχύσειαν, ἐπὶ τῦ συνθέτυ δυναμένην ἀνασκεπτόμενοι. Καὶ τῷ ἀφ' ἡλίυ δὲ σελαγίσματι τῷ ἀπλυςάτῳ, θερμαντικὴν ἐνῦσαν, καὶ φωτιςικὴν λέγομεν δυνάμεις, δι' ἀφαιρέσεως νοερᾶς καὶ ταύτας, ἀλλήλων τε καὶ τῆς ἀκτῖνος αὐτῆς διαςέλλοντες. Οὐ γὰρ δὴ εἰς ὄχλον δυνάμεων, πρὸ τῆς ἐπινοίας διακεινομένων, κατακερματίζειν τὰς ὐσίας δεῖν ὑπειλήφαμεν, ἀλλ' ὐσίαν τὴν ἐν ἑκάςῳ καθ' ἑαυτὴν μὲν μίαν ὖσαν, ἀντὶ πλειόνων δὲ ἐξαρκῦσαν, εἰς παραγωγὴν πολλῶν ἐνεργειῶν, ὡς πλειόνων εὐμοιρῦσαν δυνάμεων, νοεραῖς ἐπιβολαῖς διαιρεμένων ἡγύμεθα.

## Θεώρημα ΡΛΓ'.

§. τζ'. „ Η κατὰ τὰς περὶ τὸν Σκότον εἰδική τε, καὶ ἐνεργεία καὶ μὴ πραγματιώδης διαίρεσις, ἀπροσφυῶς μὲν εἰ„ δικὴ, ψευδῶς δὲ ἐνεργεία, ἀδυνάτως δὲ ἐνεργείᾳ τεθεῖ„ σα, μὴ πραγματιώδης εἶναι ὑποτίθεται.

Καὶ γὰρ εἰδικὴ ἂν εἴη κυρίως ἡ διαίρεσις, κατά τε τὸν Ἀριςοτέλην, καὶ τὰς περὶ ἐκεῖνον, καθ' ἣν πολλὰ λέγεται, τὰ μὴ ἐν τῷ εἴδει, ἀλλ' ἕτερα. ( §. σπ'. ) οἷον ἄνθρωπος καὶ βῦς, ἢ τοιαῦτα. Τοιαύτη δ' ὐκ ἔςιν ἡ κατὰ τὸν Σκότον· ( §. συ'. ) οἵα πυ κἀκείνῳ δοκεῖ. Ἄρα κτ. Ο. Η. τὸ Α'.

Εἶτα τὰ δι' αὐτῆς διαιρύμενα, οἷα τὰ ἐπὶ ἑκάςης ὐσίας



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γνωρίσματα, (§. σγ'.) πρὸ μὲν τοῦ νοῦ οὐδαμῶς, λόγῳ δὲ δι' ἀφαιρέσεως νοεῖται χωρὶς ἀλλήλων διαιρετά. (§. τδ'. τς'.) Τὰ δὲ τῷ λόγῳ διαιρετὰ δυνάμει ἔχειν λέγεται τὰ τῆς διαιρέσεως, οὐκ ἐνεργείᾳ. (§. τέ.) Ἡ τούτων ἄρα μεταξὺ χωροῦσα διαίρεσις δυνάμει κυρίως οὖσα, ἐνεργείᾳ ψευδῶς ἐπιλέλεκται. Ο. Η. τὸ Β'.

Τελευταῖον κἂν εἰ ἐνεργείᾳ, καὶ πράγματι ἀλλήλων διακριθήσεται. (§. τέ.) Καὶ ἡ διαίρεσις κατ' αὐτὸ πραγματιώδης. Ἀλλὰ γὰρ καὶ μὴ, (ἐξ ὑποθ.) ὅπερ (§. λ'.) ἀδύνατον. Ο. Η. τὸ Γ'.

## Σχόλιον.

§. τή. Τῷ ὄντι δὲ, τὸ μηδὲ κατ' ἐπίνοιαν, μηδὲ πραγματιῶδες τὸ αὐτὸ τυγχάνειν, μόνος αὖ ὁ Σκότος αὐτὸς περινοεῖν ἐξισχύσειεν, ἄλλος δ' οὐδείς. Εἰ γὰρ ἐκ τῆς φύσεως αὐτῶν, ὥς φησὶ, τὰ ὄντα οὕτω διήρηται, πῶς οὐχὶ πράγματι; εἰ δ' οὐχὶ πράγματι, πῶς ἔπειτα ἐκ τῆς φύσεως; εἰ μὲν γὰρ ἐξ αὐτῆς αὐτῶν, ἥπερ ἐστὶν ἡμῖν νοητὴ, τῆς οὐσίας, καὶ κατὰ τὸν ὁρισμὸν, ὡς εἰπεῖν τὸν νοηματώδη, (§. σλά.) καὶ λόγῳ ἄρα. Εἰ δὲ καθ' αὐτὴν, καὶ ὡς ἐν ἑαυτῇ ἔχει, καὶ κατὰ τὸν ὁρισμὸν τὸν πραγματιώδη, (§. αὐτ.) καὶ πράγματι πάντως. Τὸ γὰρ παρὰ τὸ μὴ εἶναι πράγματα τὰ ταύτῃ γε διαιρούμενα, τὸ πραγματιῶδες, εἴπερ ἔχει, τῆς αὐτῶν ἐξόμνυσθαι διαιρέσεως ἄλογον· ὥσπερ γὰρ καὶ πράγματα μὴ ὄντα, ἤτοι οὐσίαι αὐθύπαρκτοι, πράγματι προσεῖναι ὁμολογεῖται, ὅτι φύσει καὶ πρὸ τῆς ἐπινοίας πρόσεστιν, οὕτως αὖ εἴπερ φύσει διήρητο, καὶ μὴ μόνῳ τῷ λόγῳ, δεῖ αὖ λέγειν ὅτι καὶ πράγματι. Ἀλλὰ τοῦτο ἐστὶν, εἰ χρὴ πιστεύειν τῇ παρ' ἐμοὶ μαντικῇ, τὸ πράγματι μὴ τολμᾶν λέγειν, ὅτι συνέβαινεν ἐξ ἀνάγκης τὰ τῶν πραγμάτων πάθη, αὐτὸ δὴ τοῦτο καὶ αὐτὰ εἶναι πράγματα.

Θεώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΡΛΔ΄.

§. τθ΄. „ Οἱ μεταφυσικοὶ καλέμενοι βαθμοὶ τῇ κατὰ „ τὸν Σκότον εἰδικῇ διαιρέσει, ἥκιστα διακρίνονται.

Οὐ γὰρ ἀμέλειτοι διαιρέσει τῇ ψευδῶς τε καὶ ἀδυνάτως ἔχειν ἀποδειχθείσῃ. ( §. τζ΄. τή. ) Ἄρα κτ.

Ἄλλως. Καὶ εἰ ἐνεργείᾳ τε, καὶ πρὸ οἱασοῦν ἐπινοίας τό γε σῶμα τῆς ὀσίας ἐπὶ τοῦ ἀνθρώπου, φέρ᾽ εἰπεῖν, διήρητο, καὶ ἀνάπαλιν, καὶ τ᾽ ἄλλα ὡσαύτως, ἦν ἂν φύσει ( ἤτοι ἐξ αὐτῆς τῆς φύσεως τοῦ πράγματος, ὡς φίλον τοῖς Σκοτισαῖς τὰ τοιαῦτα φιλοσοφεῖν ) τὸ ἐν ἀνθρώπῳ σῶμα ἀνόσιον, φύσει δὲ ἡ ὀσία τοῦ ἀνθρώπου ἀσώματος. Καὶ εἰ φύσει τὸ ζῶον εἶναι, τοῦ λογικὸν, καὶ τοῦτο ἐκείνου, φύσει ἄρα ἄλογον τὸ ἐν ἀνθρώπῳ ζῶον, καὶ τὸ λογικὸν ἄζων. Τὰ δὲ πολλῆς ἔχεται τῆς ἀτοπίας. Ἄρα κτ.

Ἄλλως. Τὰ φύσει τε καὶ ἐνεργείᾳ διῃρημένα, ταῦτα οὐκ ἄν ποτε ἀφαιρεῖσθαι λέγοιτο ἀπ᾽ ἀλλήλων, ἥ γε πρὸ τῆς ἐπινοίας διήρηται. Ἡ γὰρ ἀφαίρεσις τελεῖται κατὰ διάνοιαν, ἐπὶ τῶν πρὸ τῆς ἐπινοίας ἑνιζομένων. Τὰ δὲ ὀσιώδη γνωρίσματα, δι᾽ ἀφαιρέσεως χωρὶς νοητὰ καθίσαται, καὶ τῆς ὀσίας, καὶ ἀλλήλων· οὐ γὰρ οὐθ᾽ ἡ ὀσία φύσει τούτων χωρὶς, οὐδ᾽ ἀνάπαλιν, οὐδ᾽ ἀλλήλων. Ἄρα κτ.

## Σχόλιον.

§. τί. Ἀπελεγχθείη δ᾽ ἂν ἐκ περιουσίας τὸ Σκότειον τουτὶ πλάσμα, καὶ ἐκ τῶν ἀνωτέρω. ( §. τδ΄. τέ. τϛ΄. ) Ἀλλὰ περὶ τούτων ἅλις.

## Περὶ Ταυτότητος καὶ Ἑτερότητος, Ὁμοιότητος καὶ Ἀνομοιότητος, Ἰσότητος καὶ Ἀνισότητος.

§. τιά. Ἐπεὶ ἡ ταυτότης ἑνότης τις, ἥτε ἑτερότης ἐκ διαιρέσεως, ἰσαρίθμως τοῖς, καθ᾽ οὓς ἕν τι λέγεται, τρόποις, ἢ πολ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολλὰ, τοὺς καθ᾽ οὓς ταυτὰ, ἢ ἕτερα, Ἀριστοτέλης ὀρθῶς
ὑπέθετο. (1) Εἶναι μὲν γάρ πως καὶ συνεχείᾳ ταυτὰ, ἢ ἕ-
τερα, καὶ ὕλῃ, τῇ τε προσεχεῖ καὶ τῇ πορρωτέρῳ, τῇ δὲ
πορρωτάτω ταυτὰ γοῦν. Καὶ ταυτὰ μὲν, καὶ ἕτερα καὶ γένει,
καὶ εἴδει, καὶ ἕτερα δὲ τῷ ἀριθμῷ οὐδὲν ἧττον, ὅσα τοῦ αὐ-
τοῦ εἴδους καθέστηκεν ἄτομα. Πότερον δὲ καὶ ταυτὰ, ὥσπερ καὶ
ἓν τῷ ἀριθμῷ, κυρίως φαίη τις ἄν; οὐ δοκεῖ. Τὸ μὲν γὰρ
ἀπολύτως νοεῖται, τὰ δὲ μετά τινος σχέσεως. Ἡ δὲ σχέσις
ἀεὶ ἑτέρου εἶναι ἐθέλει πρὸς ἕτερον. Καὶ εἰσενεχθείη ἂν
οὕτως ἡ ἑτερότης, τῇ μάλιστα ταυτότητι, ὅπερ οὐκ ἔξω ἵστα-
ται ἀντιφάσεως. Ὃ τοίνυν φασὶ ταυτὸν ἑαυτῷ ταυτὸν εἶ-
ναι, ἀκυρολεξίας οὐ πάμπαν ἀπήλλακται, ὃ καὶ Ἀριστοτέ-
λης συνεῖδεν εἰπὼν (2) ὅτι „ ἡ ταυτότης ἑνότης τις ἐστὶν,
„ ἢ πλειόνων τοῦ εἶναι, ἢ ὅταν χρῆται ὡς πλείοσιν. οἷον
„ ὅταν λέγῃ αὐτὸ αὐτῷ ταυτόν. ὡς δυσὶ γὰρ χρῆται αὐ-
„ τῷ· χρῆσθαι δὲ ἑνὶ ὡς πλείοσι τῷ ἑνὶ, διὰ χρόνου, ἢ κατὰ
τόπους, ἢ ἄλλως ὁπωσοῦν νοητῶς πληθυνομένῳ, καὶ πρὸς ἑαυ-
τὸ, ὡς ἄλλοτε, ἢ ἀλλαχοῦ, ἢ ἄλλως ἔχον, ἀναφερομένῳ.

§. τιβ΄. Οὐ μόνου δὲ ἄρα τοῦ ἑνὸς τὸ αὐτὸ, ἀλλὰ καὶ τὸ
ὅμοιον, καὶ τὸ ἴσον, ὥσπερ οὐδὲ τοῦ πλήθους μόνον τὸ ἕτερον,
ἀλλὰ καὶ τὸ ἀνόμοιον, καὶ τὸ ἄνισον. Καὶ ἀπὸ μὲν οὐσίας
ταυτὸν, ἢ τῷ ἀριθμῷ καταχρηστικώτερον ( §. τιά. ), ἢ
τὸ εἴδει ἓν, ἢ τῷ γένει. ( §. σπ΄. ) ἀεὶ δὲ τὰ ἡγουμένως,
καὶ ἑπομένως. Ἕτερον δὲ, ἀνάπαλιν ἀεὶ τὸ ἑπομένως, καὶ
„ ἡγουμένως. Διαφέρει δὲ τὸ εἶναι ἕτερον, τοῦ διαφέρειν. Τὸ
„ μὲν γὰρ ἕτερον, καὶ οὗ ἕτερον οὐκ ἀνάγκη εἶναι τινὶ ἕτε-
„ ρον· πᾶν γὰρ ἢ ἕτερον, ἢ ταυτὸν, ὅ,τι ἂν ᾖ ὄν· τὸ δὲ
„ διάφορον τινὸς, τινὶ διάφορον· ὥστε ἀνάγκη ταυτό τι εἶ-
„ ναι, ᾧ διαφέρουσι. Τοῦτο δὲ τὸ αὐτὸ γένος, ἢ εἶδος· πᾶν
„ γὰρ τὸ διάφορον διαφέρει ἢ γένει, ἢ εἴδει. (3) Ἀπὸ δὲ
τοῦ ποσοῦ ἴσον ἤτοι μεγέθει, ἢ πλήθει, καὶ ἄνισον· ἀπὸ δὲ
τοῦ ποιοῦ ὅμοιον, καὶ ἀνόμοιον. Εἰς ταῦτα δ᾽ ἂν ἀναχθείη καὶ
τὰ

(1) Μεταφ. Δ. Κεφ. θ΄. (2) Αὐτόθ.
(3) Μεταφ. Ι. Κεφ. γ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῇ σχέσει, ἢ ἐν τῷ ἐνεργεῖν, ἢ πάσχειν, ἢ κεῖσθαι, ἢ ἔχειν, ἢ ἀναλογίᾳ ἐνιζόμενα, ἢ πληθυνόμενα, καὶ τὰ κατὰ χρόνον ἅμα, ἢ μή, καὶ τὰ κατὰ τὸ πῦ ὁμοῦ (ὡς ἐνδέχεται) ἢ χωρίς· λέγω δὲ, ὡς ἐνδέχεται, διὰ τὰ σώματα. Ἐκ δὴ τούτων ἁπάντων, ἢ πλειόνων, ἢ ἑνός τινος τοῖς οὖσιν αἱ ὁμοιότητες συμβαίνουσι, καὶ ἀνομοιότητες.

§. τιγ΄. Ἐπὶ τούτοις δὲ, καὶ τοῦτ' ἂν εἴη ἐπιστάσεως ἄξιον, ὡς τῶν μὲν ὁμολόγως, τὰ τῷ γένει ταυτὰ, ἢ ἕτερα, τὸ μᾶλλον καὶ ἧττον ἢ τοιαῦτα, οὐκ ἂν ἐπιδέξαιτο· ᾗ γὰρ ταυτὰ, τὸ κοινὸν ἔχει, ᾗ δ' ἕτερα, κοινὸν οὐδὲν αὐτοῖς, ὥπερ ἂν γένοιτο ἡ μεταξὺ τούτων παράθεσις. Οὐδὲ μὲν οὖν τὰ τῷ εἴδει ταυτὰ, τῆς οὐσίας ἀνεπιδέκτου ἐπιτάσεως καὶ ἀνέσεως ὁμολογουμένης· τὰ δὲ τῷ εἴδει ἕτερα, μᾶλλον καὶ ἧττον διαφέρειν, ἴσως οὐδὲν ἀπεικός· τῇ κατὰ τὸ μᾶλλον καὶ ἧττον ἀποστάσει τῶν διαφορῶν, ἔγγιον ἢ ἀπωτέρω ἀλλήλων γινόμενα. Τὰ δὲ ἑτερολόγως ταυτὰ ἢ ἕτερα, μᾶλλον καὶ ἧττον εἶναι τοιαῦτα, ἀλλήλοις παρεξεταζόμενα εὑρεθήσεται· μᾶλλον γὰρ ταυτὰ τὰ τῷ εἴδει, ὅτι καὶ τῷ γένει· μᾶλλον δὲ ἕτερα τὰ τῷ γένει, ὅτι καὶ τῷ εἴδει. (§. τιβ΄.) Εἰ γὰρ καὶ τὴν οὐσίαν ἀνεπίδεκτον οὖσαν ἐπιτάσεως καὶ ὑφέσεως Ἀριστοτέλης ἐγνώρισεν (1), τὴν πρώτην ἀλλ' οὖν τῇ πρώτῃ παραθέμενος, οὕτως ἔχειν ἐδίδαξε. Τὸ δὲ εἶδος μᾶλλον οὐσίαν, ἢ τὸ γένος, οὐδ' αὐτὸς εἰπεῖν ὤκνησεν. Τῶν δὲ κατὰ τὸ ποσὸν ἐνιζομένων, ἢ μή, τὰ μὲν ἴσα, τὸ μᾶλλον καὶ ἧττον παραιτεῖται, τὰ δ' ἄνισα ἀσπάζεται. Πέρατος γὰρ ἐπέκεινα παντὸς οἱ βαθμοὶ τῆς τε ὑπεροχῆς καὶ τῆς ἐλλείψεως· τῶν δὲ κατὰ τὸ ποιὸν τοῦ μᾶλλον καὶ ἧττον δεκτικὰ, καὶ τὰ ὅμοια, οὐδὲν ἧττον ἢ τὰ ἀνόμοια. Τοῦτο δὲ ἤτοι παρὰ τὸν ἀριθμὸν τῶν ποιοτήτων, ἢ γοῦν καὶ παρὰ τὴν αὐτὴν, ἐπίτασιν οἵαν οὖσαν ἐπιδεχθῆναι καὶ ἄνεσιν.

§. τιδ΄. Τῆς μὲν οὖν ταυτότητος καὶ ἑτερότητος, οὐκ ὀλιγωρητέους ἐμοὶ δοκοῦσιν ἀποδεδωκέναι τοὺς ὁρισμοὺς, καὶ οἱ εἰπόντες, (2) τὴν μὲν, ἀξεψίαν εἶναι τοῦ ὄντος, ἄλλοτε καὶ ἀλ-

---

(1) Περὶ Οὐσίας.
(2) Γενουήσ. Μεταφ. Μέρ. ά. Κεφ. Δ'. Ὁρισμ. λδ'. λέ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλαχοῦ θεωρουμένης, τὴν δὲ τροπὴν τοῦ τόπου, καὶ χρόνου συμμεταβάλλοντος. Οὕτω γὰρ τῶν, καθ' οἷον δή τινα τρόπον, τὰ αὐτὰ εἶναι λεγομένων, ἢ μὴ, καὶ γένει φημὶ, καὶ εἴδει, καὶ ἀριθμῷ, ἀποδεδωκότες εἰσὶν, ὁρισμὸν ἕνα, κοινὴ κατὰ πάντων λεγόμενον. Εἰ μὴ γὰρ ἐτράπη, ἐπὶ πολύ τε διαρκέσαντα, καὶ τόπον ἀμείψαντα, γένει, ἢ εἴδει, ἢ ἀριθμῷ ταὐτὰ εἶναι λέγομεν. Εἰ δ' οὖν, ἕτερα· ὡς οἷα οἱ Γερμανοὶ ταυτὰ, ἢ ἕτερα ἀποφαίνονται, ὧν θάτερον ἀντὶ ἑτέρου τροπῆς αὐτὴν, ἢ μετά γε, ἀντεισενεχθείη, καὶ ὧν θατέρῳ ἐννοεῖν, ἢ μὴ, πάρεστιν, πᾶν ὅ,τι καὶ θατέρῳ (1), ἐκ τοῦ διακεισίν τινα ἐμφαίνειν ἀτομικὴν, τὰ τῷ ἀριθμῷ ταυτὰ, ἔξω τοῦ ὁρισμοῦ τιθέναι ἐοίκασιν.

§. τιέ. Διεῖλον δὲ οὐκ ἀτόπως τὰ ὄντα ταυτὰ, ἢ ἕτερα, εἰς τὰ ἁπλῶς τε, καὶ μεταφυσικῶς τοιαῦτα, καὶ τὰ πῇ, καὶ κοινότερον. Καὶ ἁπλῶς μὲν, καὶ κατὰ μεταφυσικὴν, οὕτω φάναι, ἀκρίβειαν, ταυτὰ, ἐφ' ὧν οὐ μόνα τὰ οὐσιώδη, ἀλλὰ καὶ τὰ ἐπουσιώδη ὡσαύτως ἔχουσιν· οὕτω δὲ ἕτερα, ὧν μόνα τὰ ἐπουσιώδη, ἑτεροίως διάκειται. Πῇ δὲ, καὶ κοινότερον ταυτὰ, οἷς τὰ μὲν οὐσιώδη, οὐδόλως ἐξήλλακται, ἑτεροῖα δὲ αὐτοῖς τῶν ἐπουσιωδεστέρων ἐστὶν ἕν, ἢ τὰ πλείω· ὥστε τὰ κοινῇ ταυτὰ, μεταφυσικῶς εἶναι ἕτερα. Κοινῇ δὲ ἕτερα, τὰ καὶ τὰ οὐσιώδη παρηλλαγμένα. Οἱ δὲ Γερμανοὶ ἁπλῶς μὲν εἶναι ταυτὰ βούλονται, ὧν οὐδὲν ἐστὶν εὑρεῖν ἐν θατέρῳ, ὃ μὴ καὶ θατέρῳ παρῇ. Εἰ γάρ τι, πρός τι, φασὶν, ἔξει τὰ τῆς ταυτότητος.

## Θεώρημα ΡΛΕ'.

§. τις'. „Ὄντα δύω, ἢ καὶ πλείω, ὑφεστῶτα, γένει „μὲν, ἢ εἴδει εἶναι ταυτὰ, δυνατόν. Ἀριθμῷ δὲ, ἀδύνα„τον.

Γένει γὰρ, ἢ εἴδει ταυτὰ ἂν εἴη, τὰ ἤτοι τοῦ κοινοτέρου

τῶν

(1) Βαυμεῖς. Κεφ. έ. §. λζ'. Ὀντολογ. Μέρ. ά.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν νοουμένων ἐπὶ τῆς οὐσίας γνωρίσματος, ἐπίσης κοινωνοῦντα, ἢ καὶ τοῦ εἰδοποιοῦντος, καὶ συνιςῶντος. ( ἐξ ὑποθ. ) Δυνατὸν δὲ εἶναι, μᾶλλον δὲ εἰσὶ, τὰ τῆς κοινωνίας ταύτης λαχόντα τὰ μὲν καθ' ἑκάτερον τὸν τρόπον, τὰ δὲ καθ' ἕτερον. Ταύτῃτοι ἡ ἰδέα μία, διαςατικὴ γίνεται τοῦ κοινῇ τοῖς πλείοσιν ἐνυπάρχοντος. ( §. σπή. σπθ'. ) Ἄρα τὸ Α'.

Ἀλλ' εἴπερ ἀριθμῷ ταυτὰ, καὶ ἕν· ἡ γὰρ ταυτότης ἑνότης τις ἐςί. ( §. τιά. ) Καὶ μίαν καὶ δύω, ἢ καὶ πλείω. ( ἐξ ὑποθ. ) Καὶ οὐδὲ ἓν ἄρα τὸ ἓν, ὅπερ ἀδύνατον. ( §. λ'. ) Ἄρα καὶ τὸ Β'.

## Σχόλιον.

§. τιζ'. Μηδεὶς ἐντεῦθεν κατὰ τῆς ὑπὲρ νοῦν Τριάδος, καὶ τῆς ξένης ἐνανθρωπήσεως, βέβηλα χείλη διαίρειν τολμησείεν. Ὁ γὰρ εἰπὼν ὄντα δύω ὑφεςῶτα, οὐσίας δύω, ἢ πλείους τῶν ἀριθμῷ διῃρημένας ᾐνίξατο. Τῶν δὲ ὑπερφυῶν, καὶ λόγου παντὸς ἐπέκεινα μυςηρίων, τὸ μὲν ἐν μοναδικῇ, καὶ ἑνιαίᾳ τῇ φύσει τὸ τρισσὸν λαμβάνειν τῶν ὑποςάσεων, οὐδὲ τρεῖς, ἀλλὰ Θεὸν ἕνα προσκυνεῖν μυεῖ τοὺς πιςεύοντας. Τὸ δὲ ἐν δυσὶ ταῖς φύσεσιν ἀσυγχύτοις, μίαν τὴν τοῦ λόγου δοξάζειν ὑπόςασιν, οὐδὲ δύω, ἀλλὰ τὸν αὐτὸν ἕνα θεάνθρωπον σέβεσθαι. Οὐ γὰρ, οὐδ' ἐκεῖσε συμμερίζεται τοῖς προσώποις ἡ φύσις, κατὰ τὴν Ἀρείου μανίαν, οὐδ' ἐνταῦθα ταῖς φύσεσι τὰ πρόσωπα συμπληθύνεται, κατὰ τὴν Νεςορίου παράνοιαν. Ταῦτα γὰρ τῆς κτιςῆς ἐςὶν οὐσίας τὰ πάθη, ὧν ἡ ἄκτιςος ὑπερουσιότης ὑπεριδρυμένη πιςεύεται. Ὡς ὅγε ἐκ τῶν παρ' ἡμῖν τὰ ὑπὲρ ἡμᾶς μετρεῖν θρασυνόμενος, πολὺ πρότερον, ἢ λόγου, ἐλλεβόρου ἐςὶ δεόμενος.

## Θεώρημα ΡΛϛ'.

§. τιή. „ Τὰ μόνῳ τῷ γένει ταυτὰ, οὐδὲ μεταφυσικῶς, „ ἀλλ' οὐδὲ κοινῇ εἰσὶ ταυτά.

Ἐπὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐπὶ γὰρ τούτων τὰ συνιστῶντα τὸ εἶδος οὐσιώδη γνωρίσματα οὐ κοινολογεῖται. ( ἐξ ὑποθ. ) Δεῖ δὲ, ἐφ' ὧν ἡ μεταφυσικὴ αὕτη ἐπιθεωρεῖται ταυτότης, ἅπαντα τὰ οὐσιώδη, καὶ δὴ, καὶ τὰ ἐπουσιώδη εἶναι κοινά. ( §. τιέ. ) Ἄρα ὅπερ ἦν τὸ Α'.

Κοινῇ δὲ ταυτὰ, ἐφ' ὧν τοὐλάχιστον τὰ οὐσιώδη κοινά. ( §. τιέ. ) Ἀλλ' οὐχ οὕτως ἔχει τὰ μόνῳ τῷ γένει ταυτιζόμενα. Τούτοις γὰρ τὰ τοῦ εἴδους ὄντα συστατικὰ, εἰσὶ διαφέροντα. ( ἐξ ὑποθ. ) Ἄρα καὶ τὸ Β'.

## Θεώρημα ΡΛΖ'.

§. τιθ'. „ Τὰ ἄχει τοῦ εἴδους ταυτὰ, κοινῇ μὲν ταυτὰ, „ μεταφυσικῶς δὲ, καὶ κατὰ πᾶσαν ἀκρίβειαν οὐχί.

Πρὸς γὰρ ἐκεῖνο, ἤρκεσε τὰ οὐσιώδη πάντα εἶναι ταυτά. ( §. τιέ. ) ἐπὶ δὲ τούτῳ, καὶ τὰ ἐπουσιώδη χρεία ταυτίζεσθαι. ( §. αὐτ. ) Ταῦτα δὲ οὐκ ἐξ ἀνάγκης ἐκείνοις ἀεὶ συνεφέπεται τοῖς αὐτοῖς τὰ αὐτὰ, ἥπερ ἐνδεχομένως ἐπισυμβέβηκεν. ( §. σλ'. ) Καὶ ἀριθμῷ δὲ διαφέρουσιν ( ἐξ ὑποθ. ) καὶ τόποις, καὶ χρόνοις, καὶ παντοίαις ἄλλαις ποιότησι, τὸ ἑτεροῖον τῆς καταστάσεως ἐμφαίνεται, ὡς δῆλον. Ἄρα ὅ τὸ Α'. καὶ τὸ Β'.

## Θεώρημα ΡΛΗ'.

§. τκ'. „ Τὸ μεταφυσικῶς τὸ αὐτὸ, καὶ ἀριθμῷ ἓν εἶ- „ ναι ἐπάναγκες.

Δέον γὰρ εἶναι τὸ αὐτὸ, ( ἐξ ὑποθ. ) ἐπεὶ οὐ μόνῳ τῷ γένει ἐξαρκεῖ. ( §. τιή. ) Οὐδ' ἄχει τοῦ εἴδους ἔχειν τὰ τῆς ταυτότητος. ( §. τιθ'. ) ἀνάγκη πᾶσα, ( §. τιά. ) τῷ ἀριθμῷ εἶναι ἕν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΡΛΘ΄.

§. τκά. „ Ὄντα δύω ὑφεστῶτα μεταφυσικῶς εἶναι ταυ- „ τὰ, ἀδύνατον.

Εἴη γὰρ ἂν ταῦτα ἐξ ἀνάγκης καὶ τῷ ἀριθμῷ ἕν. (§. τκ΄.) ἀδύνατον δέ. (§. τις΄.) Ἄρα κτ.

Ἄλλως. Ἐπὶ τῶν μεταφυσικῶς οὕτω ταυτίζεσθαι ὑποτιθεμένων, οὐ μόνα τὰ οὐσιώδη, ἀλλὰ καὶ τὰ ἐπουσιώδη αὐτὰ, ὡσαύτως ἔχειν ἐπανάγκες. (§. τιέ.) Ἀδύνατον δὲ δύω ὑφεστῶτα, οἷον Α καὶ Β, οὕτως ἔχειν. Εἰ γὰρ τὰ ἄλλα κοινὰ αὐτοῖς ὑποτεθῇ ἅπαντα, καὶ τόπου μὴ ὁπωσοῦν ἔχῃ τοῦ κατὰ περιγραφὴν, ὥσπερ τὰ σώματα, καὶ διαμονῆς τύχοι τῆς αὐτῆς, ὥστε ἐν μηδενὶ μηδαμῶς ἀλλήλων διαφέρειν· οἷον ἐν ὑποθέσει δύω ἄγγελοι, ψυχαὶ δύω, ἀλλὰ τό γε διακεκρίσθαι ἀλλήλων τὰς ὑποστάσεις, ὥστε μὴ θάτερον εἶναι θάτερον, ἱκανὸν τούτοις εἰς ἑτερότητα. Ἡ δὲ ἑτερότης ὁπωσοῦν εἰσαχθεῖσα ἀναιρετικὴ γίνεται τῆς ἐπ' ἀκριβὲς ταυτότητος. Ἕξει γὰρ δήπου, εἰ μηδὲν ἄλλο, τὸ Α, τὸ μὴ εἶναι αὐτὸ Β, ὃ οὐ πρόσεστι τῷ Β, Β ὄντι. τό,τε Β τὸ μὴ εἶναι τὸ Α, ἀλλ' ἕτερον τούτου, τοῦ μὴ ἑτέρου ἑαυτοῦ τυγχάνοντος. Ἄρα κτ.

## Σχόλιον.

§. τκβ΄. Ὁ μετ' εὐκλείας παρὰ τοῖς Γερμανοῖς οὐ προπολλοῦ φιλοσοφήσας Λεϊβνίτιος, καὶ περαιτέρω χωρήσας τοῦ προτεθέντος, ἀπισχυρίσατο, ὡς καὶ τοῦ τόπου, καὶ τοῦ χρόνου, καὶ τῆς καθ' ὑπόστασιν ἑτερότητος ὑπεξαιρουμένων, ὄντα δύω πάντη πάντως ὅμοια ἀλλήλοις ὑποστῆναι ἀδύνατον. Ἡ δὲ δόξα, ἀρχὴ τῶν ἀδιακρίτων αὐτῷ προσείρηται· διὰ τὸ γενέσθαι ἂν, εἴπερ, τὰ τοιαῦτα μηδὲν ἀλλήλων διακεινόμενα. Κατασκευάζειν δὲ τὸ δοκοῦν αὐτῷ ἐκ τούτου μάλιστα ὑπείληφεν, ὅτι λόγος ἂν οὐδεὶς ὑπείη, ἀποχρῶν θέσθαι τὸ μὲν ὧδε, τὸ δὲ ὧδε, ὁμοιοτάτων ὄντων, καὶ ἀλλήλων ἀντικαθίστασθαι δυναμένων. Ἀλόγως δ' οὐκ ἂν γένοιτο μηδέν. Τούτου δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ καὶ μάρτυρας, τὰς αἰσθήσεις αὐτὰς παρίσι. Μηδὲ κέγχρους δύω εὑρεθῆναι δυνατὸν, τέλεον ἀλλήλαις προσεοικείας διατεινόμενος· ἢ κόκκους ψάμμου, ἢ φύλλα δένδρων, ἢ τινὰ τῶν ἐν τῇ φύσει, ὅλως. Ὡς καί τινας τῶν περὶ τὴν Ἐλεκτόρισσαν Ἀννόβερ, κατὰ τὸν ἐν Ἑρρενχαύζεν παράδεισον, ἐπὶ διαχύσει ψυχῆς ποτε τὸν περίπατον ποιουμένων μετὰ τοῦ Φιλοσόφου, καὶ περὶ τῆς δόξης διαλεγομένων, ἀντιφερομένους τῷ δόγματι, ἐπὶ εὑρέσει δυοῖν φύλλων πάντῃ ὁμοίων, τηνάλλως τὸ πλεῖστον ἐκδαπανῆσαι τῆς ἡμέρας. (1) Ἀλλ' αὕτη μὲν ἐν σπουδῇ παιδιὰ φιλόσοφος. Περὶ δὲ τοῦ ζητουμένου, τὸ δοκοῦν ἀποφαινομένοις, τὸ ὑφεστὼς τοῦ δυνατοῦ ἀναγκαῖον ἂν εἴη πρὸ παντὸς διακρῖναι. Εἶτα καὶ τῶν ὑφεστώτων τὰ σύνθετα, τῶν ἁπλουστάτων. Εἰ μὲν γὰρ περὶ τοῦ ἁπλῶς δυνατοῦ ὁ λόγος ᾖ, δίχα τῆς κατὰ χρόνον, καὶ τόπον, καὶ τῆς ὑποστατικῆς μάλιστα εἰς οὐδὲν τιθεμένης ἑτερότητος, ὄντα δύω, κἄν τε ἁπλᾶ ταῦτα τεθῇ, εἴτ' οὖν, καὶ σύνθετα, ἀκριβῶς ὅμοια πρὸς ἄλληλα, ὡς μηδ' ἣν τινα οὖν ἀντίφασιν ὑπαντιάζουσαν φέροντα, ἀδύνατα ἡμῖν οὐ δοκεῖ. Αὐτίκα γὰρ ἀδύνατα αὐτοὺς διδάσκειν, καὶ ἀντιφάσκοντα, κἂν ἐκ τούτου ῥᾴδιον εἴη συνιδεῖν, ὅτι τὰς κατὰ τόπον, καὶ χρόνον διαφορὰς πρὸς οὐδὲν τιθέμενοι, ἐξ αὐτῶν ἔπειτα, τὸ ζητούμενον κρίνουσι· διατὶ, γὰρ, τὸ μὲν ὧδε, φασὶ, τὸ δὲ ὧδε; καὶ τὸ μὲν, εἰ τύχοι, νῦν ἤδη, τὸ δ' ἄλλοτε; Καὶ ὅτι ὅμοια πάντῃ ὑποτιθέμενοι, καὶ τούτων τὸ μὲν ὑφεστὼς, τὸ δὲ πρὸς ὑπόστασιν ἀδύνατον ἀποφαινόμενοι, τὴν ἐσχάτην αὐτὰ ἀνομοιότητα περιβάλλουσιν. Εἶτα, ἐπεὶ τὸ ἕτερον κατ' αὐτοὺς δυνατὸν, τί μὴ καὶ τὸ ἕτερον; Εἰ δὲ χωρὶς ἑκάτερον, τί μὴ καὶ ἄμφω, ἅμα; Ἢ καὶ κόσμος ἕτερος τῷ ὑφεστῶτι ἐμφερέστατος ἐν τοῖς ἀδυνάτοις ταχθήσεται, καὶ ταῦτα πανσθενοῦς τοῦ Δημιουργοῦ ὁμολογουμένου; ἢ τοῦ δευτέρου παραχθέντος ἤδη, ὀλέσθαι τὸν ὄντα ἐπάναγκες; ἀλλ' οὐκ ἔχει λόγον. Οὐ γὰρ ἡ ἐκείνου ἀνυποστασία τῆς τούτου ὑπάρξεως παραίτιος ἐστὶν, οὐδ' ἐπιζητούμενόν τι, ἀναγκαῖον ὁπωσοῦν πρὸς ὑπαρ-

(1) Εἰσηγήσ. Φιλοσοφ. τῆς Φιλοσόφου Κατελλέτ. ἐν §. 12.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὕπαρξιν τούτῳ, ὡς ἂν κατὰ τὸν ἐναντίον λόγον, ἡ τοῦ ὑφεστῶτος ἀνυπαρξία ἐπαχθείη, ἐκ τῆς τοῦ μὴ ( εἰ ἐξ ὑποθέσεως λάβοι ) ὑποστάσεως. Ἀλλὰ τί δήποτε ὁμοίων ὑποτιθεμένων φασὶν, ὁ μὲν πρότερον, ὁ δὲ ὕστερον; καὶ ὁ μὲν ὧδε, ὁ δὲ ὧδε; Ἀλλὰ γὰρ ( ἵν', ὃ φθάσας ἔφην ἐάσω, ὅτι λόγον ἀπαιτοῦσιν, ὧν οὐδένα λόγον ποιεῖν ἐπαγγέλλονται ) αὐτὸς ἂν ἡδέως πυθοίμην αὐτοῦ, ὃ καὶ ὁ Ἄγγλος Κλάρκιος, τοῦ Γερμανοῦ Λεϊβνιτίου πυθέσθαι φέρεται. Τί δήποτε οὐχὶ πρὸ ἓξ χιλιάδων ἐνιαυτῶν, ὁ Δημιουργὸς ἡμῖν τὸ πᾶν τόδε ὑπέστησεν (1); Εἰ γὰρ ἀπαντήσας εἴποι, ὡς οὐδὲν πραγματιῶδες ὁ χρόνος, τῶν ἐν χρόνῳ ὄντων χωρὶς ὑφιστάμενος, αὐτὸ δὴ τοῦτο καὶ αὐτοὶ περὶ τῶν δύω ὁμοίων ζητοῦντι, τὸν λόγον, τοῦ τὸν μὲν πρότερον παραχθῆναι ἄν, τὸν δὲ ὕστερον, καὶ τὸν μὲν ὧδε, τὸν δὲ ὧδε, παραπλησίως ἀπαντήσομεν. Καὶ χωρὶς δὲ τούτου, λόγος μάλιστα ἀποχρῶν, ἐν τοῖς περὶ τῶν ἀδιαφόρως ἐχόντων, κινουμένοις τοῖς δὲ ζητήμασιν, ἡ τοῦ Δημιουργοῦ θέλησις ἐστὶν, ἡ τὸ δοκοῦν παντελευθέρως, ὅτε, καὶ ἔνθα βούλεται ἀποτελοῦσα. Καὶ ταῦτα μὲν περὶ τοῦ δυνατοῦ ἁπλῶς προκειμένου ζητεῖν. Εἰ δὲ περὶ ὑφεστώτων ὁ λόγος, τῶν μὲν συνθέτων χαλεπὸν οἶμαι, ἴσως δὲ καὶ ἀδύνατον ἐν τῇ φύσει, δύω εὑρέσθαι τινὰ, ἀκριβῆ τὴν πρὸς ἄλληλα ἐμφέρειαν διασώζοντα. Τῶν δὲ ἁπλουστάτων, οἷον μορίων δύω πάνυ λεπτῶν, ἀέρος, πυρὸς, κτ., τί μὴ οὐχί; συνορᾶν οὐκ ἔχω. Τοὐναντίον γὰρ ἔμοιγε δοκεῖ, ὡς ἦν πάντα ἦν ἀνόμοια τὰ ἁπλούστατα, ᾤχετ' ἂν ἐκ τῶν ὄντων, ἡ κατά τι ὁμοιότης· νῦν δὲ ἐπεὶ πολλὰ ἐν τοῖς οὖσιν, ἰδεῖν ἐστὶν ἐν πολλοῖς, οὐκ ἀμυδρὰν ἐμφαίνοντα τὴν παραπλησιότητα, εἰκὸς ἐστὶν ἀποφαίνεσθαι, ὅτι πλεῖστα τῶν ὁμοφυῶν σωματίων, ἐξ ὧν ὡς πρωτίστων οἱονεὶ στημόνων τὰ σύνθετα συνυφαίνεται, ἀλλήλοις ἐστὶν ἐμφερέστατα. Εἰ γὰρ ( ὃ μέγιστον αὐτοῖς ὅπλον εἶναι δοκεῖ ) τὸν ἀποχρῶντα αὖθις ἡμῖν λόγον ἐπανατείνωσι, καὶ τί δήποτε πύσωνται, τὸ μὲν τῶν ἐμφερεστάτων τουτωνὶ τῆς

ὕλης

(1) Παρὰ τῇ Φιλοσόφ. ἔνθα ἀνωτ. ( §. 96. )

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὕλης μορίων, ἐν τῷ σφαίρῳ τυχὸν τῆς σελήνης τέτακται, τὸ δ' ἐπὶ γῆς, εἰ ἀλλήλων ἐδὲν διαφέρει, πρῶτον τὸ αὐτοδιόριστον, ὡς καὶ ἀνωτέρω, τῆς τῦ Θεῦ βελήσεως, ὡς λόγον κεφαλαιωδέστατον ἐπὶ τῶν τοιέτων ὄντα, εὖ ποιῦντες ἀποδώσομεν. β'. ὅτι κἀκεῖσε χρεία ἦν τῦ ὁμοίυ, διὰ τὸ ἐν μέρει ὅμοιον τῆς συμπήξεως τῦ ὅλυ, ἐροῦμεν. Καὶ ὡς, ἐπεὶ κρεῖττον ἦν ἐκεῖσε, καὶ θάτερον, ἐξαρκῦντος τῦ ἑτέρυ, ἀναγκαῖον δὲ ὧδε, τὸ μὲν ἐνθα, τὸ δὲ ἐνθα ἐτέθη. Οὔκων δ' ἑκάτερον ἑκατέρωθι, ὠδ'.ὠδέτερον γ'. δὲ, ἐπεὶ ὠδὲν ἀλλήλων διαφέρει, ὡς ἡ ὑπόθεσις βόλεται, διὰ δὴ τῦτο αὐτὸ μάλιστα τὸ μὲν ὧδε, τὸ δὲ ὧδε, ὅτι ὠδὲν διαφέρει, ἀποκρινόμεθα. Ὡς τόγε ἐπὶ τῶν ἀδιαφόρως ἐχόντων, λόγον διαφορᾶς ἀπαιτεῖν, παραπλήσιον ἂν εἴη ἐκ τῦ ἐναντίυ, τῷ ὡς ἀδιαφόρως ἔχυσι κεχρῆσθαι ἐθέλειν, τοῖς διαφέρυσιν.

## Θεώρημα ΡΜ'.

§. τκγ'. „ Τῶν φύσει ὄντων ὠδὲν αὐτὸ ἑαυτῷ ἁπλῶς ταὐτόν.

Τῷ γὰρ ὄν, ταυτὸν ἑαυτῷ εἶναι λέγοντες, ὡς δυσὶ χρώμεθα, πρὸς ἑαυτὸ ὡς ἄλλοτε, ἢ ἀλλαχῦ, ἢ ἄλλως πως ἔχον αὐτὸ ἀναφέροντες. ( §. τιά. ) Οὕτω δέ τοι θεωρῦντες, μεταβολὴν αὐτῷ τῶν ἐπυσιωδῶν, οἷον τόπυ, καὶ χρόνυ, καὶ ἄλλων τῶν ἐπισυμβαινόντων αὐτῷ ἐπεισάγομεν. Ἀλλὰ γὰρ, ἐπὶ τῶν ἁπλῶς ταυτὰ εἶναι νομιζομένων, ὀ μόνα τὰ ὠσιώδη, ἀλλὰ καὶ τὰ ἐπυσιώδη αὐτὰ, ὡσαύτως ἔχειν ὑποτίθεται. ( §. τιέ. ) Ἄρα κτ.

## Σχόλιον.

§. τκδ'. Οὕτω τοίνυν, πολλῷ πάντως μετριώτερον, καὶ τῷ λόγῳ σύμφωνον, ἐφιλοσόφησαν οἱ Ἡρακλειτίζοντες, ἢ πᾶσαν ἄρδην ἀλήθειαν ἀπὸ τῶν ὄντων ἀπεκρύσαμενοι. Οὐ γὰρ ἐπειδὴ ἑώρων πᾶσαν ταύτην κινυμένην τὴν φύσιν, περὶ τῦ μεταβάλλοντος, ὠδὲν πάντη ἀληθεύειν ὤφειλον ἀπο-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φέρειν. Εἰ γὰρ ἄλλο μηδὲν, κἂν ἓν τοῦτο, ὡς ἀληθὲς αὖ-
τις εἰκότως τὸ λεγόμενον αὐτοὺς ἥττησεν, καίτοι μὴ ὂν ἀλη-
θές. Ἤρκει δὲ τὴν δι' ὅλου ταυτότητα ἀρνουμένους, τὴν ἐν
μέρει τε καὶ κοινῇ λεγομένην παραδέξασθαι. Ἔστω γὰρ ὅτι
„ δὶς τῷ αὐτῷ ποταμῷ οὐκ ἔστιν ἐμβῆναι, εἰ δὲ βούλει,
„ οὐδ' ἅπαξ, ὡς ἐδόκει Κρατύλῳ, ὃς καὶ Ἡρακλείτῳ, τὸ δὶς
„ εἰπόντι ἐπετίμα, καὶ τὸ τελευταῖον οὐδὲν ᾤετο δεῖν λέ-
„ γειν, ἀλλὰ τὸν δάκτυλον ἐκίνει μόνον. Ἀλλὰ μὴ καὶ κα-
τάγε τὰ οὐσιώδη ὑπέστη τὴν μεταβολὴν τὸ ὕδωρ, ἐπεὶ
παρερρόησεν, ἢ καὶ τοῦ εἶναι ὕδωρ, καὶ σῶμα, καὶ ὑγρὸν, ἅ-
μα τῷ τόπῳ τυχὸν, καὶ τῷ χρόνῳ συνεξερρύη, καὶ συνεξέ-
στη; ἀλλ' οὐκ ἔστιν εἰπεῖν. Ὡς γὰρ Ἀριστοτέλης πρὸς ἐκείνους
„ οὕτω φρονοῦντας, οὐ τὸ αὐτὸ ἐστὶ, τὸ μεταβάλλειν κατὰ τὸ
„ ποσὸν, καὶ κατὰ τὸ ποιόν. Κατὰ μὲν οὖν τὸ ποσὸν ἔστω μὴ
„ μένον (εἰ δὲ βούλει, καὶ κατὰ τὸ ποιὸν, ἀληθὲς γὰρ καὶ
τοῦτο ἐπὶ πολλῶν, καὶ οὐδὲν ἧττον ἐπ' αὐτοῦ τοῦ ὕδατος.) ἀλ-
„ λὰ κατὰ τὸ εἶδος ἅπαντα γινώσκομεν. (1) Ἀλλ' αὐτοὶ καὶ
ἀνὰ τὴν καθ' Ἡράκλειτον στοιχείαν ὄνωνιν, μαλακὸν αὖθος
ἀληθείας ἀναλεξάμενοι, οὐδὲν τῶν ἐνδεχομένων ὡς στρεπτῶν,
καὶ ἀλλοιωτῶν, (§. σκά. σκγ΄.) καὶ χρόνῳ, καὶ τόπῳ, καὶ
μυρίαις ὅσαις ἄλλαις μεταβολαῖς ὑποκειμένων, ἁπλῶς τε,
καὶ κατὰ μεταφυσικὴν ἀκρίβειαν, ἑαυτῷ ταυτὸν εἶναι ἀποφαι-
νόμεθα, καὶ οὐδὲ κυρίως ὂν ταύτῃγε, ἥπερ ἔφθημεν καὶ ἐν
ἄλλοις εἰπόντες, (§. ρνζ΄. ρνή.) ἡγούμεθα. Τὸ δὲ καὶ
ταύτῃ πάντως συνεκπίπτειν τὰ ὄντα τοῦ εἶναι, διηνεκῶς
μεταβάλλοντα, ὥστε μηδὲ τὴν κοινότερον ἐπιλεγομένην αὐ-
τοῖς ταυτότητα ἐναποσώζεσθαι, οὐδέποτε συγχωρήσομεν, ἀλ-
λ' οἰόμεθα ταυτὸ ἑαυτῷ πῇ μὲν ταυτοῦσθαι, πῇ δὲ καὶ τῆς
ταυτότητος ταύτης ἐξίστασθαι. Ἀμέλει καὶ γὰρ ἡ τῶν ἐπουσιω-
δεστέρων τροπὴ, τὴν μὲν ἀκριβεστάτην ταυτότητα κολούει καὶ
ὑποτέμνεται, τὴν δὲ καὶ κατάγε τὰ οὐσιώδη αὐτὰ, οὐ τέλεον
παραιρεῖται. Ἐκ δὲ δὴ τούτου, καὶ τὸ περὶ τῆς ἀναστάσεως
τῶν νεκρῶν ἀπορημάτιον, ῥᾷστα ἐστὶν ἐπιλύσασθαι. Εἰ γὰρ
καὶ

(1) Μεταφ. Γ. Κεφ. Ε΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἐξηλλοιωμένοι τάς τε ἡλικίας καὶ τὰς μορφάς, ὡς ἐν ἱεραῖς ἀπορρήτοις μυήσεσι διδασκόμεθα, οἱ νεκροὶ ἀναστήσονται, ἀλλ' οὐδὲν ἧττον οἱ αὐτοὶ ἐκεῖνοι ἔσονται οἱ προβεβιωκότες, τὸ οὐσιῶδες εἶναι, μὴ τὸ παράπαν μεταβαλόμενοι.

## Θεώρημα ΡΜΑ'.

§. τκέ. „ Μόνος μάλιστα ὁ Θεός, ὁ αὐτὸς ἐστί.

Καὶ γὰρ, διὰ τὸ (§. σκς'. καὶ τιδ'. τιέ.) χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας. Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι.

## Θεώρημα ΡΜΒ'.

§. τκς'. „ Τὰ τῷ ἀριθμῷ ἄλλα, πῇ μὲν ἀλλοῖα, πῇ „ δὲ καὶ οὐχί.

Ταῦτα γὰρ καὶ τόπῳ, καὶ χρόνῳ, καὶ πολλοῖς τοῖς ἄλλο τε ἄλλως ἐπισυμβαίνουσι, παρήλλακται· καὶ εἰ μηδὲν ἄλλο, τῇ γεμὴν καθ' ὑπόστασιν ἑτερότητι διακρινόμενα, πολλῆς τῆς κατὰ τὰς ἐνεργείας καὶ τὰ πάθη ἑτεροιότητος μετέχει πρὸς ἄλληλα. Τὸ ἄρα Α'.

Ἀλλὰ καὶ ἐπὶ πολλῶν ταῦτα ἐξωμοίωται ἀλλήλοις, ὁμοειδῆ τυγχάνοντα. (ἐξ ὑποθ.) Ἄρα καὶ τὸ Β'.

## Θεώρημα ΡΜΓ'.

§. τκζ'. „ Τὰ ἄλλα τῷ εἴδει ὡσαύτως. Ἀλλὰ τὸ μὲν „ μᾶλλον, τὸ δὲ ἧττον.

Τὰ γὰρ ἄλλα τῷ εἴδει, ἑπομένως καὶ τῷ ἀριθμῷ ἕτερα. (§. τιβ'.) Τὰ δὲ τῷ ἀριθμῷ πῇ μὲν ἀλλοῖα, πῇ δὲ, καὶ οὐχί. (§. τκς'.) Ἄρα καὶ τὰ τῷ εἴδει ὡσαύτως. Ο. Η. τὸ Α'.

Τοῖς δ' ἑτεροειδέσι τούτοις, παρὰ τὰς ἐκ τῆς τοῦ ἀριθμοῦ ἑτερότητος, παραλλαγὰς τῶν ἐπουσιωδεστέρων, καὶ αἱ ἐκ τῆς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ εἴδους συμβαίνουσιν. Ἐν αὐτοῖς τὸ ἀλλοῖα εἶναι, μᾶλλον. Ὃ τὸ Β΄.

Εἰ δὲ μᾶλλον τὸ ἀλλοῖα εἶναι τούτοις ἐφέπεται, φανερὸν ὡς ἧττον τὸ μὴ ἀλλοῖα. Ἀλλ. Ἐκεῖνο (διὰ τὸ β΄.) ἄρα καὶ τοῦτο. Ο. Η. τὸ Γ΄.

## Θεώρημα ΡΜΔ΄.

§. τκή. „ Τὰ ἄλλα τῶν φύσει τῶν φυσικωτέρων, καὶ ἀλλοιό„τερα, τὰ δὲ τῶν φυσικωτάτων, καὶ ἀλλοιότατα.

Μᾶλλον γὰρ τὰ οὐσιώδη διενηνοχότα (§. τιγ΄.) μείζονα καὶ τῶν ἐκείνοις ἐπισυμβαινόντων, ὅθεν αἱ ὁμοιότητες, εἰκὸς ἔχειν τὴν διαφοράν. Εἰ δὲ καὶ τέλεον, καὶ τελείαν. Ἄρα κτ.

## Σχόλιον.

§. τκθ΄. Ὁ δὲ Ἀριστοτέλης (1) τῶν ἑτερογενῶν καὶ μὴ „ ὑπάλληλα τεταγμένων, ἑτέρας εἶναι τῷ εἴδει τὰς διαφο„ράς, τῶν δὲ ὁμογενῶν οὐδὲν κωλύειν τὰς αὐτὰς εἶναι διαφορὰς ἀπεφήνατο. Ὡς εἴπερ ἄρα μὴ μόνας τὰς ἰδιαίτατα, ἀλλὰ καὶ τὰς ἰδία, καὶ κοινῇ καλουμένας διαφορὰς ἐκλάβῃς, ἐξ ὧν τοῖς οὖσι τὸ εἶναι ὅμοια μαρτυρούμενα ἕξεις καὶ ὑπὸ τοῦ Φιλοσόφου ἡμῖν τὰ λεγόμενα. Ταῦτα δὲ καὶ παραδείγματά τινα ὑποστησαμένοις ἔσαι ἀριδηλότερα. Οἷον Ἀριστοτέλης φέρ᾽ εἰπεῖν, καὶ Σωκράτης τῷ ἀριθμῷ ἕτεροι ὄντες, πῇ μὲν ἀλλοῖοι, καὶ γὰρ καὶ ἡλικίαν καθ᾽ ἥν, καὶ τόπον ἐν ᾧ, καὶ μορφὴν τὴν ἔξω, καὶ τ᾽ ἄλλα· πῇ δὲ καὶ μή, οἷον τὰς προαιρέσεις, ἑκάτερος γὰρ Φιλοσοφίας ἐφρόντισεν. (§. τκϛ΄.) Ἡ γοῦν ποίησις διὰ τὸ ἐπίσημον τῆς ὁμοιότητος, ὑπερβολῇ χρησαμένη σχεδὸν ἐταύτισεν. „ Οὐ παῖς Ἀ„χιλλέως, ἀλλ᾽ ἐκεῖνος αὐτὸς εἶ. Ἵππος δὲ καὶ κύων τὰ μὲν

(1) Ἐν τοῖς πρὸ τῶν Κατηγορ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὲν ἀλλοῖα, τὸ μὲν γὰρ χρεμετιστικὸν, τὸ δὲ ὑλακτικὸν, καὶ τὸ μὲν πολεμικὸν, τὸ δὲ φιλοδέσποτον, κτ. τὰ δὲ μὴ, οἷον ἄμφω τετράποδα, καὶ λοιπὰ εἰ τύχοι, κτ. μᾶλλον δὲ ἀλλοῖα, ἢ ἵππος, καὶ ἵππος. ( §. τκζ'. ) Καὶ ἐλαία καὶ ἄνθρωπος, τὸ τρέφεσθαι καὶ αὔξειν ὁμοίως ἔλαχεν, ἐλαία δὲ καὶ ἄγγελος, οὐδὲ ταῦτα.

## Θεώρημα ΡΜΕ'.

§. τλ'. „ Γένοιτ' ἄντι ἀλλοῖον, καὶ οὐκ ἄλλο. Καὶ ἀνάπαλιν.

Οὐ γὰρ ἡ τῶν ἐπουσιωδῶν τυχοῦσα τροπὴ, καὶ τὴν τῶν οὐσιωδῶν ἐπιφέρει ἐξ ἀνάγκης. ( §. τκδ'. ) Οὐκ ἄρα ὅτι ἀλλοῖον, καὶ ἄλλο. Ο', τὸ Α'.

Ἀλλ' εἴπερ ὅτι οὐκ ἄλλο, οὐδ' ἀλλοῖον, ἔσται ἄρα ταὐτὸ ἑαυτῷ ἁπλῶς ταὐτόν. Ὅπερ ἐπὶ τῶν φύσει ὄντων ἀδύνατον. ( §. τκγ'. ) Ἄρα καὶ τὸ ἀνάπαλιν.

## Σχόλιον.

§. τλα'. Οὔτω τοι, καὶ ἐπὶ τοσοῦτον, τοῖς περὶ Ἡράκλειτον, καὶ Κρατύλλον συναπείδομαι, τοῖς ἐν διηνεκεῖ ῥοῇ τὰ ὄντα ἀποφαινομένοις. ( §. τκδ'. ) Εἰς τοῦτο τείνει καὶ τὸ, „ Ἀλλοῖος μοι ξεῖν' ἐφάνης νέον, ἠὲ πάροιθε.

## Θεώρημα ΡΜϚ'.

§. τλβ'. „ Γένοιτ' ἂν ἄλλα, καὶ οὐκ ἄνισα, καὶ οὐκ ἄλλα
„ καὶ ἄνισα. Καὶ ἀλλοῖα καὶ οὐκ ἄνισα, καὶ οὐκ ἀλλοῖα καὶ
„ ἄνισα.

Τὸ γὰρ ἄνισα εἶναι καὶ μὴ, ἔχει τὰ ὄντα ἀπὸ τῆς ποσότητος, ὥσπερ οὖν καὶ τὸ ἀλλοῖα καὶ μὴ, ἀπὸ τῆς ποιότητος. Τὸ δ' ἄλλα καὶ μὴ, ὡς ἐκ τοῦ γένους, ἢ τοῦ εἴδους, ἢ τοῦ ἀριθμοῦ. ( §. τιβ'. ) Ἀλλαμὴν τὰ γένει, ἢ εἴδει, ἢ ἀριθ-

θμῷ

θμῷ ἄλλα, ἢ μὴ, τῆς ἐνύλου μοίρας τυγχάνοντα, καὶ ποσοῦ ταύτηγε δεκτικὰ, καὶ ποιοῦ, καὶ πρὸς τὸ μεῖζον καὶ ἔλαττον, καὶ ὅμοιον καὶ ἀνόμοιον, ἄλλοτε ἄλλως ἔχοντα ἀδιαφορεῖ. (εἴγε τὸ ποσὸν καὶ τὸ ποιὸν συμβεβηκότα εἶναι ὁμολογεῖται.) Ἄρα κτ.

## Σχόλιον.

§. τλγ'. Ἢ τί κωλύει μὴ ἄλλους ὄντας τῷ εἴδει, ἀνίσους γεγονέναι τῷ μεγέθει,

„ Αἴαντε δύω, καὶ Τυδέος υἱόν;

τάς τε Φερητιάδου ἵππους

„ τὰς Εὔμηλος ἔλαυνε ποδώκεας ὄρνιθας ὥς,

Καίτοι τῷ ἀριθμῷ μὴ ταυτιζομένας, γενέσθαι μέντοι,

„ Ὄτριχας, οἰέτεας, σταφύλῃ ἐπὶ νῶτον ἐΐσας;

Ἐπεὶ γὰρ ἕτερα τῇ φύσει ποσὸν καὶ ποιὸν καὶ ἀλλήλων, καὶ τῆς οὐσίας, φανερὸν ὅτι καὶ αἱ τούτοις βεβηκυῖαι σχέσεις, οὔτε συνεισάγειν ἀλλήλας πεφύκασιν, οὔτε συναναιρεῖν. Καὶ οὐδέν τι προσλυμαίνεται οὐδ' ἡ ἀνισότης καὶ ἀνομοιότης τῇ κατ' οὐσίαν ταυτότητι, οὐδ' ἀνάπαλιν, ὥσπερ οὐδ' ἡ ἀνισότης τῇ ὁμοιότητι, οὐδ' ἀνάπαλιν τῇ ἀνισότητι τὰ τῆς ὁμοιότητος. Διὸ καὶ ὁ νεώτερος Οὐόλφιος ἐν Ἀριθμητικοῖς, τὴν μὲν ὁμοιότητα ταυτότητα, τὴν δὲ ἀνομοιότητα ἑτερότητα, τῶν οἷς τὰ ὄντα ὤφειλε διακρίνεσθαι ὁρισάμενος (1), αὐτίκα ὡς ἐν πορίσματι ἐπιφέρει, μηδὲν εἶναι ἐν θατέρῳ τῶν ὁμοίων εὑρεῖν, ὃ μὴ καὶ θατέρῳ ἅμα ἐνῇ ἐπίσης, εἰ τοῦτο μόνον τοιοῦτον ᾖ, ὡς ἄνευ τινὸς προσληφθέντος νοητὸν εἶναι. (2) Τοιοῦτον δ' οὐκ ἂν εἴη πάντως ἡ ποσότης. Αὕτη γὰρ χωρὶς τινὸς προσληφθέντος, οὐκ ἂν νοηθείη ὅλως. (3) Ἔνθεν τοι καὶ τῆς ὁμοιότητος σωζομένης, φησὶ, διαφέροι ἂν τὰ ὄντα, τῇ γε ποσότητι· (4) διαφορὰ γὰρ οἱονεί τις ἐσωτερικὴ τῶν ὁμοίων

ἡ

(1) Κεφ. α'. §. 24. (2) Αὐτ. §. 25.
(3) Αὐτ. §. 13. 14. (4) Αὐτ. §. 26.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ ποσότης τῷ Φιλοσόφῳ ἐκείνῳ ( καί τοι ἐξωτερικὴν αὐτὴν ὀνομάσειε διὰ τὸ ἐπουσιῶδες ) ἐςί τε καὶ κρίνεται.

## Θεώρημα ΡΜΖ'.

§. τλδ'. „ Τὰ ταυτιζόμενα ἅπη, ταύτῃ γε ᾗ ταυτίζεται, „ ἀντὶ ἀλλήλων καταςαθῆναι ἔχει ἀδιαφόρως. Ὅπερ ἐ- „ ςὶ, θάτερον ἀντὶ τοῦ ἑτέρου ληφθῆναι δυνατὸν, μηδ᾽ ἧς „ τινοσοῦν ἐντεῦθεν διαφορᾶς ἐπισυμβαινούσης.

Εἰ γὰρ ἀντικαθιςάμενα διαφοράν τινα ἐπάγει, πόθεν δὴ τὰ τῆς διαφορᾶς, καὶ τίς ὁ ἐπιχωρῶν αὐτὴν ἐμποιῆσαι λόγος; ( §. λθ'. ) ἤτοι γὰρ ᾗ ταυτίζεται, ἢ ᾗπερ οὐχί. Ἀλλ᾽ οὐχὶ τὸ πρῶτον· οὐδὲ γὰρ παρέξεταί τι, ὃ μὴ ἔχοι. ( §. ον'. ) Ἡ δὲ ταυτότης, ᾗ ταυτότης, οὐκ ἂν εἴη κατὰ ταὐτὸ, καὶ πρὸς τὸ αὐτὸ ἑτερότης, εἰ μὴ δόξειε συγχωρεῖν τὴν ἀντίφασιν. ( §.λ'. ) Ἀλλ᾽ οὐδὲ τὸ δεύτερον. ὑπετέθη γὰρ ὅτι ταύτῃ γε, ᾗ ταυτίζεται. Ἄρα τὰ ταυτιζόμενα ἅπη, κτ.

## Θεώρημα ΡΜΗ'.

§. τλε'. „ Τὰ τῷ αὐτῷ ταυτὰ καὶ ἀλλήλοις. Καὶ τὰ „ ἴσα. Καὶ τὰ ὅμοια.

Ἐπειδὴ γὰρ δύω τινὰ, τὸ μὲν Α, τὸ δὲ Β, ταυτὰ τῷ αὐτῷ Γ ( ἐξ ὑποθ. ) τὴν αὐτὴν ἄρα ἑνότητα πρὸς αὐτὸ ἐκεῖνο διασώζει τούτων ἑκάτερον. Ἡ γὰρ ταυτότης ἑνότης. ( §. τια'. ) Καὶ τοίνυν ἡ τοῦ Α πρὸς Γ, κατὰ ταύτην δὴ τὴν ἑνότητα σχέσις, εἰρήσθω Ε. Ἔςαι δὲ δὴ καὶ ἡ Β πρὸς Γ, ὡσαύτως Ε. Ἀλλ᾽ ἐπεὶ τὰ Β καὶ Γ ταυτὰ ( ἐξ ὑποθ. ) δυνατὸν τούτου ἐκεῖνο ἀντικαταςῆναι, ἄνευ διαφορᾶς τινὸς ἐντεῦθεν ἀναφυομένης. ( §. τλδ'. ) Ἀντικαθιςάσθω ἄρα, καὶ ἔςαι ἡ Α πρὸς Γ σχέσις, Α πρὸς Β. ἡ δὲ ἦν Ε. καὶ αὕτη ἄρα ἔςαι Ε. Ἀλλ᾽ ἡ Ε σχέσις κατὰ ἑνότητα ὑπετέθη ἡμῖν, ἤτοι ταυτότητα. ( §. τια'. ) Ἄρα Α καὶ Β ταυτὰ ἐςίν. Ο. Ε. Δ. Α'.

Ὡσαύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὡσαύτως δὲ δειχθήσεται, καὶ ὅτι ἴσα· καὶ ὅτι ὅμοια. Ἅπερ ἦν τὸ Β΄. καὶ τὸ Γ΄.

## Περὶ Ἀντιθέσεων.

§. τλϛ΄. Τὰ ἀντικείμενα λέγεται τετραχῶς· τὰ μὲν γὰρ κατ᾽ ἀντίφασιν ἀλλήλοις ἀντίκειται· τὰ δὲ ὡς πρός τι ἔχειν τὰ τῆς μάχης νοεῖται· τὰ δ᾽ ἀντιβαίνει ἀλλήλοις ὡς ἕξις, καὶ στέρησις· τὰ δὲ κατ᾽ ἐναντίωσιν. (περὶ ὧν ἐν τοῖς μετὰ τὰς κατηγορίας εἴρηται.) (1) Ἤτοι γὰρ τῶν ἀντικειμένων θάτερον συνεισάγει τὸ ἕτερον, καὶ ἡ μάχη ἐστὶ τῶν πρός τι· ἢ ἀπάγει καὶ ἀποκρούεται· τὸ δὲ, ἢ πάντῃ, καὶ ἀνακόπτει ἀντίφασις. Ἢ τοῦ ὑποκειμένου μένοντος, καὶ στέρησις· ἢ σὺν τῷ ὑποκειμένῳ καὶ τοῦ γένους, καὶ ἐναντίωσις. Ἀντίκειται τοίνυν κατ᾽ ἀντίφασιν, ἐὰν τὸ μὲν ὡς κατάφασις εἰσάγῃ τι, τὸ δ᾽ ὡς ἀπόφασις τὸ αὐτὸ ἀπὸ τοῦ αὐτοῦ ἀπάγῃ· οἷον δίκαιος οὐ δίκαιος· περιπατεῖ, οὐχὶ περιπατεῖ. Ταῦτα δὲ οὐδὲ συναληθεύειν ἐνδέχεται. (§. λ΄. λδ΄.) οὐδὲ μέσον ὅλως τι, οἷα ἐστὶν ἐπιδέχεσθαι. (§. λέ.) Οὕτω δὲ ἔχει, ὡς ἀείποτε τὸ μὲν ἐξ ἀνάγκης ἀληθεύειν, τὸ δὲ ψεύδεσθαι, ἐπὶ τῶν μὴ ὄντων, οὐδὲν ἧττον, ἢ ἐπὶ τῶν ὄντων. Διὸ καὶ τῶν ἀντικειμένων ὡς Ἀριστοτέλης φησὶ, „ πρῶτον Ἀντίφασις. (2) Ἀντίκειται δὲ κατὰ στέρησιν, ὧν τὸ μὲν εἶδός τι ἐστὶ, τὸ δὲ τούτου ἀπουσία, οἷον ὁρῶν καὶ τυφλός· ἀπαιτεῖ δ᾽ ἀεὶ ἡ στέρησις ὑποκείμενον, ὅπερ ἐστέρηται. Καὶ τοῦτο, ἤτοι μὴ πεφυκὸς, ἐὰν ᾖ καταχρηστικώτερον ἔχον τὰ τῆς στερήσεως, οἷον λίθος κωφεύων· ἢ πεφυκός. Ὃ δὲ πέφυκεν, εἰ μὴ ἔχοι, ἢ ἁπλῶς, ἢ πῇ· οἷον εἰ κύων τυφλὸς ᾖ μεθ᾽ ἡμέραν ἐννάτην, ἢ πρότερον· ἢ πάντῃ τυφλώττων, ἢ μὴ καλῶς ὁρῶν. (3) Ἐναντία δὲ λέγεται, τά τε μὴ δυνατὰ ἅμα τῷ „ αὐτῷ παρεῖναι τῶν διαφερόντων κατὰ γένος. Καὶ τὰ πλεῖ„ στα διαφέροντα τῶν ἐν τῷ αὐτῷ γένει. Καὶ τὰ πλεῖ-

„ στα

(1) Λογικ. (2) Μεταφ. Ι. (3) Μεταφ. Θ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ στα διαφέροντα ἐν τῷ αὐτῷ δεκτικῷ. Καὶ τὰ πλεῖστα δια-
„ φέροντα τῶν ὑπὸ τὴν αὐτὴν δύναμιν. Καὶ ὧν ἡ διαφο-
„ ρὰ μεγίστη, ἢ ἁπλῶς, ἢ κατὰ γένος, ἢ κατ' εἶδος. (1).
Ἀλλὰ τούτων ὁ μὲν Α'. τῶν ἀποδοθέντων ὁρισμὸς, τῆς τῶν κυριώτατα ἐναντίων οὐχ ἅπτεται φύσεως, δέον ἐκεῖνα τοῦ αὐτοῦ γένους εἶναι μετέχοντα. Οἱ δὲ λοιποὶ τρεῖς, τὰ μάλιστα τοῖς ἐναντίοις προσήκοντα γνωρίσματα προχειρίζονται. Ἀμέλειτοι τὴν κατὰ τὸ γένος ταυτότητα οὐκ ἀπαιτεῖ, οἷον τὸ λευκὸν καὶ τὸ μέλαν. Καὶ τὸ τῷ αὐτῷ ὑποκειμένῳ (καίτοι μὴ ἅμα.) ἐπισυμβαίνειν· ὡς ὑγίεια καὶ νόσος, τῷ αὐτῷ ζώῳ. Καὶ τὸ τὴν αὐτὴν δύναμιν περὶ τἀναντία σχολάζειν, οἷον τὸ κατάλληλον, καὶ ἀκατάλληλον τῆς συντάξεως ἡ Γραμματικὴ πολυπραγμονεῖ, ἥτε Ἠθικὴ περὶ ἀρετῆς πραγματεύεται καὶ κακίας. Τὸ δὲ πλεῖστον διαφέρειν κοινῇ ἐπὶ πάντων παρείληπται, διὰ τὰ μεταξὺ τῶν ἐναντίων, ἃ καὶ γένει, καὶ ὑποκειμένῳ καὶ δυνάμει, ὡς τἀναντία, ἔχοντα, παρὰ τὸ μὴ τὴν μεγίστην ἔχειν ἀπόστασιν ἀπ' ἀλλήλων, τῆς τῶν ἐναντίων ἀπέστη φύσεως. Διὸ καὶ προσετέθη, ὅτι τούτων ἡ διαφορὰ μεγίστη· ἤτοι ἁπλῶς, οἷον τοῦ ἀφ' οὗ, καὶ τοῦ πρὸς ὃν, τῶν ὅρων ἐπὶ κινήσεως· ἢ κατὰ γένος, οἷα ἡ τῶν εἰδοποιῶν διαφορῶν, ὑφ' ὧν τὰ γένη διακρίνεται· ἢ κατ' εἶδος, οἷα ἡ τῶν κατὰ συμβεβηκὸς, ὑφ' ὧν τὰ ἐν τῷ αὐτῷ εἴδει ἄτομα. Ἐντεῦθεν δὲ καὶ κατὰ δεύτερον εἰσὶ λόγον ἐναντία λεγόμενα, καὶ τὰ διὰ τὰ πρῶτα ταῦτα, ἢ ὅτι ἔχει ταῦτα, οἷον πῦρ καὶ ὕδωρ· ἢ ὅτι δεκτικὰ τῶν τοιούτων, οἷον ἀὴρ φωτὸς, καὶ σκότους· ἢ ὅτι ποιητικὰ, οἷον θερμαντικὸν καὶ ψυκτικόν· ἢ παθητικὰ, οἷον θερμαντὸν καὶ ψυχαντόν· ἢ ποιοῦντα, οἷον θερμαῖνον, καὶ ψῦχον· ἢ πάσχοντα, οἷον θερμαινόμενον, καὶ ψυχόμενον· ἢ ἀποβολαί εἰσιν, ἤτοι φθοραὶ τούτων, οἷον ἀποθέρμανσις καὶ ἀπόψυξις· ἢ λήψεις, οἷον θέρμανσις, καὶ ψύξις· ἢ ἕξεις, οἷον θερμότης ψυχρότης· ἢ στερήσεις, οἷον στέρησις θερμότητος, καὶ ψυχρότητος. Τελευταῖα δὲ κείσθω τὰ κατὰ σχέσιν μαχόμενα, ὧν θάτερον, οὐκ ἔστι τὸ ἔτε-

(1) Μεταφ. Δ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἕτερον, συνεισάγει δὲ, καὶ συμμεθέλκεται. Ἀλλ᾽ ἤτοι ἐπίσης, καὶ ἀντιστρόφως, οἷον δοῦλος, δεσπότης· ἢ τὸ μὲν, τὸ δὲ οὐχὶ, οἷον ἐπιστήμη, καὶ ἐπιστητόν. Ἀλλ᾽ ἔχε δὴ καὶ τὰ περὶ τούτων φιλοσοφούμενα τῷ Ἀριστοτέλει ἐν τῷ I τῶν Μεταφυσικῶν, ἐν εἴδει Θεωρημάτων κατὰ τὴν τεθεῖσάν σοι Μέθοδον, ὑφ᾽ ἡμῶν προβαλλόμενα.

## Θεώρημα ΡΜΘ΄.

§. τλζ΄. „ Η κατὰ ἀντίφασιν μάχη, σφοδροτέρα τῶν „ ἄλλων ἐστί.

Ἡ μὲν γὰρ κατὰ στέρησιν ἐπὶ τῶν ὄντων, καὶ δεκτικῶν θεωρεῖται· ἡ δὲ κατ᾽ ἐναντίωσιν, καὶ ἐπὶ τῶν ἐνιζομένων τῷ γένει. Ἡ δὲ κατὰ σχέσιν παρὰ ταῦτα, καὶ συνεπισπᾶται τ᾽ ἀντίθετον. Ἡ δὲ κατ᾽ ἀντίφασιν, καὶ ἐπὶ τῶν ὄντων καὶ μὴ, καὶ τῶν δεκτικῶν, καὶ μή· οὐδεμίαν τε κοινωνίαν ὅλως ἀπαιτεῖ. Καὶ δι᾽ αὐτῆς, τοῦ ἑτέρου μορίου τεθέντος, θάτερον ἁπλῶς ἀποκρούεται. (§. τλϛ΄.) Ἄρα κτ.

## Θεώρημα ΡΝ΄.

§. τλή. „ Η κατ᾽ ἀντίφασιν μάχη τῶν λοιπῶν προτέ„ ρα, καὶ ἁπλουστέρα.

Αὕτη γὰρ κἀν ταῖς λοιπαῖς ἀντιθέσεσιν, ὡς ἁπλούστερόν τι καὶ πρότερον ἐνθεωρεῖται· τὰ γὰρ ἀντίθετα κατὰ πᾶν εἶδος ἀντιθέσεως ἀλλήλοις οὐ συνυφίσταται, καὶ τούτων θάτερον ἀεὶ συνεπτυγμένως ἐμφαίνει τὴν ἀπόφασιν τοῦ ἑτέρου. Καὶ γὰρ καὶ ὁ τυφλὸς ἐστὶ μὴ ὁρῶν. Καὶ τὸ μέλαν οὐχὶ λευκόν. Καὶ ὁ υἱὸς οὐχὶ πατὴρ, οὗ ἐστὶν υἱός. Ἄρα κτ.

## Θεώρημα ΡΝΑ΄.

§. τλθ΄. „ Καὶ ἡ στέρησις ἀντιφασίς τις ἐστί.

Λέγεται γὰρ στέρησις καὶ τὸ μὴ ἔχειν ὅπερ οὐ πέφυκε, κατα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καταχρηστικώτερον. οἷον ὁ λίθος ἐκ ἔχει ὄψιν. Καὶ ὃ πέφυκεν, εἰ μὴ ἔχοι, ἤτοι ἁπλῶς, ἢ πῆ. ( §. τλϛ'. ) Ὅτι μὲν ἐν αὐτίφασις ἡ ϛέρησις, δῆλον. Ἐϛέρηται γὰρ, ἣ μὴ ἔχει. ( §. τλή. ) Ἄρα τὸ Α'.

Ὅτι δὲ καὶ αὐτίφασις ἐστὶ κατάτι, δῆλον ἐντεῦθεν. Ἡ γὰρ αὐτίφασις ἐκ ἀπαιτεῖ, ἔτε δεξιότητα ἔχειν, ἔτε ἐσίαν τὸ ὑποκείμενον, ἐπὶ παντὸς ἀληθεύεσα, καὶ γὰρ καὶ ζῶον, καὶ ξύλον, καὶ τὸ μὴ ὂν, μὴ ὁρᾷν φαμὲν. Ἡ δὲ ϛέρησις, καὶ ὑποκείμενον ἐπιζητεῖ, καὶ ποτὲ, καὶ δεξιὸν εἶναι τἕτο θέλει· τὸ γὰρ μὴ ὂν ἐκ ἐϛέρηται. Ταύτῃ δέτοι καὶ ἡ μὲν αὐτίφασις μέσον ἐκ ἔχει. ( §. λέ. ) ἀνάγκη γὰρ ἤτοι ἴσον εἶναι, ἢ μὴ ἴσον πᾶν, καὶ ὂν καὶ μὴ ὄν· ἡ δὲ ϛέρησις ἔχει πως· ἐ γὰρ περὶ παντὸς ἀναγκαῖον ἐστὶ λέγειν, ὅτι ἢ ἴσον, ἢ ἄνισον. Ἀλλ' ἢ ἐπὶ μόνε τἕ δεκτικἕ τῆς ἰσότητος. Ἄρα κτ.

## Θεώρημα ΡΝΒ'.

§. τμ'. „ Καὶ ἡ ἐναντίωσις ϛέρησίς τις ἔσα ἐστί.

Αἱ γὰρ γενέσεις ἐκ τῶν ἐναντίων ἐν τῇ ὕλῃ, καὶ αἱ φθοραὶ ὡσαύτως ἐπὶ τὰ ἐναντία· οἷον ἐκ λευκἕ γίνεται μέλαν. Καὶ τὸ θερμὸν οἴχεται ψύξεως ἐπελθέσης. Ἀλλ' εἰ μὴ προεϛέρητο, πῶς τῇ γενέσει τοῦ εἴδες ἔτυχεν; ἢ διὰ φθορᾶς πῶς ἀπέθετο, μὴ ϛερηθέν; Τοιγαρἕν κτ.

## Σχόλιον.

§. τμά. Αὐτὸ τἕτο καὶ δι' ἐπαγωγῆς ὁ Ἀριϛοτέλης κατασκευάζει. Ἡ μὲν γὰρ ἀνισότης, φησὶ, ϛέρησις ἐστὶν ἰσότητος· ἡ δ' ὁμοιότητος ἀνομοιότης· ἡ δὲ κακία ἀρετῆς.

## Θεώρημα ΡΝΓ'.

§. τμβ'. „ Οὐ πᾶσα ϛέρησις ἐστὶν ἐναντίωσις.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Στέρησις γὰρ ἐστὶν ἀπουσία εἴδους ἀπὸ τοῦ δεκτικοῦ, τοῦ ἤτοι προσεχῆ διάθεσιν ἔχοντος εἰς ὑποδοχὴν τοῦ εἴδους, εἴτε καὶ πορρωτέρω. Ἡ δ' ἐναντίωσις τὴν ἀπουσίαν μετὰ τῆς πορρωτάτω ἔχει διαθέσεως· ἐναντία γὰρ τὰ πλεῖστον διαφέροντα. (§. τλς΄.) Ἐστέρηται μὲν γὰρ τῆς λευκότητος καὶ τὸ ὠχρὸν, ἀλλ' ἐναντίον τῷ λευκῷ τὸ μέλαν. Ταύτητοι οὐδὲ προϋποτίθησίγε φύσιν τινὰ ἐν τῷ ὑποκειμένῳ ἡ στέρησις ὡρισμένην. Ἀπόχρη δὲ αὐτῇ ὑποκείμενον εἶναι δεξιότητα ἔχον προσεχῶς, ἢ καὶ πορρωτέρω· τὸ δ' ἐναντίον καὶ φύσιν τινὰ ὡρισμένην ἐμφαίνει ἐπὶ τοῦ ὑποκειμένου, καθ' ἣν τοῦτο μάλιστα τοῦ εἴδους ἀφέστηκε, καὶ ἥτις ὁμογενὴς εἴη τῷ εἴδει τῷ ἀπόντι· οἷον τὸ μέλαν τῷ λευκῷ. Ἄρα οὐ πᾶσα στέρησις κτ.

## Σχόλιον.

§. τμγ΄. Σημειωτέον δὲ ὅτι διττὴ ἡ στέρησις· ἡ μὲν γὰρ ἄμεσον ἔχει τάξιν πρὸς τὸ ὑποκείμενον τῷ εἴδει, ἡ δέπως ἔμμεσον. Καὶ ἐπ' ἐκείνης μὲν, ἡ μεταβολὴ γίνεται ἑκατέρωθεν, οἷον ἀπὸ σκότους φῶς τῷ διαφανεῖ, καὶ ἀνάπαλιν. Ἐπὶ δὲ ταύτης οὐ γίνεται μετάβασις· οὐ γὰρ ἀπὸ τυφλότητος ὅρασις· διέφθαρται γάρ· οὐδὲ ἀπὸ θανάτου ζωὴ, διὰ τὴν ἐγχωρήσασαν ὁμοίως φθοράν. Κἀντεῦθεν δῆλον, τὴν ἐναντίωσιν στέρησιν εἶναι κατὰ τὴν πρώτην, οὐ μὴν κατὰ τὴν δευτέραν. Διὸ καὶ ἐπὶ τῶν ἐναντίων αἱ μεταβολαί. Ἀπὸ δὲ τῆς στερήσεως, ἠξίωται (1) μὴ γίνεσθαι ἐπὶ τὸ εἶδος μετάβασιν.

## Θεώρημα ΡΝΔ΄.

§. τμδ΄. „ Ἐπὶ τῶν στερήσεων, καθ' ἃς ἐναντιώσεις συ-
„ νι-

(1) Λογικ.

„ νίσανται, ( λέγω δὲ καθ' ἃς, ἐπεὶ ὐ πᾶσα ςέρησις ἐ-
„ ναντίωσις. ( §. τμβ΄. τμγ΄. ) Ἐὰν μὲν κυρίως μόνον
„ ἡ ςέρησις συμβαίνῃ τῷ πάσχοντι, τὰ ἐντεῦθεν ἐναντία
„ ἄμεσα ἔςαι· ἐὰν δὲ καὶ καταχρηςικῶς, ἔςαι ἔμμεσα.

Κυρίως γὰρ ἡ ςέρησις εἶναι λέγεται, ἐὰν ἁπλῶς μὴ ἔχῃ, καὶ ἐὰν τὸ πεφυκὸς ἔχειν μὴ ἔχῃ· καταχρηςικῶς δὲ εἰ πῇ, καὶ εἰ μὴ πεφυκός. ( §. τλς΄. ) Καὶ τὰ ἐναντία δὲ μέσον λέγεται ἔχειν, ἤτοι κατ' ἀποβολὴν, ἐὰν ἑκάτερον ἀπῇ, ἢ γὰν κατὰ κρᾶσιν, εἴτι τῶν ἀκροτήτων αὐτῶν ἑκατέρας ἧττον διαφέροι, ἢ ἀπ' ἀλλήλων αὐταί. (1). Ἀλλὰ γὰρ εἰ πεφυκὸς ἔχειν, ἁπλῶς μὴ ἔχοι, διὰ μὲν ἐκεῖνο, ὐδαμῶς ἑκάτερον ἀπέςαι, διὰ δὲ τῦτο, ὐδὲ τὸ ἧττον προσέςαι. ( ἐξ ὑποθ. ) Ἐὰν ἄρα κυρίως ἡ ςέρησις συμβαίνῃ, τὰ κατ' αὐτὴν ἐναντία ἄμεσα ἔςαι. Ο. Η. τὸ Α΄.

Εἰ δὲ δὴ πεφυκὸς μὲν ᾖ ἔχειν, ὐχ' ἁπλῶς δὲ μὴ ἔχοι, ἀλλὰ πῇ, τὸ ἧττον τῆς ἀποςάσεως, τὸ μέσον παρέξεται τὸ κατὰ κρᾶσιν. Εἰ δ' ἁπλῶς μὲν μὴ ἔχοι, μὴ πεφυκὸς δὲ ᾖ ἔχειν, ἡ ἑκατέρυ ἀπυσία, τὸ μέσον δώσει τὸ κατὰ ἀποβολήν· ὁπότερον δ' ἂν ὑποτεθῇ, τυτέςιν ἢ μὴ πεφυκέναι ἔχειν, ἢ πῇ μὴ ἔχειν, καταχρηςικῶς ὑποτεθείσεται ἡ ςέρησις. ( §. τλς΄. ) Ἐὰν ἄρα καταχρηςικῶς κτ. Ο. Η. τὸ Β΄.

## Σχόλιον.

§. τμε΄. Ὥςε κατὰ τὴν διαφορὰν τῶν ςερήσεων, καθ' ἃς αἱ ἐναντιώσεις, συμβαίνει καὶ τῶν ἐναντίων τὰ μὲν ἄμεσα εἶναι, τὰ δέτοι ἔμμεσα, ὡς Ἀριςοτέλης ἐδίδαξεν (2). Ἐπειδὴ γὰρ ἢ παντὶ τρόπῳ ἐςέρηται τὸ ἐςερημένον, ἢ χρόνῳ, ἢ μέρει ὡρισμένως, παντὶ μὲν τρόπῳ, οἷον τὸ περιττὸν ἀρτιότητος ἐςέρηται· χρόνῳ δὲ, οἷον ὁ παῖς ἀπλῦς· τόπῳ δὲ, οἷον γυμνὸς, ὁ τὰ πλείω καὶ κυριώτερα τῶν μελῶν ἀσκε-

(1) Λογικ. (2) Μετα. Ι.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀσκεπής. Ταύτῃτοι καὶ τὰ ἐναντία κατὰ μὲν τὴν πρώτην στέρησιν, ἀμέσως ἀντίκειται· ἤτοι γὰρ περιττὸς ὁ ἀριθμός, ἢ ἄρτιος· κατὰ δὲ τὴν δευτέραν, καὶ τρίτην ἐμμέσως· μεταξὺ γὰρ ἀγαθοῦ, καὶ φαύλου μέσον· οἷον ὁ παῖς οὔτ' ἀγαθὸς ὤν, οὔτε φαῦλος. Καὶ εἴτις δὲ κατάτινας πράξεις τῶν ἐλαχίστων καὶ ἀδιαφόρων ἥμαρτεν, οὐ παρ' αὐτὸ πονηρός, ἀλλ' εἰ ἐν τοῖς κυρίοις. Ἔτι τῶν στερήσεων, αἱ μὲν ὡρισμένως ἔλαχον ὑποκειμένου, αἱ δὲ μή. Καὶ γὰρ ἐστερῆσθαι ἁπλῶς λέγεται καὶ τὸ μὴ πεφυκός. Καὶ οὕτως αὖθις, ἐὰν μὲν ᾖ τἀναντία κατ' ἐκείνας, ἄμεσα ἔσαι· ἢ γὰρ πολιτικῶν ἠμοίρησεν ἀρετῶν ὁ βασιλεύς, καὶ φαῦλος, ἢ ταύταις ἐνδιαπρέπει, καὶ ἀγαθὸς ἀκούσεται. Ἐὰν δὲ κατὰ τὰς δευτέρας, ἔσαι ἔμμεσα. Ἀγροῖκος γὰρ ἄνθρωπος, καὶ ἰδιωτεύων, οὔτ' ἀγαθός, οὔτε φαῦλος διὰ περιουσίαν, ἢ ἀπουσίαν πολιτικῶν πλεονεκτημάτων κριθήσεται.

## Θεώρημα ΡΝΕ΄.

§. τμϛ΄. „ Ἐφ' οἵας οὖν ἐναντιώσεως ταυτότης τις ἐξ ἀ„ νάγκης προϋποτίθεται διττή, ἡ μὲν ᾗ τ' ἀναντία ἀλλή„ λοις κοινωνεῖ, ἡ δὲ ᾗ διαφέρει.

Τὰ γὰρ ἐναντία θεωρεῖται ὑπὸ τῷ αὐτῷ γένει, καὶ ἐν τῷ αὐτῷ δεκτικῷ, καὶ τῇ αὐτῇ δυνάμει. ( §. τλϛ΄. ) Ἄρα τὸ Α΄.

Ἐπεὶ δὲ καὶ μάλιστα ἐστὶ διαφέροντα. ( §. αὐτ. ) ἀνάγκη δὲ ταυτότι εἶναι, ᾧ τὰ διαφέροντα διαφέρει. ( §. τιβ΄. ). Ἄρα καὶ τὸ Β΄.

## Σχόλιον.

§. τμζ΄. Ἐκ δὲ τούτου ῥᾴδιον σύμφωνον ἑαυτῷ ἀναδεῖξαι τὸν Σταγειρίτην, ἐν οἷς ἔοικεν ὑποτιθέναι τὰ ἀντιπίπτοντα. (1) Ἀποδοὺς γὰρ ἐναντία εἶναι τὰ πλεῖστα διαφέροντα τῶν

(1) Μεταφ. Δ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν ἐν τῷ αὐτῷ γένει.... τὸ γένος, τὸ ἑκατέρῳ τῶν ἐναντίων κοινῇ προσῆκον, καὶ ὑπὸ τούτων διακρινόμενον ἠνίξατο, οἷον τὸ χρῶμα, ὑπὸ τοῦ λευκοῦ, καὶ τοῦ μέλανος. Εἰπὼν δὲ κατωτέρω „ὧν ἡ διαφορὰ μεγίστη ἢ κατὰ γένος, ἢ κατ᾽ εἶδος· „καὶ ἐν ἄλλοις (1) ὅτι τὰ διαφέροντα γένει, ἢ εἴδει διαφέρει, αὐτὸ τὸ συνιστάμενον ἐν μέρει ὑφ᾽ ἑκατέρου ἐνόησε, καθ᾽ ὃ ἀλλήλων ἀντιδιέσταλται· οἷον τὸ αἰσθητικὸν εἰ τύχοι, καθὸ τὸ ζῶον τῶν μὴ ζώντων, καὶ τὸ διακριτικὸν τῆς ὄψεως, ᾧ τὸ λευκὸν τοῦ μέλανος παρήλλακται.

## Θεώρημα ΡΝϚ΄.

§. τμη΄. „Τὰ ἐναντία οὐκ ἔστι τῷ γένει ὅλως διαφέροντα.

Ἐπὶ γὰρ τῶν ἐναντίων ταυτότης τις ἐξ ἀνάγκης προϋποτίθεται, ᾗ ταῦτα ἀλλήλοις κοινωνεῖ. (§. τμϛ΄. τμζ΄.) Τὰ δὲ τῷ γένει ὅλως διαφέροντα, οὐδὲν ἔχει ταυτὸν ᾧ κοινωνήσειεν· οὐ γὰρ ἂν εἶεν δηλονότι ταυτὰ τῷ εἴδει, ἐπεὶ καὶ τῷ γένει ἔσοιτ᾽ ἂν ἐκ τοῦ ἀκολούθου. (§. τιβ΄.) Ὅπερ ἐστὶ κατὰ τῆς ὑποθέσεως· πολλοῦ δ᾽ ἂν δεήσειε τῷ ἀριθμῷ εἶναι ταυτὰ, διὰ τὸν αὐτὸν λόγον. (§. αὐτ.) Ἄρα κτ.

## Πόρισμα.

§. τμθ΄. Ἀνάγκη ἄρα τ᾽ ἀναντία τῷ γένει ὄντα ταυτὰ, εἴδει διαφέρειν· εἰ δὲ καὶ τῷ γένει, ἢ γεμὴν ὑπάλληλον ὂν, τὴν τοῦ εἴδους φύσιν ᾠκείωται.

## Θεώρημα ΡΝΖ΄.

§. τν΄. „Οὐ πάντα ὅσα διαφέρει τῷ εἴδει, ταύτηγε καὶ „ἐναντία ἐστί.

Δεῖ

(1) Μεταφ. Ι. Κεφ. γ΄.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δεῖ γὰρ δὴ τὴν ἐναντίωσιν μεγίστην εἶναι τινὰ διαφοράν. ( §. τλϛ΄. ) Ἀλλὰ κατὰ τὸ μᾶλλον καὶ ἧττον πολλάκις διαφέρει, τὰ διαφέροντα τῷ εἴδει. ( §. τιδ΄. ) Πολλὰ γὰρ ὁμολογουμένως, καὶ τὰ μεταξὺ τῶν ἄκρων ἐστὶ παρεμπίπτοντα, ὧν ἧττον ἡ ἀπὸ τῶν ἄκρων, ἢ αὐτῶν ἐκείνων ἀπ' ἀλλήλων διαφορά. ( §. τμδ΄. τμέ. ) Ἄρα κτ.

## Σχόλιον

§. τνά. Πάρεστι δὲ ἐκ τοῦ Ἀριστοτέλους ἀκριβεστέραν λαβεῖν τοῦ προκειμένου τὴν διδασκαλίαν ἐν τῷ I. τῶν Μεταφυσικῶν. Προθέμενος γὰρ ἐν ἐκείνοις ὁ Φιλόσοφος κατὰ τὸ μᾶλλον καὶ ἧττον διαφέρειν πολλάκις τὰ διαφέροντα, ἐντεῦθεν ἐπιφέρει, ὡς ἄρα συμβαίνει δύω τινὰ μάλιστα διαφέρειν. Ἀλλὰ γὰρ τὰ τῷ γένει, φησὶ, διαφέροντα, καὶ πρὸς ἄλληλα ἐστὶν ἀπαράθετα, ( οὐδὲ γὰρ ἔχει τὶ κοινὸν ἀμέλει, καθ' ὃ αὖ ἀλλήλοις ταῦτα παραβάλλεσθαι. ) διὸ οὐδὲ χωρεῖ τούτων μεταξὺ τὸ μᾶλλον καὶ τὸ ἧττον· τὰ γὰρ τοιαῦτα ἐπὶ τῶν εἰς ἄλληλα μεταβάλλειν πεφυκότων ἐστὶ λαβεῖν. Ἡ γὰρ εἰς ἄλληλα μεταβολὴ ἀπὸ τοῦ μᾶλλον διαφέρειν, διὰ τοῦ ἧττον χωρήσασα, ἐπὶ τὸ μηδὲν τέως καταντᾷ. Τοιαύτη δὲ μεταβολὴ ἐπὶ τῶν γένει πάντῃ διαφερόντων οὐδεμία γίνεται ποτέ· ὥστε οὐδὲ τὸ μᾶλλον ἐν αὐτοῖς καὶ ἧττον. Ἀλλ' ἐπὶ τῶν εἴδει διαφερόντων καὶ αἱ πρὸς ἄλληλα μεταβολαί. Αἱ γὰρ γενέσεις ἐκ τῶν ἐναντίων ὡς ἐξ ἐσχάτων. Κἀνταῦθα ἄρα τὸ μᾶλλον καὶ ἧττον τῆς διαφορᾶς ἐπιχωριάζει. Εἰ δὲ ταῦτα, καὶ ἡ μεγίστη ἄρα διαφορά. Ἄρ' οὖν ἐπὶ τῶν εἴδει διαφερόντων μάλιστα διαφέρει τὰ ἐναντία. Ἐκ δὲ δὴ τούτων, οἱονεὶ πορισμάτια ἐφέλκεται ἑπόμενα τρία ταῦτα. Α΄. ὡς ἡ ἐναντίωσις ἡ μεγίστη ἐστὶ διαφορὰ καὶ τελεία· τοῦ γὰρ τελείου ἔξω οὐδὲν ὑπολείπεται. Καὶ τοσούτῳ τοίνυν διαφορᾶς μέτεστι τοῖς οὖσιν, ὅσῳπερ ἐναντιώσεως· τά,τε μάλιστα ἐναντία, τελείως καὶ διαφέρει. Β΄. ὅτι ἓν ἑνὶ ἐναντίον, καὶ οὐχὶ πλείω, δυοῖν ἕνεκα· τοῦ μὲν, ὅτι ἡ ἐναντίωσις μεγίστη διαφορὰ ἐστὶ καὶ τελεία, ὡς ἐλέγετο, μιᾶς δὲ ἀποστάσεως οὐκ ἂν γένοιτο πλείω δυοῖν τὰ ἔσχατα. Καὶ τοῦ ἐσχάτου ἐπέκεινα οὐδέν·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐδεν· τὸ δὲ, ὅτι ἡ ἐναντίωσις διαφοράτις ἐστίν· ἡ δὲ διαφορὰ δυοῖν τινῶν. ἐκῦν καὶ ἡ τελεία διαφορά. Γ΄. δὲ κατὰ ταύτην τὴν διηρημένην αὐτῷ θεωρίαν, καὶ τὰς παρὰ τῶν ἄλλων ἀποδοθείσας ὑπογραφὰς ἐγκρίνει καὶ δοκιμάζει, καθ᾽ ὅτι ἅπασαι τὴν μεγίστην διαφορὰν ὡς χαρακτῆρα τοῖς ἐναντίοις ἀπέδωκαν.

## Θεώρημα ΡΝΗ΄.

§. τνβ΄. „ Τὸ μεταξὺ τῶν ἐναντίων ὁμογενές ἐστιν αὐ„ τοῖς.

Εἰ μὴ γὰρ, ἀλλ᾽ ἑτερογενὲς, ἔδει καὶ τὰς δι᾽ αὐτῶν ἐπὶ τὰ ἔσχατα μεταβάσεις, μεταβολὰς εἶναι λέγειν τῶν ἑτερογενῶν. (ἐξ ὑποθ.) Τὸ δὲ ἀπείρηται. (§. τνα΄.) Ἄρα κτ.

## Σχόλιον.

§. τνγ΄. Αὕτη ἡ κατ᾽ Ἀριστοτέλην τοῦ προκειμένου ἀπόδειξις· ἐπὶ τῶν φωνῶν, φησὶν, ἀπὸ τῆς ὑπάτης ἐπὶ τὴν νήτην γινόμεθα διὰ τῆς μέσης. Καὶ ἐπὶ τῶν χρωμάτων ἀπὸ τοῦ λευκοῦ ἐπὶ τὸ μέλαν διὰ τοῦ φοινικοῦ. Καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Αἱ δὲ ἀπὸ γένους εἰς γένος μεταβάσεις οὐκ ἄλλως ὅτι μὴ κατὰ συμβεβηκὸς εἰσὶ τελούμεναι, οἷον ἀπὸ τοῦ χρώματος ἐπὶ τὸ σχῆμα. Ἄρα ὁμογενῆ δέον εἶναι τὰ μεταξὺ τῶν ἐναντίων.

## Θεώρημα ΡΝΘ΄.

§. τνδ΄. „ Τὰ μεταξὺ τῶν ἐναντίων οὔτε πρὸς ἄλληλα, „ οὔτε πρὸς τὰ ἄκρα, μάχην ἔχει τὴν κατ᾽ ἐναντίωσιν.

Μεταξὺ γὰρ κείμενα (ἐξ ὑποθ.) οὐκ ἔσχατα ἐστὶν, οὐδὲ ἀλλήλων μάλιστα διαφέροντα· τὰ δὲ κατ᾽ ἐναντίωσιν μαχόμενα, μάλιστα εἶναι δεῖ διαφέροντα. (§. τλϛ΄.) Ἄρα τὸ Α΄.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλὰ καὶ εἰ δοκεῖ ἐχέτω τὸ μεταξὺ πρὸς ἕτερον τῶν ἄκρων, εἴδε βούλει, καὶ πρὸς ἑκάτερον ἐναντίωσιν· ἔχει δὲ καὶ τὸ ἕτερον. ( ἐξ ὑποθ. ) Οὐκ ἄρα ἐν ἐστὶ ἐναντίον· ἄτοπον δέ. ( §. τνά. ) Ἄρα καὶ τὸ Β΄.

## Θεώρημα ΡΞ΄.

§. τνέ. „ Τὸ μεταξὺ τῶν ἐναντίων κατὰ κρᾶσιν ἐστὶν ἐξ „ ἐκείνων.

Ἔστι καὶ γὰρ ἐκείνοις ὁμογενές. ( §. τνβ΄. ) Γένους δὲ τυχὸν τοῦ αὐτοῦ, συστατικῆς διαφορᾶς οὐκ ἠμοίρησεν. Ἡ δὲ οὐδετέρα ἀκριβῶς τῶν τὰ ἔσχατα εἴδη συνιστωσῶν· ἑτέρα ἄρα. Ἀλλ᾽ ὥσπερ ἔχει εἴδη πρὸς εἴδη, καὶ διαφοραὶ πρὸς διαφοράς· ὥσπερ ἄρα εἶδος χρώματος, φέρ᾽ εἰπεῖν, μεταξὺ τῶν ἐναντίων ἐστὶν, οὕτω καὶ διαφοράτις μεταξὺ ἔσται. Αἱ μὲν οὖν πρῶται διαφοραὶ, ( δεδόσθω δὴ λέγειν κατ᾽ Ἀριστοτέλην, οὐ καὶ ἡ δεῖξις, τὸ διακριτικὸν καὶ τὸ συγκριτικὸν τῆς ὄψεως, οὐ γὰρ τὰ περὶ τούτων τοῖς φυσιολογοῦσι ζητούμενα, τῷ παραδείγματι προσλυμαίνεται ). Τὰ πρῶτα ἐστὶν ἐξ ὧν πάντα τὰ ὑπὸ τὸ γένος εἴδη συντίθεται· τὰ γὰρ ἐν τῷ αὐτῷ γένει, ἤτοι ἁπλᾶ, ἢ ἐκ τῶν ἁπλῶν· τὰ δ᾽ ἐναντία οὐκ ἐξ ἀλλήλων συγκεκρότηται. Ταῦτ᾽ ἄρα τὰ πρῶτα ἐστί· τὰ δὲ μεταξὺ, ἢ πάντα σύνθετα ἐκ τῶν ἐναντίων ἁπλῶν ὄντων, ἢ μηδέν· ὁ γὰρ αὐτὸς λόγος ἐπὶ πάντων. Ἀλλ᾽ οὐχὶ μηδὲν, ἔστι γάρ τι τὸ ἐκ τῶν ἐναντίων. Διὰ γὰρ δὴ τοῦτο καὶ ἡ μεταβολὴ πρῶτον ἀφικνεῖται ἐπὶ τὰ μέσα, ἢ ἐπὶ τὰ ἄκρα. Ἐφ᾽ ὃ γὰρ ἀφικνεῖται μᾶλλον καὶ ἧττον ἐστὶ πάντως, πρὸς ἑκάτερον, ἢ ἑκάτερον. Α΄. γάρ τι ἧττον λευκὸν, καὶ ἧττον μέλαν, ἢ ἀκριβῶς λευκὸν, καὶ ἀκριβῶς μέλαν· τὸ δὲ ἧττον λευκὸν ἔγγιον τῷ λευκῷ, ἢ τὸ μέλαν. Καὶ τὸ ἧττον μέλαν τῷ μέλανι, ἢ τὸ λευκόν· μετέχει ἄρα ἑκατέρου τὸ μέσον.

Σχό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Σχόλιον.

§. τνς΄. Πῶς ἂν εἴρηται τῶν μεταξὺ, τὰ μὲν κράσει τῇ ἐκ τῶν ἐναντίων, τὰ δ' ἀποκράσει τῇ τούτων, ἤτοι ἀποβολῇ, συνίςασθαι; (§. τμδ΄.) Ἢ ὧδε μὲν περὶ τῶν ἐναντίων ὁ λόγος, τῶν ἐν τῷ αὐτῷ δεκτικῷ τῷ πεφυκότι, οἷον ἡ μέση ἐκ νήτης τε καὶ ὑπάτης ἐπίσης ἐν τῷ φθόγγῳ, καὶ τὸ φοινικὸν ἐκ λευκοῦ τε καὶ μέλανος τῷ σώματι. Ἐν ἐκείνοις δὲ, καὶ περὶ τῶν ἐν ὑποκειμένῳ, ὅπερ οὐ πέφυκεν· οἷον ὁ παῖς ἁπλοῦς ὢν, οὔτ' ἀγαθὸς, οὔτε φαῦλος, ὡς ἑκατέρου ἀνεπίδεκτος. Καὶ τὸ διαφανὲς, οὔτε λευκὸν, οὔτε μέλαν. Καὶ τοῦτο δὲ, εἴ τις διαπορήσειε περὶ τῶν κατὰ τὰς ἀρετὰς μεσοτήτων, πῶς ἐκ κράσεως κακιῶν ῥητέον αὐτὰς συνίςασθαι; εὐχερῆ ἔχει τὴν ἀπάντησιν ἐννοήσαντι, ὡς οὐκ ἐν τῷ ὁπωσοῦν ἔχειν κεῖται τὰ τῶν ἀκροτήτων, ἀλλ' ἐν τῷ καθ' ὑπερβολὴν ἔχειν· τό,τε μεταξὺ ἐκ τῶν ἐσχάτων, οὐχ ᾗ τοιαῦτα, ἀλλὰ καθ' ὕφεσιν, δ' ἣν καὶ ἑκατέρου ἐκείνων διαφέρον, κυρίως ἐςὶν οὐδέτερον, ᾗ τῆς ἑκατέρου ἐξίσου ἐξέςη φύσεως, τῆς ἐν τῷ ὑπερβάλλοντι τῆς ἀκρότητος θεωρουμένης. Εἰ γοῦν ἐν ὑπερβολῇ τὰ τῆς κακίας, ἡ δὲ μεσότης ἔξω τῶν ὑπερβολῶν γίγνεται, πρόδηλον ὅτι καὶ τῶν κακιῶν ἔξω κείσεται. Καθάπερ τοίνυν τὸ φοινικὸν, οὐδεὶς ἂν εἴποι λευκὸν εἶναι, ἢ μέλαν, οὐδ' ἐκ τούτων ᾗ τοιαῦτα· οὕτως οὐδὲ τὸν ἐλευθέριον φειδωλὸν εἶναι τὶς ἐρεῖ, ἢ ἀσωτευόμενον· οὐδ' ἐξ αὐτῶν, ᾗ τοιαῦτα. Ὁ γὰρ περὶ τὰς δαπάνας ἐλευθεριάζων, ἐπίσης τῆς ἀμετρίας ἀπεχόμενος, ὑφειμένως πως, ἤτοι συμμέτρως, ἑκατέρῳ τῶν ἄκρων κατὰ τὸ δέον προσχρήσεται.

## Θεώρημα ΡΞΑ΄.

§. τνζ΄. „ Παντὶ εἴδει τῶν ἀντιθέτων κατὰ γένος, σχέσις „ τις ἐμφαίνεται.

Αὐτίκα γὰρ τὸ ἀντικείμενον ὁπωσοῦν τῷ ἀντικειμένῳ ἐςὶν ἀντικείμενον. Καὶ τὸ ἀντιφατικὸν τῷ ἀντιφατικῷ, καὶ τὸ ἐναντίον τῷ ἐναντίῳ. Ἥτε ςέρησις ἕξεως ἐςὶ ςέρησις. Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καίτοι μὴ ἀνάπαλιν, ὁ γὰρ ἡ ἕξις στερήσεως, ἀλλ' εἴδους. Τὰ μὲν ἄρα ὡς τὰ ἀντιστρέφοντα τῶν πρός τι, τῶν ἀντικειμένων κατὰ γένος ληφθέντων, ἔχει πρὸς ἄλληλα, τὸ δὲ ὡς τὰ μή. ( §. τλς'. ) Ἄρα κτ.

## Θεώρημα ΡΞΒ'.

§. τνη'. „ Τῶν πρός τι ὅσα μὲν ὁμογενῆ, καὶ ἀντιστρέ„ φοντα· ὅσα δὲ μή, οὐχί.

Ἐξ ἐπαγωγῆς δῆλον. Καὶ γὰρ τὰ ὅμοια καὶ ἀνόμοια, καὶ τὰ ἴσα καὶ ἄνισα, καὶ πατὴρ καὶ υἱός, καὶ δοῦλος καὶ δεσπότης, καὶ ἄνω καὶ κάτω, καὶ τὰ κατὰ τὰς λοιπὰς τοπικὰς σχέσεις, καὶ ἐπὶ χρόνου τὸ πρότερον καὶ τὸ ὕστερον, ὁμογενῆ τε εἰσὶ καὶ ἀντιστρέφοντα. ἐπιστήμη δὲ καὶ ἐπιστητόν, καὶ αἴσθησις καὶ αἰσθητόν, κτ. ἑτερογενῆ τε εἰσί, ( τὸ μὲν γὰρ ποιότης, τὸ δὲ οὐσία ) καὶ μὴ ἀντιστρέφοντα. Εἰ γὰρ ἐπιστήμη, καὶ ἐπιστητόν· ἀνάπαλιν δ' οὐχί, ὅτι μὴ κατὰ συμβεβηκός. Ἄρα κτ.

## Θεώρημα ΡΞΓ'.

§. τνθ'. „ Τῶν πρός τι τὰ μὲν ἐναντία, τὰ δὲ μή.

Ἔστι γὰρ ἃ τῶν πρός τι, καὶ ὁμογενῆ εἰσί, καὶ πλεῖστα ἀλλήλων διαφέροντα· οἷον τὸ μέγα καὶ μικρόν, τό,τε πολὺ καὶ ὀλίγον, καὶ τὸ ἄνω καὶ κάτω. Τοιαῦτα δὲ τὰ ἐναντία ὤφειστο εἶναι. ( §. τλς'. ) Ἄρα τὸ Α'.

Τὰ δὲ οὔτε ὁμογενῆ εἰσίν, οὔτε τὴν μεγίστην ἀπ' ἀλλήλων ἀπόστασιν ἀφιστάμενα· οἷον ἐπιστήμη καὶ ἐπιστητόν· κίνησις καὶ κινητόν· ὧν τῆς μὲν ὁμογενὲς καὶ μάλιστα ἀπέχον ἐστὶν ἡ ἀπάτη, τῆς δὲ ἡ ἠρεμία. Ἄρα ( §. τλς'. ) κτ.

## Θεώρημα ΡΞΔ'.

§. τξ'. „ Οὐ πάντα τὰ ἐναντία, καὶ πρός τι.

Εἰσὶ γὰρ καὶ ἐναντία τὰ μὴ συνεισαγόμενα, οἷον τὸ ἴσον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σον, καὶ τὸ ἄνισον, καὶ τὰ τέτοις προσεοικότα. Τὰ δὲ καθ' ἑαυτὰ, καὶ πάντη ἀπόλυτα· οἷον φῶς, καὶ σκότος, ἀρετὴ καὶ κακία, καὶτ. Ἄρα κτ.

## Θεώρημα ΡΞΕ'.

§. τξά. „ Οἷς αὖ πρός τι ἐστι μεταξύ τι ᾗ, τέτοις καὶ „ ἐναντιώσεως μέτεστιν. Οἷς δὲ ἐναντιώσεως ἐ μέτεστιν, ἐ- „ δὲ μεταξύ τι ἐστίν.

Ἔνθα γὰρ τὸ μεταξὺ, καὶ τὸ μᾶλλον καὶ ἧττον ἐμφιλοχωρεῖ πάντως. Εἰ δὲ ταῦτα, καὶ τὰ ἔχατα, ὡς μάλιστα διαφέροντα παρέστι. ( §. τνά. ) Τοῖς δὲ ἔτως ἔχεσι καὶ ἐναντιώσεως μέτεστι. ( §. τλς'. ) Ἄρα κτ. ὅπερ ἦν τὸ Α'.

Τοῖς δὲ πρός τι μὲν ἐσι, ἐναντίωσιν δὲ μὴ ἔχεσιν, οἷον ἐπιστήμη καὶ ἐπιστητὸν, ( §. τνή. τνθ'. ) ἐδὲ τε αὐτε γένες μέτεστι. Τῶν δὲ μὴ ὁμογενῶν, ἐδὲν μεταξύ. (§.τνά. τνβ'.) Ἄρα καὶ τὸ Β'.

## Σχόλιον.

§. τξβ'. Ἄξιον δὲ οἶμαι καὶ αὐτε τε Ἀριστοτέλες περὶ τῶν ἀντικειμένων, ὧν μεταξύ τι ἐστὶν, ὁροθετεντος ἀκεσαι. „ Ἀδύνατον εἶναι μεταξὺ, φησὶ, μὴ ἀντικειμένων· εἴη γὰρ „ αὖ μεταβολὴ καὶ μὴ ἐξ ἀντικειμένων. Τῶν δὲ ἀντικειμέ- „ νων ἀντιφάσεως μὲν, ἐκ ἐστι μεταξύ. Τετο γὰρ ἐστὶν „ ἀντίφασις, ἀντίθεσις, ἧς ὁτωεν θάτερον μόριον πάρε- „ στιν, ἐχέσης ἐδὲν μεταξύ. Τῶν δὲ λοιπῶν τὰ μὲν πρός „ τι, τὰ δὲ στέρησις, τὰ δ' ἐναντία ἐστί· τῶν δὲ πρός τι ὅ- „ σα μὴ ἐναντία, ἐκ ἔχει μεταξύ. Αἴτιον δὲ, ὅτι ἐκ „ ἐν τῷ αὐτῷ γένει ἐστί. Τί γὰρ ἐπιστήμης καὶ ἐπιστητε με- „ ταξύ; ἀλλὰ μεγάλε καὶ μικρε. (1) Τί δὲ δή ποτε ἐπὶ

τῶν

(1) Μεταφ. I. Κεφ. ς'.

τῶν κατ' ἐναντίωσιν καὶ στέρησιν ῥητέον περὶ τῆς τῶν μεταξὺ παρεμπτώσεως, ὅρα §. τμδ'. τμέ.)

## Θεώρημα ΡΞϚ'.

§. τξγ'. „Τὸ ἓν καὶ τὰ πολλὰ, ἢ τοιαῦτα, κατ' ἐναντίωσιν „ἐστὶ μαχόμενα.

Οὐ γὰρ ἀντιφατικῶς, ὅτι οὐδέτερον κατὰ τοῦ μὴ ὄντος ἀληθεύει λεγόμενον. Οὐδ' ὡς πρός τι· λέγεται γὰρ ἀπολύτως. Οὐδὲ μὲν οὖν κατὰ στέρησιν· θετικῶς γὰρ ἄμφω ἐστὶν ἐκφερόμενα, καὶ τοῦ αὐτοῦ γένους τοῦ ὄντος μετέχοντα, καὶ κατὰ τῶν ὁμοφυῶν κατηγορεῖσθαι πεφυκότα. Κατ' ἐναντίωσιν ἄρα.

## Σχόλιον.

§. τξδ'. Πλεῖστα εὑρήσεις παρὰ τῷ Ἀριστοτέλει (1) περὶ τῆς τοῦ ἑνὸς πρὸς τὰ πολλὰ μάχης προβαλλόμενα ἀπορημάτια, ἐν οἷς παρὰ πόδας αὐτῶν καὶ τὰς ἐπιλύσεις. Α'. „γὰρ, φησὶ τὰ πολλὰ καὶ τοῖς ὀλίγοις ἀντίκειται. Β'. τὰ „δύω, πολλὰ, εἴπερ τὸ διπλάσιον πολλαπλάσιον. Ἐκ „γάρ τοι τούτων ἐπιφέρεται πάντως τὸ ἓν εἶναι ὀλίγον. „Ἀλλ' ὥσπερ δὴ, προστίθησιν, ἐν μήκει τὸ μακρὸν καὶ βρα„χὺ, οὕτως ἐν πλήθει τὸ πολὺ καὶ τὸ ὀλίγον. Ὥστε τὸ ἓν πλῆθος τί ἐστιν, εἴπερ καὶ ὀλίγον. Γ'. δ' ἂν εἴη ἀπορία αὕτη, τῇ δευτέρᾳ παρασυμβαίνουσα. Πρὸς ταῦτα οὖν ἀπαντῆσαι ἔνι, ὡς τὰ πολλὰ ἤτοι ἁπλῶς λέγεται καὶ σημαίνει ἀριθμὸν, καὶ οὕτως ἐστὶ πολλὰ καὶ τὰ δύω, ἢ πρός τι, καὶ σημαίνει πλῆθος ἔχον ὑπεροχὴν, ὥσπερ τὰ ὀλίγα πλῆθος ἔχον ἔλλειψιν. „Καὶ οὕτως ὀλίγα ἁπλῶς τὰ δύω. Πλῆθος γὰρ ἔλλειψιν ἔχον πρῶτον. Κατὰ μὲν οὖν τὸν Α'. τρόπον ληφθεῖσι τοῖς πολλοῖς ἐναντίον τὸ ἕν. κατὰ δὲ τὸν Β'.

πα-

(1) Μεταφ. I. Κεφ. ϛ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σχετικῶς ἀντίκειται οὐχὶ τὸ ἓν, ἀλλὰ τὰ ὀλίγα. Ἐπὶ τούτοις δὲ, οὐδὲ τοῦτο πάμπαν ἀπορίας ἀπήλλακται πῶς τῶν ἐναντίων ἀναιρετικῶν ἀλλήλων ὁμολογουμένων, τὰ πολλὰ, ἐναντία τίθεται πρὸς τὸ ἓν, τὸ ὑπὸ τῶν πολλῶν εἰσαγόμενον; Εἰ γὰρ πολλὰ, καὶ ἓν δηλονότι. Πῶς δὲ καὶ τὸ ἓν ἀναιρετικὸν τῶν πολλῶν, ὧν εἶναι συστατικὸν δοκεῖ μάλιστα; Πλὴν ἀλλ' ἔστι καὶ πρὸς ταῦτα εἰπεῖν, ὅτι τὸ ἓν εἰδικῶς ἢ ἓν θεωρούμενον, πεπληρωμένον καθ' ἑαυτὸ καὶ τέλειον, τὴν πρὸς τὰ πολλὰ μάχην κεκλήρωται· ᾗ δὲ μέρος, οὐκ ἐναντίον, σχετικὸν δὲ εἶναι ῥηθήσεται. Τοῦτο δὲ ἴδοι τις ἂν ἀληθεῦον, καὶ τὸ σῶμα ἀντιπαραβαλὼν πρὸς τὸ ἔμψυχον· ᾗ γὰρ σῶμα συστατικὸν ὂν τοῦ ἐμψύχου, ἐκ τοῦ καὶ ᾗ ἄψυχον νοεῖσθαι, τὴν πρὸς αὐτὸ ἐκεῖνο ἐπιδέδεκται ἐναντίωσιν. Καὶ δυάδα δὲ τριάδι παρατιθέμενος, τὸ ὅλον καθ' αὑτὸ, καὶ τῷ εἴδει ἕτερον, καὶ μέρος γινόμενον κατὰ σχέσιν εὑρήσομεν.

## Θεώρημα ΡΞΖ΄.

§. τξέ. „ Τὸ ἓν καὶ τὰ πολλὰ, ἐὰν ληφθῇ τὸ μὲν ὡς „ μέτρον, τὰ δὲ ὡς μετρητὰ, σχετικῶς ἀντίκειται. Κατὰ „ γένος τὰ πρός τι, τὰ μὴ ἀντιστρέφοντα.

Δῆλον τὸ Α΄. ὅτι τὸ μετρητὸν μέτρῳ μετρητόν. Ἀριθμὸς δὲ πᾶς καταμετρεῖται μονάδι. Καὶ τὸ πλῆθος τῷ ἑνί.

Δῆλον καὶ τὸ Β΄. οὐ γὰρ συνεισάγει τὸ ἓν τὰ πολλὰ, ὡς ταῦτα ἐκεῖνο.

## Σχόλιον.

§. τξς΄. Ἀκουέσθω κἀνταῦθα Ἀριστοτέλης. „ Ἀντίκει- „ ται τὸ ἓν, καὶ τὰ πολλὰ ὡς μέτρον μετρητῷ. Ταῦτα δὲ „ ὡς τὰ πρός τι, ὅσα μὴ καθ' αὑτὰ τῶν πρός τι. Διχῶς „ γὰρ λέγεται τὰ πρός τι, τὰ μὲν ὡς ἐναντία, τὰ δὲ ὡς „ ἐπιστήμη πρὸς ἐπιστητὸν, τῷ λέγεσθαί τι ἄλλο πρὸς αὐ- „ τά..... Δόξειε γὰρ ἂν μέτρον ἡ ἐπιστήμη εἶναι. Τὸ δὲ

„ ἐπι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ ἐπιστητὸν τὸ μετρούμενον. Συμβαίνει δὲ ἐπιστήμην μὲν „ πᾶσαν ἐπιστητὸν εἶναι, τὸ δὲ ἐπιστητὸν μὴ πᾶν ἐπιστή- „ μην. Ὅτι τρόπον τινὰ ἡ ἐπιστήμη μετρεῖται τῷ ἐπιστη- „ τῷ.

## Θεώρημα ΡΞΗ΄.

§. τξζ΄. „ Τὸ ἓν καὶ τὸ πλῆθος, ληφθέντα τὸ μὲν ὡς „ ἀδιαίρετον, τὸ δὲ ὡς διαιρετὸν, στερητικῶς ἀλλήλοις ἀντί- „ κειται.

Καὶ γὰρ τὸ μὲν δύναμιν ἐμφαίνει τοῦ διαιρεῖσθαι, τὸ δὲ στέρησιν ἐλέγχει τῆς τοιαύτης δυνάμεως. ( §. τλς΄. ) Ἄρα κτ.

## Σχόλιον.

§. τξη΄. „ Ἐπειδὴ τοίνυν πρότερόν ἐστι τῇ φύσει τὸ ἓν τῶν πολλῶν, μηδεὶς ἐντεῦθεν καὶ τὸ ἀδιαίρετον, ἢ τοιοῦτον, ἡγείσθω πρότερον εἶναι τοῦ διαιρετοῦ. Τοὐναντίον δὲ· ὅτι καὶ τὰ πολλὰ πρότερα τῷ λόγῳ τῷ κατὰ τὴν αἴσθησιν τοῦ ἑνός· ὥσπερ δὴ καὶ ἡ ἕξις τῆς στερήσεως. Διὸ καὶ τὴν ἐπὶ τῶν πολλῶν χωροῦσαν διαίρεσιν ἀποφάσκοντες, τὸ ταύτης ἐξῃρημένον ἓν ὁρίζόμεθα, τὸ ἀδιαίρετον εἶναι λέγοντες. Εὖ γὰρ ἔχει τὰ ἁπλούστατα τῇ ἀποφάσει τῶν μᾶλλον συνθέτων γνωρίζειν, οἷον τὸ σημεῖον εἶναι οὗ μέρος οὐθὲν ὑπογράφειν, καὶ τὰ τοιαῦτα ὡσαύτως. Ἐπὶ τοίνυν τῶν πολλῶν ἄμφω ταῦτα θεωρητέον, τό,τε πλῆθος, καὶ τὴν διαίρεσιν. Καὶ τῶν μὲν πολλῶν κατὰ πλῆθος πρότερον πάντως τῷ λόγῳ τὸ ἕν. Τί γάρ ἐστι τὰ πολλά; πλῆθος μονάδων. Τὰ δέ τοι πολλὰ κατὰ τὴν διαίρεσιν πρότερα τῷ λόγῳ τοῦ ἑνός. Τί γάρ ἐστιν ἕν; ὃ μὴ διαιρεῖται.

Θεώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΡΞΘ'.

§. τξθ'. „ Ταυτὸν ϗ ἕτερον, ἴσον τε ϗ ἄνισον, ὅμοιόν „ τε ϗ ἀνόμοιον, κατὰ στέρησιν ἀλλήλοις ἀντίκειται.

Ἀπὸ μὲν γὰρ τοῦ ἑνὸς, τὴν κατ᾽ οὐσίαν, ἢ ποσὸν, ἢ ποιὸν διαίρεσιν παραιτουμένου, ταυτὸν, ϗ ἴσον, καὶ ὅμοιον. Ἀπὸ δὲ τῶν πολλῶν, τὴν καθ᾽ ἓν τι τῶν εἰρημένων τριῶν διαίρεσιν ἀσπαζομένων ἕτερον, καὶ ἄνισον, καὶ ἀνόμοιον. ( §. τιβ'. ) Ἀλλά τὸ ἓν, καὶ τὰ πολλὰ οὕτω ληφθέντα, στερητικῶς ἀλλήλοις ἀντίκειται. ( §. τξζ'. ) Ἄρα καὶ ταυτὸν ϗ ἕτερον, κτ. Ο. Ε. Δ.

## Σχόλιον.

§. τό. Ἐνταῦθα δὲ ϗ περὶ τῆς μεταξὺ τοῦ ἴσου, καὶ τοῦ μεγάλου, ϗ μικροῦ ἀντιθέσεως, ἀπορίαν προβάλλεται ὁ Ἀριστοτέλης τινὰ, ϗ ἐπιλύεται. Εἰ γὰρ ἐν τοῖς ἀντικειμέ„ νοις, φησὶν (1), ἀεὶ τοῦ πότερου ἡ ζήτησις, λέγεται δὲ „ πότερον μεῖζον, ἢ ἔλαττον, ἢ ἴσον; τίς ἐστὶν ἡ ἀντί„ θεσις πρὸς ταῦτα τοῦ ἴσου; οὔτε γὰρ θατέρῳ μόνῳ ἐναν„ τίον, οὔτε ἀμφοῖν. Τί γὰρ μᾶλλον, ἢ τῷ μείζονι, ἢ „ τῷ ἐλάσσονι; ( ὥστε οὐχὶ θατέρῳ. Εἶτα ϗ ἓν ἑνὶ ἐναντίον, ϗ οὕτως οὐδὲ ἀμφοῖν. ) Ἔτι τῷ ἀνίσῳ ἐναντίον τὸ ἴ„ σον, ὥστε ἐν πλείοσιν ἔσαι, ἢ ἑνί. Εἰ δὲ τὸ ἄνισον „ σημαίνει τὸ αὐτὸ ἅμα ἀμφοῖν, εἴη μὲν ἀντικείμενον ἀμ„ φοῖν, ϗ ἡ ἀπορία βοηθεῖ τοῖς φάσκουσι τὸ ἄνισον δυά„ δα εἶναι. ( Ἐγένοντο δὲ οὗτοι οἱ περὶ Πυθαγόραν, οἳ τὴν μὲν ἀνισότητα ϗ ἑτερότητα τῇ δυάδι, ϗ τοῖς ἀρτίοις ἀριθμοῖς ἀπονέμοντες, τὸ ταυτὸν καὶ ἴσον τῇ μονάδι, καὶ τοῖς περιττοῖς ἀνετίθεσαν. ) Ἀλλὰ συμβαίνει ἓν δυοῖν „ ἐναντίον, ὅπερ ἀδύνατον. Ἔτι, τὸ μὲν ἴσον μεταξὺ „ φαί-

(1) Μεταφ. I. Κεφ. Ε'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ φαίνεται μεγάλυ, καὶ μικρῦ, ἐναντίωσις δὲ ὐδεμία μεταξὺ, ὔτε φαίνεται, ὔτε ἐκ τῦ ὁρισμῦ δυνατόν· ὐ γὰρ ἂν εἴη τελεία μεταξὺ τινὸς ὖσα, ἀλλὰ μᾶλλον ἔχει ἀεὶ αὐτῆς τι μεταξύ. ( ἐναντία δὲ ὥρισαι τὰ πλεῖστα διαφέροντα. μᾶλλον δὲ διαφέρειν φανερὸν τὰ ἄκρα πρὸς ἄλληλα, ἢ τὰ μεταξὺ πρὸς τύτων ἑκάτερον. ) Λείπεται δὲ, ἢ „ ὡς ἀπόφασιν ἀντικεῖσθαι, ἢ ὡς στέρησιν. Θατέρυ μὲν δὴ, „ ὐκ ἐνδέχεται, τί γὰρ μᾶλλον τῦ μεγάλυ, ἢ τῦ μικρῦ; „ Ἀμφοῖν ἄρα ἀπόφασις στερητική. Διὸ καὶ πρὸς ἀμφότερα „ τὸ πότερον λέγεται. Πρὸς δὲ θάτερον ὔ· οἷον πότερον „ μεῖζον, ἢ ἴσον; ἢ πότερον ἴσον, ἢ ἔλαττον; Ἀλλ᾽ ἀεὶ „ τρία. Οὐ στέρησις δὲ ἐξ ἀνάγκης. ( τυτέστιν ὐκ ἀντίφασις. ) Ἀναγκαία γὰρ στέρησις ἐστὶν ἡ ἀντίφασις ἡ ἐπὶ πάντων τῶν ὄντων, καὶ μὴ ὄντων διαιρῦσα τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν. (1) Οὐ γὰρ πᾶν ἴσον, ὃ μὴ μεῖζον ᾖ, ἢ ἔλαττον. Ἀλλ᾽ ἐν οἷς πέφυκεν ἐκεῖνα. Ἔστι δὴ τὸ ἴσον, τὸ „ μήτε μέγα μήτε μικρὸν, πεφυκὸς δὲ μέγα, ἢ μικρὸν εἶ„ναι, καὶ ἀντίκειται ἀμφοῖν ὡς ἀπόφασις στερητική. Διὸ καὶ „ μεταξὺ ἐστί. Καὶ τὸ μήτ᾽ ἀγαθὸν μήτε κακὸν ἀντίκειται „ ἀμφοῖν, ( ὥσπερ τὸ μήτε μέγα μικρόν. ) ἀλλ᾽ ἀνώνυμον. „ πολλαχῶς γὰρ λέγεται ἑκάτερον, καὶ ὐκ ἔστιν ἓν τὸ δεκτικὸν, ἀλλὰ μᾶλλον τὸ μήτε λευκὸν, μήτε μέλαν. ἓν δὲ „ ὐδὲ τῦτο λέγεται, ἀλλ᾽ ὡρισμένα πως τὰ χρώματα, ἐφ᾽ ὧν „ λέγεται στερητικῶς ἡ ἀπόφασις αὕτη. Ἀνάγκη γὰρ ἢ „ φαιὸν, ἢ ὠχρὸν εἶναι, ἢ τοιῦτο τι ἄλλο ὡρισμένον. Μέσον ἄρα τὸ ἴσον τῦ μικρῦ καὶ μεγάλυ, ὥσπερ δὴ καὶ τὸ μὴ ἀγαθὸν μηδὲ φαῦλον μέσως ἑκατέρῳ ἀντίκειται· διαφέρει δὲ, ὅτι ἐκεῖνο μὲν, ὠνόμασαι τὸ ἴσον, τῦτο δὲ, τὸ μηδ᾽ ἀγαθὸν, μηδὲ φαῦλον ἀκατονόμαστον. Αἴτιον δὲ τύτυ, ὅτι ἐνίοτε ἄμφω αἱ τῶν ἀντικειμένων στερήσεις, ἐπὶ ὡρισμένοντι συνεμπίπτυσι, καὶ τότε δὴ τὸ μέσον ἓν, καὶ ἀπόλως ὀνομαστόν· οἷον τὸ ἴσον. Ἐνίοτε δὲ ὐκ ἐπὶ ὡρισμένον, καὶ τότε ἤτοι τὸ μέσον ἀνώνυμον, ἢ διαφόρως ὀνομαζόμενον ὅτι

καὶ

(1) Ὅρα Μιχαὴλ τῦ Ἐφεσίυ Ὑπομν. Αὐτ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ πολυειδὲς, οἷον τὸ μηδὲ λευκὸν, μήτε μέλαν. Οὐ γὰρ τοῦτο ἓν, χρώματα δὲ πλείω, οἷς ἐπιβάλλει τὰ τῆς στερητικῆς ἀποφάσεως. Ἐξ ὧν καὶ τὴν ἔνστασιν ἐστὶν ἐπιλύσασθαι, ἣν εἰσὶν οἱ ψυχρευόμενοι προτείνουσι λέγοντες, ὅπως ἔσεσθαι καὶ ὑποδήματος καὶ χειρὸς μεταξὺ, τὸ μηδέτερον ὂν δηλονότι μηδὲ χεὶρ, μηδ' ὑπόδημα. „ Οὐ γὰρ ἀνάγκη τοῦτο συμβαίνειν. „ Ἡ μὲν γὰρ ἀντικειμένων συναπόφασίς ἐστιν, ὧν ἐστὶ μεταξύ τι, καὶ διάστημά τι πέφυκεν εἶναι, ( οἷον ἐὰν ἢ ἄκρα τοῦ αὐτοῦ γένους ) τῶν δ' οὐκ ἔστι διαφορά. ἐν ἄλλῳ γὰρ „ γένει ὧν αἱ συναποφάσεις, ὥστε οὐχ ἓν τὸ ὑποκείμενον.

# ΚΕΦΑΛΑΙΟΝ Ζ'.

## Περὶ Ὡρισμένου καὶ Ἀορίστου, καὶ περὶ τοῦ Πεπερασμένου, καὶ τοῦ Ἀπείρου.

§. τοα'. Ἔτι μὴν ἀδιαφόρως πρὸς τὸ ἓν καὶ τὰ πολλὰ, καὶ τὰ πρὸς αὐτὰ, οἷον πρὸς γένη ὡς εἴρηται ὑπαγόμενα, ( §. τιβ'. ) πρός τε ταυτὰ φημὶ καὶ τὰ ἕτερα, καὶ τὰ ἴσα καὶ ἄνισα, καὶ τὰ ὅμοια καὶ ἀνόμοια, καὶ πρὸς τὰ ἀντικείμενα, ἔχον ἐστὶ, τοῦτο ταύτῃ γε καὶ ὡρισμένον τυγχάνει ὄν. Πᾶν ὅ,τι δὲ πρὸς τούτων ἐστὶν ἃ ἀδιαφορεῖ, τοῦτο καὶ ἀόριστον· οἷον αὐτίκατι ὁποιονοῦν, ἥπερ ὂν ἐστὶ, νοηθὲν, εἴη ἂν καὶ ταὐτὸν ἀνθρώπῳ φέρ' εἰπεῖν, καὶ ἕτερον ἀνθρώπου. Καὶ εἰ ταὐτὸν, τουτέστιν ἄνθρωπος, γένοιτ' ἂν καὶ ἴσος τῷ Αἴαντι, καὶ οὐχί. Εἰ δὲ καὶ ἴσος, καὶ ὅμοιος ὁπωσοῦν καὶ ἀνόμοιος. Καὶ, καθ' ὁποτερονοῦν, καὶ τῶν ἀντικειμένων οὔπω νοούμενος, οὐδαμῶς ἀνεπίδεκτος· οἷον τοῦ λαλεῖν, καὶ σιγᾶν, καὶ τῶν ἄλλων· Ἢ, μὲν ὂν, ἤτοι ταὐτὸν, ἢ ἕτερον, ὁπότερον τύχοι, ἀοριστάινει· ᾗ δὲ ταὐτὸν, ὑποτεθὲν, ἢ μὴ ταὐτὸν ἀλλ' ἕτερον, διώρισταί πως. Καὶ πάλιν οὔπως ἐν μέρει πως ὁρισθεὶς, ἀοριστήσας ὁ ἄνθρωπος πρός γε τὸ κατὰ ποσὸν ἕν τι, καὶ πλῆθος, τῇ πρὸς τὸν Αἴαντα ἰσότητι, ἧς τετυχηκέναι νενόηται, ἐπὶ τὸν διορισμὸν τουτονὶ ἀνεκλήθη. Εἶτα καὶ οὔπως ἔχων, διά τε τὴν κατὰ τὸ ποιὸν, ἢ τινὰ τῶν ἄλλων κατη-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γοριῶν ἀοριστίαν, ἀδιαφόρων ἔτι πρὸς ὁμοιότητα, ἢ ἀνομοιότητα, ἐπὶ μᾶλλον διὰ θατέρου ὃ προσκεκλήρωται ἀφορισθεὶς συνεστάλη. Τελευταῖον δὲ, καὶ κατὰ θάτερον τῶν ὁπωσοῦν ἀντικειμένων διακρινόμενος, διορίζεται, οἷον βαδίζει, κάθηται, καὶ τὰ ἄλλα.

§. τοβ΄. Ἐντεῦθεν αὖτις ὀρθῶς ὁρίσειε, τὸ μὲν ὡρισμένον εἶναι, καθ᾽ οὗτι ἀληθῶς λέγεται, καὶ οὐ τόγε ἀντικείμενον, ἢ τὸ, εἴδει ἕτερον, οὐκ ἂν ἀληθῶς κατηγορηθείη. Ἀόριστον δὲ, καθ᾽ ὅτι οὐκ ἀληθῶς, οὐδέγε μᾶλλον τὸ ἀντίθετον, ἢ τὸ εἴδει ἕτερον· οἷον οὐσία ἔμψυχος, οὐ γὰρ ἄψυχος, ἡ ἐκείνως διωρισμένη· ἡ δ᾽ ἀορίστως οὐ μᾶλλον τοῦτο, ἢ ἐκεῖνο· οὐδέτερον γὰρ ῥητέον, ἕως οὗ ἀοριστάινει. Καὶ ἄνθρωπος οὐκοῦν μὲν ἐγκρατὴς παιδείας, ἀμαθὴς δὲ, ὁ ταύτῃ διορισθείς· περὶ τούτου δὲ, ἀορίστως ληφθέντος, οὐδέτερον εἴποις ἂν ἀληθῶς. Καὶ ἄνθρωπος δὲ μέλας, εἴγε τοῦτο διώρισται, οὐ κατ᾽ αὐτὸ καὶ λευκός· ἐπισήμονα δὲ ἄλλως εἶναι, οὐδὲν κωλύει· τὸ μὲν γὰρ γένους ἐστὶ τῆς ἕξεως, τὸ δὲ τοῦ χρώματος· ὁ δὲ λευκὸς οὐχὶ καὶ μέλας, ὅπερ ἀντίκειται· οὐδὲ μὲν οὖν ἐρυθρὸς, ὅπερ ἕτερον. Ὥστε φανερὸν, ὅτι τῶν ὡρισμένων οὔτε τὸ ἀντικείμενον ἐνὶ κατηγορεῖν, οὔτε τὸ ἕτερον τῷ εἴδει. Γένει δὲ οὐδὲν κωλύει κατειπεῖν θάτερον· τῶν δ᾽ ἀορίστων οὐδέτερον ἀληθῶς, οὔτε τῶν ἀντικειμένων, οὔτε τῶν ὁπωσοῦν γένει, ἢ εἴδει, φημὶ, ἑτέρων, ταύτηγε ᾗ τυγχάνει ἀόριστα, καθ᾽ ὃ γὰρ ἂν τεθῇ ὁρισθήσεται.

§. τογ΄. Διαιρετέον οὖν τὴν ἀοριστίαν, εἴς τε τὴν κατ᾽ ἀδιαφορίαν, καὶ τὴν κατ᾽ ἀντίθεσιν. Καὶ ἀόριστον ἐκείνῃ μὲν ῥητέον, τὸ ἀδιαφόρως ἔχον πρὸς ὁποιονοῦν τῶν ἑτέρως ἐχόντων, οἷον

„ Εἷς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω.
„ ἢ Αἴας, ἢ Ἰδομενεὺς, ἢ δῖος Ὀδυσσεὺς,
„ ἠὲ σὺ Πηλείδη πάντων ἐκπαγλότατ᾽ ἀνδρῶν.

Ταύτῃ δ᾽ ἀόριστον, τὸ πρὸς ὁπότερον τύχοι τῶν ἀντικειμένων· ἧς δὴ κατὰ τὰ εἴδη τῶν ἀντιθέτων, τὴν μὲν ἀοριστίαν ῥητέον κατ᾽ ἀντίφασιν, οἷον ὅτε Πηλείδης ἀμηχανῶν ἦν,

„ Ἐν δέ οἱ ἦτορ,
„ στήθεσιν λασίοισι διάνδιχα μερμήριξεν,
„ ἢ ὅγε φάσγανον ὀξὺ ἐρυσάμενος παρὰ μηροῦ,

„ τοὺς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ τοὺς μὲν ἀναστήσειεν, ὁ δ᾽ Ἀτρείδην ἐναρίξοι,
„ ἠὲ χόλον παύσειεν, ἐρητύσειέ τε θυμόν.

Τὴν δὲ κατ᾽ ἐναντίωσιν, οἷον πότερον εἰρήνην αἱρετέον, ἢ μάχην; τὴν δὲ κατὰ στέρησιν, οἷον πότερον τὸ ζῆν χαρισόμεθα τῷ ἐπιληφθέντι, ἢ θάνατον αὐτοῦ καταψηφισόμεθα; τὴν δὲ κατὰ σχέσιν, οἷον πότερον ἐπιταχῦναι συμφέρει, ἢ ὑστερῆσαι; Καὶ πᾶν οὕτω τοίνυν πρός γε τὰ ἑτέρως ἔχοντα, ἢ ἀντικειμένως, ἀοριστάινόντων, ἐπιγενόμενος ὁ διορισμός, τῇ αἱρέσει θατέρου, ἢ τινός, τὸ πρὸς ὁποτερονοῦν, ἢ ὁποιονοῦν ἀντίρροπον ἵστησιν.

§. τοδ΄. Κἀκ τούτων δὲ εὔδηλον ὅτι τῷ μὲν διωρισμένῳ τὸ ἐνεργείᾳ συνεμφαίνεται, τοῦ καθ᾽ ὃ διωρισμένον εἶναι νοεῖται, τῷ δ᾽ ἀορίστῳ τὸ δυνάμει συνυπακούεται ἑκατέρου τῶν πρὸς ἃ τυγχάνει ἀόριστον· τὸ γὰρ ζῶον, ὡς ἔχει ἀορίστως πρός τε τὸ λογικὸν καὶ τὸ ἄλογον, οὐδὲ λογικὸν ἐνεργείᾳ ἐστί, καὶ δυνατὸν εἶναι καὶ ἄλογον· τὸ δὲ ξύλον πρὸς αὐτά, ταῦτα οὐχ οὕτω, πρὸς θάτερον δὲ οὐδὲ δυνάμει ἔχον, τοῦ ἑτέρου ἐνεργείᾳ τετύχηκεν. οὐδὲν οὖν ἀορίστως ἔχει, οὔθ᾽ οἷς προσπέφυκεν, οὔθ᾽ ὧν ἀποπέφυκεν ἀνάγκη· οὐδὲ πρὸς τὰ ἐνδεχόμενα, ἣν πρόσῃ θάτερον, οἷον ἀὴρ φωτὸς ἔμπλεως, οὐκ ἀορίστως ἔχει πρὸς φωτισμόν· οὐδὲ πρὸς λευκότητα, ἢ μελανίαν· οὐδὲ πρὸς τὸ σῶμα εἶναι, ἢ διαφανές. τὰ μὲν γὰρ ἐξ ἀνάγκης, τὰ δ᾽ ἀδυνάτως ἐστί, χρωμάτων ὢν ἀνεπίδεκτος. Ἀκριτόμυθος γὰρ ἦν ἀτεχνῶς καὶ τοῦτο ὁ παρὰ τῷ Ποιητῇ ὀξέα κεκληγώς, καὶ ὀνειδίζων τῷ βασιλεῖ.

„ ἦ ἔτι καὶ χρυσοῦ ἐπιδεύεαι, ὅν κέ τις οἴσει,
„ Τρώων ἱπποδάμων ἐξ Ἰλίου υἷος ἄποινα,
„ ὅν κεν ἐγὼ δήσας ἀγάγω ἢ ἄλλος Ἀχαιῶν;

Τῇ γὰρ ἐπὶ τῆς διαζεύξεως ἀοριστίᾳ, καὶ ἑαυτὸν εἰσωθεῖ ὁ γενναῖος, ὃν ἅπαν τὸ ἑλληνικὸν ᾔδει, μηδὲν τηλικοῦτον δυνάμενον.

§. τοε΄. Ὥστε δῆλον καὶ ὅ,τι δήποτε διαφέρει ἀοριστία στερήσεως· στέρησις καὶ γὰρ πᾶσα, τὴν μὲν τοῦ εἴδους, ἢ τῆς δυνάμεως, ἢ τῆς ἕξεως ἀπουσίαν, ἐνεργείᾳ τίθησι, ἐλέγχει δὲ παρυφισταμένην τοῦ ὑποκειμένου ψιλὴν τὴν πρὸς ἐκεῖνα αὐτὰ δεξιότητα. Ἡ δὲ ἀοριστία βούλεται δυνάμει ἀμφότερα· οἷον τοῦ ἀνθρώπου στερητικῶς μέν, ἡ τῆς δικαιοσύ-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νης ἀπουσία ἐνθεωρεῖται κατ᾽ ἐνέργειαν, ἡ δὲ παρουσία κατὰ μόνην τὴν δεξιότητα. Ἡ δὲ δύναμις ἡ τοιαύτη, ἀορίστως ἔσχηκε πρὸς ἑκάτερον. Διὸ κἀκεῖσε μὲν θάτερον ὡρισμένως ἡ ἀπουσία, ὧδε δὲ διαζευκτικῶς ἑκάτερον λέγεται· ἤτοι γὰρ δίκαιος, ἢ οὐχί. Δῆλον δὲ καὶ οὕτω διεσχηκυῖαν ἀποφάσεως αὖθις ἀοριστία· ταύτης μὲν τὸ δυνάμει, ὡς εἴρηται, εἰσαγούσης ἑκάτερον, ἡ ἀπόφασις ἐνεργείᾳ μὲν ὑποτίθησι τὰ τῆς ἀπουσίας, οὐδὲ δυνάμει δὲ γοῦν τὰ τῆς παρουσίας, εἰ τύχοι ὂν τὸ τῆς ὕλης ἀδύνατον. Ἄνθρωπος μὲν γὰρ ἢ δίκαιος, ἢ οὐχὶ, πεφυκὼς πρὸς ἑκάτερον, λίθος δὲ οὐδὲ δυνάμει πρὸς τὸ πρῶτον ἔχει, καὶ ἐνεργείᾳ πρὸς τὸ δεύτερον, διὸ οὐδὲ πρὸς ταῦτα ἀοριστιαίνει.

§. τοϛ΄. Πῶς οὖν εἴρηται (1) ὅτι καθ᾽ ὧν τε πέφυκε, καὶ καθ᾽ ὧν μὴ, παρὰ τὸ ἐκ μέσου γινόμενον, ἕξει κατηγορεῖν τὸ ἀόριστον; ἢ τοῦτ᾽ αὖ γνοίημεν ὅπως λέγεται, ἐννοήσαντες ὡς διασόθεν τὰ τῆς ἀοριστίας συμβαίνει τοῖς νοουμένοις, ἤτοι γὰρ ἀφαιρέσει, ἢ ἄρσει. Καὶ ἀφαιρέσει μὲν ἀοριστιαίνει τὸ καθόλου πρὸς τὰ ὑπ᾽ αὐτὸ, οἷον ζῶον πρὸς ἄνθρωπον, καὶ ἵππον, κτ. Ἄρσει δὲ ὁποιονοῦν ὂν, καθόλου, ἢ ἐπὶ μέρους, προτεθείσης ἀμέσως αὐτοῦ τῆς ἀρνήσεως, οἷον οὐ ζῶον, οὐ Σωκράτης. Τὰ μὲν οὖν ὡς ἐκείνως ἀόριστα, κατὰ διάζευξιν τοῖς πρὸς ἃ τὴν ἀοριστίαν ἔχει, ὑπόκειται· τὰ δ᾽ ὡς οὕτως, ὧν τε πέφυκε τὸ αἰρόμενον ἐπιδέχεσθαι, καὶ ὧν μὴ, κατηγορηθήσεται· οἷον τὸ σῶμα οὐκ ἴσον, καὶ τὸ πνεῦμα ὡσαύτως. Διαφέρει δὲ οὐ μικρὸν τοῦ ἀορίστως ὑποκεῖσθαι, τὸ κατηγορεῖσθαι τ᾽ ἀόριστον· τὸ μὲν γὰρ δυνάμει πάντως ἕξει πρὸς ἅπερ ἀορίστως ἔσχηκε, κἀκείνων οὐδὲν τοῦ τοιούτου ἀληθῶς λέγεται (§. τοβ΄.) ἀοριστιαίνοντος· τὸ δέ τοι ἐνεργείᾳ πρόσεσται, οὗ αὖ κατηγορῆται, καί τοι ἀόριστον. Καὶ ἡ κατηγορία ἀληθής. Καὶ τοῦτο μὲν ἐστὶ, τὸ κατὰ τῶν πεφυκότων καὶ μὴ, λέγεσθαι, ἅτε δὴ κατηγορουμένου, περὶ οὗ μάλιστα ἐν ἐκείνοις. (2) Ἐκείνου δὲ (περὶ οὗ ἐνταῦθα. (§. τογ΄. τοδ΄.) τὸ ὑποκεῖσθαι, καὶ τὸ δυνάμει τῇ ἀοριστίᾳ συνεπιφέρεσθαι.

§. τοζ΄.

(1) Λογικ. (2) Λογικ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§. τοζ'. Πῶς δ' αὖ ἄρα ἔχοι, καὶ πρὸς τὰς κατ' ἀλλήλων κατηγορήσεις τὰ ἄρσει ἀόριστα, καὶ τὰ ὡρισμένα, καὶ δὴ καὶ τὰ πεφυκότα, καὶ τὰ μὴ, ἀνασκεψάμενος εἴσῃ καλῶς, καὶ πρῶτον, καὶ τὸ ἀορίστως κατηγορεῖσθαι, ἤτοι κατὰ διάζευξιν, τοῦ ὡρισμένως, ἤτοι ἁπλῶς, πῇ δήποτε διαφέρει, εὖ ἐπιγνοίης. Κείσθω μὲν γὰρ, ὡρισμένον μὲν τὸ ἴσον, ἀόριστον δὲ, τὸ μὴ ἴσον. Καὶ εἰδῶν οὕτως ὡρισμένων, τὸ μὲν πρὸς ἰσότητα πεφυκὸς, τὸ σῶμα, τὸ δ' ἀποπεφυκὸς, τὸ πνεῦμα. Καὶ φανερὸν ἔσαι δήπου τῇ τούτων παραθέσει, ὅτι, Α'. τοῦ μὲν ὡρισμένου, οὐκ ἀορίστως τὰ πεφυκότα, καὶ μὴ, κατηγορηθήσεται, ἀλλ' ὡρισμένως μὲν τούτων τὰ πεφυκότα, ἀορίστως δὲ τὰ ὑπ' αὐτὰ, καὶ κατὰ διάζευξιν· οὐ γὰρ ἔνι εἰπεῖν ὅτι τὸ ἴσον, ἤτοι σῶμα, ἢ πνεῦμα. Ἀλλ' ὅτι σῶμα, καὶ τοῦτο ἢ ἔμψυχον, ἢ ἄψυχον· καὶ τὰ κατωτέρω. Β'. δὲ, τοῦ μὴ ὡρισμένου, ἀορίστως ἅτε πέφυκε, καὶ ἃ μή. Καὶ κατὰ διάζευξιν ὁμοίως, καὶ τὰ ὑποβεβηκότα· οἷον τὸ μὴ ἴσον, ἤτοι σῶμα, ἢ πνεῦμα. Καὶ τὰ ὑπὸ ταῦτα. Γ'. δὲ, τῶν εἰδῶν τοῦ πεφυκότος καὶ ὡρισμένου, ἀορίστως, τουτέστι διαζευκτικῶς, τό,τε ὡρισμένον, καὶ τὸ μή· οἷον τὸ σῶμα ἤτοι ἴσον, ἢ οὐκ ἴσον. Δ'. τοῦ πεφυκότος, καὶ ἀορίστου, ὡρισμένως τὸ ἀόριστον· οὐ γὰρ αὖ εἴποις ὅτι τὸ μὴ σῶμα, ἤτοι ἴσον, ἢ οὐχί· ἀλλ' ὅτι οὐκ ἴσον. Ε'. δὲ τῶν εἰδῶν τοῦ ἀποπεφυκότος, καὶ ὡρισμένου, οὐχὶ ἀορίστως ὁπότερον τύχοι, ἁπλῶς δὲ τ' ἀόριστον, ὡς ἐπὶ τοῦ Δ'. ( Συμπίπτει καὶ γὰρ τὸ ἀποπεφυκὸς ὡρισμένον, τῷ πεφυκότι μὲν, ἀορίστῳ δὲ, διὰ τὸ τῆς ἀντιθέσεως ἄμεσον. ) οἷον, οὐ γὰρ ἔνι λέγειν ὅτι τὸ πνεῦμα, ἤτοι ἴσον, ἢ οὐχὶ, ἀλλ' ὡρισμένως ὅτι ἴσον οὐχί. ς'. δὲ καὶ τελευταῖον, τοῦ ἀποπεφυκότος καὶ ἀορίστου, ὡσαύτως ἔχει τὰ τῆς κατηγορήσεως, ὡς ἐπὶ τοῦ Γ'. διὰ τὴν ῥηθεῖσαν συνέμπτωσιν· τὸ γὰρ μὴ πνεῦμα, αὐτόχρημα σῶμα ὂν, ἤτοι ἴσον πάντως ἐστὶν, ἢ οὐκ ἴσον.

## Θεώρημα ΡΟ'.

§. τοη'. „ Τὸ ἀόριστον καὶ ὡρισμένον στερητικῶς πρὸς ἄλ„ ληλα μάχεται.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸ μὲν γὰρ ὡρισμένον, τὸ κατὰ τὸν διορισμὸν εἶδος ἔχει, τὸ δ' ἀόριστον ἐκ ἔχει. (§. τοά. τοβ'.) Καίτοι πεφυκὸς ἔχειν, ὡς δυνάμει πρὸς αὐτὸ ἔχον. (§. τοδ'.) Στερητικὴ δὲ σαφῶς ἡ τοιαύτη ἐστὶ διαμάχη. (§. τλς'.) Ἄρα τὸ ἀόριστον κτ.

## Σχόλιον.

§. τοθ'. Τοῖς περὶ τοῦ ἑνὸς, καὶ τῶν πολλῶν, ἢ τὸ μὲν ἀδιαίρετον, τὸ δέ τι διαιρετὸν ἐστὶ, σύμφωνα καὶ περὶ τοῦ ἀορίστου καὶ ὡρισμένου ὑποληπτέον· οὐ μόνον δὲ κατὰ τὸ τῆς μάχης εἶδος, ὃ στερητικὸν εἶναι τάττομεν ἐν τούτοις (§. τοή.) ὥσπερ καὶ ἐν ἐκείνοις (§. τξζ'.) ἀλλάγε καὶ τὸν τοῦ προτέρου λόγον καὶ ὑστέρου κἀπὶ τούτων, παραπλησίως τοῖς ἐκεῖσε πολυπραγμονοῦντες. (§. τξή.) Ἡμῖν μὲν γὰρ, ὅ,τι διώρισται, γνωριμώτερον ἐστὶ τοῦ ἀορισταίνοντος· οἷον τάγε ἐπὶ μέρους τῶν καθόλου· καὶ τὰ ἧττον, τῶν μᾶλλον· καὶ τὰ σύνθετα τῶν ἁπλουστέρων· καθάπερ οὖν καὶ αἱ ἕξεις τῶν στερήσεων, καὶ ὅλως αἱ θέσεις τῶν ἄρσεων· φύσει δὲ τὸ ἀνάπαλιν. Ἐὰν οὖν καθάπερ ἐν ἐκείνοις ἐπὶ τῶν πολλῶν τὴν διαίρεσιν καὶ τὸ πλῆθος διεκείναμεν, (§. τξή.) διαστείλῃς κἀνταῦθα ἐπὶ τοῦ διωρισμένου, τόντε διορισμὸν, καὶ τὴν σύνθεσιν, ἕξεις δήπου, ὥσπερ ἐκεῖσε τῇ μὲν πρότερα τὰ πολλὰ ἢ διαιρετὰ, τῇ δὲ ὕστερα, ᾗ πλῆθος νοούμενα, οὕτω κἀνταῦθα προτέρου μὲν τὸ διωρισμένον, ᾗγε διώρισται, ὑστέρου δὲ, ᾗγε συντέθειται· τί γὰρ τὸ ἀόριστον; ἢ τὸ ἀμοιρῆσαν τοῦ διορισμοῦ. τί δὲ τὸ σύνθετον; ἢ τὸ ἐκ τῶν ἁπλουστέρων συγκεκροτημένον.

## Θεώρημα ΡΟΑ'.

§. τπ'. „ Ὁ διορισμὸς καὶ τὸ διοριστὸν, ᾗ τοιαῦτα, ὡς „ τὰ πρός τι μάχεται τὰ μὴ καθ' αὑτό.

Τὸ γὰρ διοριστὸν ὂν, διορισμῷ πάντως τινὶ διοριστὸν ἐστίν. Ἄρα τὸ πρῶτον.

Ὁ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁ δὲ διορισμὸς οὐκ ἐξ ἀνάγκης συνεισάγει τὸ διοριστόν, ὡς οὐδὲ τὸ μεῖζον τὸ μεκτόν. ( §. τξέ. τξς΄. ) Ἄρα καὶ τὸ δεύτερον.

## Σχόλιον.

§. τπά. Φανερὸν δὲ, καὶ γὰρ τὸ μὲν συγκεκριμένως λέγεται, τὸ δὲ ἀφῃρημένως. Διὸ καὶ ἐν ἐκείνου τῷ λόγῳ τοῦτο, οὐκ ἀνάπαλιν δέ.

## Θεώρημα ΡΟΒ΄.

§. τπβ΄. „ Ἐπὶ τῶν πραγμάτων ἀπὸ τοῦ ἀορίστου, ἐπὶ „ τὸ ὡρισμένον, οὐχ ὑγιὴς ἡ συνέπεια· ἀνάπαλιν δέ.

Τὸ γὰρ καθόλου ἀδιαφοροῦν, ἀόριστον εἶναι ἐτέθη, τὰ δ᾽ ἐπὶ μέρους ὡρισμένα· ὁμοίως δὲ τὸ ὑποκείμενον, ἀόριστον μὲν καθ᾽ αὑτὸ, ὡρισμένον δὲ μετὰ τοῦ ἐνυπάρχοντος. ( §. τοά. κτ. ) Ἀλλ᾽ ἀπ᾽ ἐκείνων, ἅτε δὴ προτέρων, ἡ ἐπὶ ταῦτα μετάβασις οὐ συγχωρεῖται, ὕστερα ὄντα· ἀνάπαλιν δέ. Ἄρα, ὃ τὸ Α΄. καὶ τὸ Β΄.

## Θεώρημα ΡΟΓ΄.

§. τπγ΄. „ Πρὸς τὸ αὐτὸ, πᾶν ὁτιοῦν, ἤτοι ὡρισμένον „ ἐστὶν, ἢ ἀόριστον· πρὸς δ᾽ ἄλλο καὶ ἄλλο οὐδὲν κωλύει, τὸ „ αὐτὸ ᾖ ὡρισμένον θεωρεῖσθαι, καὶ ᾖ ἀόριστον.

Τὸ αὐτὸ γὰρ, οὗτινοσοῦν, ἤτοι ἀληθεύει κατηγορούμενον, ἢ οὐχί· μέσον δ᾽ οὐδέν. ( §. λ΄. ) Ἀλλ᾽ εἰ μὲν, ταύτῃ δήπου, τὸ οὗ ἐκεῖνο κατηγορεῖται διώρισται· εἰ δὲ μὴ, οὔ. ( §. τοβ΄. ) Ἄρα τὸ Α΄.

Ἀλλὰ γὰρ οὐδὲν τὸ κωλῦον, τοῦ τὸ μὲν, ταύτηγε, ᾗ θεωρεῖται ἀληθῶς τινὸς λέγεσθαι, ψευδῶς δὲ τοὐναντίον, ἢ τὸ ἕτερον, τὸ δ᾽ ἄλλῃ πῃ, οὔτ᾽ ἀληθῶς τι, οὐδὲ τοὐναντίον, οὐδὲ τὸ εἴδει ἕτερον. Ἀλλ᾽ ἐκείνως ὡρισμένον ὂν, οὕτως ἀοριστεῖ. ( §. τοβ΄. Ἄρα καὶ τὸ Β΄.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΡΟΔ΄.

§. τπδ΄. „Οὐδὲν τῶν ἐν τοῖς οὖσι πάντῃ πάντως ὂν „τυγχάνει ἀόριστον· ἕκαστον δὲ, ὅ,τι τύχοι, διώρισται.

Οὐδὲν γὰρ ἀορίστως ἔχει, οὔθ' οἷς προσπέφυκεν, οὔθ' ὧν ἀποπέφυκεν ἀνάγκῃ· οὐδὲ πρὸς τὰ ἐνδεχόμενα, ἤτοι προσῇ, ἢ θάτερον. (§. τοδ΄.) Ἀλλ' ἅπασι τοῖς οὖσιν ἐξ ἀνάγκης τὰ μὲν προσπέφυκε, ὡς οἰκείως ἔχοντα γνωρίσματα, τὰ δὲ τούτων ἀποπέφυκεν, ὡς ἀλλότρια. Καὶ τῶν ἐνδεχομένων ἀεί τι, καίτοι ἄλλως μὴ ἀναγκαίως προσὸν πρόσεσιν. Ἄρα κτ. ὅπερ ἦν τὸ δειχθησόμενον.

Ἄλλως. Εἴτι ἀόριστον ἦν ἐν τοῖς οὖσιν, ἢ ὡς καθόλου ἂν εἴη πρὸς τὰ ὑπ' αὐτὸ, ἢ ὡς ὑποκείμενον πρὸς τὰ ἐν αὐτῷ. (§. τογ΄.) Ἀλλ' οὐδὲν τῶν ἐν τοῖς οὖσι καθόλου. πάντα γὰρ κατὰ μέρος. (§. σπς΄.) Οὐδέν τε ὑποκείμενον χωρὶς τῶν ἐνυπαρχόντων· τῶν γὰρ κατ' ἀντίφασιν θατέρου πάντως μεθέξει. (§. λέ.) Τῶν τε κατ' ἐναντίωσιν, ἢ στέρησιν ἀμέσως μαχομένων, ὁμοίως, διὰ τὸν αὐτὸν λόγον· ἐπὶ δὲ τῶν ἄλλων, ἐκ τῶν μεταξὺ πάλιν ὁ διορισμός. Καὶ κατὰ σχέσεις δὲ ποικίλας ἕκαστον διώρισται. Ἄρα κτ.

## Περὶ τοῦ Πεπερασμένου, καὶ τοῦ Ἀπείρου.

§. τπέ. Πεπερασμένον ἐστὶν οὗ πέρατα κεῖται, καὶ τούτων μεταξύ. Περάτων δὲ, τὸ μὲν ὡς ἀρχὴ, τὸ δ' ὡς τελευτή. Τὰ δὲ μεταξὺ μετὰ τὴν ἀρχὴν, καὶ πρὸ τῆς τελευτῆς ἅπαντα. Καὶ παρ' ἓν τὸ μεσαίτατον, τὰ μὲν τῆς ἀρχῆς ἐγγυτέρω, τὰ ἀπωτέρω τῆς τελευτῆς, τὰ δ' ἐγγυτέρω ταύτης, τὰ ἀπωτέρω ἐκείνης, ἀνάπαλιν. Ἄπειρον δὲ, ᾧ οὐδ' ἀρχὴ, οὐδὲ τελευτὴ, οὐδὲ τούτων μεταξὺ ὅλως. Τοιοῦτο δέ τι, ἢ πρὸς ἡμᾶς ἂν λέγοιτο, ἢ καθ' ἑαυτὸ ὄν. Καὶ πρὸς μὲν ἡμᾶς, ἢ ὅτι ἄμφω λανθάνει, ἃ ἔχει πέρατα, οἷον ὁ δεσμὸς ᾧ περιτυχεῖν ὁ Μακεδὼν λέγεται, ἢ ὅτι ἡ ἑτέρα τῶν ἀκροτήτων ἡμῖν ἀνέφικτος, ὡς ἐπὶ τῆς ψάμμου, ἥντινα ἀριθμῆσαι ἐπιχειρήσειεν, τὸ ἔσχατον μόριον. „Καὶ ἁπλῶς τὸ διέ-

„ξο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

,, ἔξοδον ἔχον ἀτελεύτητον ἡμῖν, ἢ ὃ μόλις. (1) Καθ' ἑαυτὸ δὲ, ἤτοι περάτων, καὶ τῶν ἐν τούτοις ὂν ἀνεπίδεκτον, παρὰ τὸ μηδὲ πεφυκέναι, ἅτε δὴ ἐκτάσεως, καὶ ποσότητος ἁπλῶς οἱασοῦν ἀπηλλαγμένον· καὶ τόνδε δὴ τὸν τρόπον, ἄπειρον καλεῖσθαι εἴωθεν, ὥσπερ ,, ἡ φωνὴ ἀόρατος· (2) οἷον ἄπειρον ὑπὸ τὸ σημεῖον, καὶ εἴ τι ἄλλο ἄποσον. Ἢ ἔκτασιν ἔχον ὁπωσοῦν τοῦ ἑτέρου τῶν περάτων ἀμοιρεῖν ὑποτίθεται· οἷον ἡ ἡμιδιάμετρος τοῦ παντὸς ἀπείρου ὑποτεθέντος, ἢ καὶ ἀμφοῖν, οἷον ἡ δι' ὅλου διήκειν νοουμένη εὐθεῖα. Τοῦτο δὲ κυριώτατα ἄπειρον Ἀριστοτέλης εἶναι λεγόμενον ὑπειληφὼς, ὡρίσατο, ,, τὸ πεφυκὸς μὲν ἔχειν μὴ ἔχον δὲ, πέρας, οὐδὲ διέξοδον.

§. τπϛ'. Οὕτως οὖν τοῦ ἀπείρου κατὰ τὰς ἐσχάτας τῶν σημασιῶν ἐκληφθέντος, διαμονή τις, καὶ διάστημα, καὶ ἀριθμὸς, οἷα καὶ τῷ Λωκίῳ παρατετήρηται, πάντως ἐξυπακούεται. Ἐοίκασι γὰρ τὰ πέρατα, καὶ τούτων αἱ στερήσεις ταῖς ποσοτικαῖς ἐπιθεωρεῖσθαι τῶν φύσεων, αἷς καὶ τὸ μεῖζον, καὶ ἔλαττον πέφυκε παρακολουθεῖν. Πλὴν ἀλλ' ἐκ τῶν τοιούτων, τὰ τῆς περατώσεως, ἢ ἀπειρίας, καὶ ἐπὶ δυνάμεως, καὶ σοφίας, καὶ τελειότητος, καὶ τῶν κατὰ ταῦτα μετενήνεκται, ἔνθα πέρατα οὐκ ἔστι κυρίως εἰπεῖν, τοῖς περιορίζουσι τὸ ποσὸν παραπλήσια (οὐδὲ γὰρ κυρίως ἡ πηλικότης ἐνταῦθα.) βαθμοὺς δέ τινας οἱονεὶ καὶ ἐπιτάσεις, οὐ κατὰ τὸ μεῖζον καὶ ἔλαττον, ὡς ἐπ' ἐκείνων νοουμένους, κατὰ δὲ τὸ μᾶλλον θεωρουμένους, καὶ ἧττον. Ταύτῃ τοι καὶ πεπερασμένη ἂν εἴη ἡ τελειότης ἡ ὅρον ἔχουσα, ὑπὲρ ὃν γένοιτ' ἄν τι τελεώτερον, οἷον ἡ δύναμις, ἡ ἄχρι τινὸς μὲν ἥκουσα, ὑπὲρ ἐκεῖνο δὲ γενέσθαι μηδαμῶς ἔχουσα, καὶ ἡ γνῶσις ἡ ἄχρι τινὸς ἀνατεινομένη, κρεῖττον δέ τι, οὐδ' ὑψηλότερον περινοῆσαι ἰσχύουσα. Ἄπειρον δὲ οὕτως ἐστί τε καὶ λέγεται, τὸ πρὸς οὐδὲν ὡς ὅρον ἀποτερματιζόμενον, καὶ οὗ τῆς δυνάμεως οὐδὲν οὐδαμῇ κρεῖττον οὐδ' ἂν εἴη ὅλως, οὐδ' ἂν νοηθείη.

§. τπζ'. Ἡ δὲ δὴ κατὰ τὸ δυνάμει καὶ ἐνεργείᾳ τοῦ ἀπεί-

(1) Ἀριστ. Μεταφ. Κ. (2) Αὐτ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

πείρου διαίρεσις, πάλαι τεθρύλληται. Καὶ ἐνεργείᾳ μὲν ἄπειρον τὸ κατὰ διαμονὴν νοούμενον ἔχειν τὴν ἀπειρίαν· ὡς εἴτις ὑποτεθείη ἀπέραντος πάντῃ διάστασις, ὁλικῶς ὑφεστῶσα· καὶ πλῆθος τηλικοῦτον ἡλίκον ἐκ μονάδων, μηδαμῶς ἐξαριθμουμένων προσαθροισθέν. Οἷα οἱ τὸ κενὸν πάλαι ἐν τοῖς οὖσιν ὑποστησάμενοι φέρονται ὑπειληφέναι, καὶ τὰς ἐν αὐτῷ ἀτόμους, τὸ μὲν ἐκτάσει, τὰς δὲ πλήθει, ἐνεργείᾳ ἀπείρους. Δυνάμει δὲ τὸ νοητῶς κατὰ διαδοχὴν ἔξω πέρατος γινόμενον, μᾶλλον δὲ εἰς πέρας μηδέποτε ἀποτελευτῶν. Οὗ καὶ τριττὸν εἶδος Ἀριστοτέλης ὑπέθετο, τοῦ μὲν προθέσει, τοῦ δ' ἀφαιρέσει, τοῦ δ' ἀμφοῖν τὸ ἀδιέξοδον ἔχοντος. Προθέσει μὲν, οἷον ὁ ἀριθμὸς, ὃν ἀεί γε πηλικονοῦν ὄντα, μονάδι ἐστὶ νοεῖν ἐπαυξόμενον· ἀφαιρέσει δὲ, ὡς τὸ συνεχὲς, ὃ διηνεκῶς διαιροῦντας, ὁποσονοῦν ὂν νοεραῖς ἐπιβολαῖς ἐνὶ μειοῦν. Ἀμφοῖν δὲ, ὡς ὁ χρόνος καὶ ἡ κίνησις, ἃ συνεχῆ τε ὄντα, καὶ κατὰ διαδοχὴν, τὸ μὲν, τῇ εἰς ἐλάσσω τομῇ, τὸ δὲ, τῇ ἐπὶ τὰ μείζω ἐπιδόσει, τέρματος παντὸς θεωρεῖται ὑπεραλλόμενα. Εἴποις ἂν τὸ μὲν δυνάμει, ἄληκτόν τινα εἶναι πρόοδον αὐξήσεως, ἢ μειώσεως νοουμένων, τὸ δ' ἐνεργείᾳ ἀναύξητον εἶναι πάντῃ, καὶ ἀμείωτον, καὶ ὅλως τὸ κατὰ τὸ ἐν αὐτῷ μέγεθος ἐν ἀτρεμεῖ τῇ ὑποστάσει ἀραρὸς, καὶ οὔτ' ἐκτὸς, οὔτ' ἐντὸς περάτων ( οὐδὲ γὰρ ἔχει ) ὃ τῇ αὐξήσει καὶ μειώσει συμβαίνει, γινόμενον.

§. τπή. Τὸ μὲν οὖν ἐνεργείᾳ οὕτω λεγόμενον ἄπειρον, φύσεως εἶναι τῆς ἀκροτάτης, μηδὲν ὑλικὸν παχούσης, οὐδὲ σωματικὸν, γέρας προσῆκον, προϊὼν ὁ λόγος κατὰ χώραν διδάξει. Προσεῖναι δὲ καὶ τῶν σωμάτων ἐνί τινι ὁποιῳοῦν τῶν ἐν τῇ φύσει, θαυμάσειεν ἄν τις, ὡς ἐγένοντο, οἱ τοῦτο πεισθῆναί τε αὐτοὶ δόξαντες, καὶ τοὺς ἄλλους πείθειν ἐπιχειρήσαντες. Τὸ δὲ δυνάμει ὡς οὐδὲ ἀληθῆ τινα ἐμφαῖνον ἀπειρίαν, συνέχειαν δὲ μᾶλλον διασημαῖνον ἐνεργείας, καὶ ταύτην νοηματώδη οἷαν, καὶ ταῖς κατὰ νοῦν ἐνθυμήσεσιν ἀεὶ πρόσω βαίνειν πλαττομένην, οὐδὲ ἐπινοῆσαι χαλεπὸν ὂν, οὐδὲ συγχωρῆσαι αἰτουμένους ἔργον, εἴτις μὴ ἐνδιδοίη, καὶ τοῦτο οὐδὲν ἧττον θαυμάσαιμι ἄν. Ἀλλὰ κείσθω καὶ τὰ περὶ τούτων, καθ' ἣν ἐξ ἀρχῆς εἱλόμεθα μέθοδον, θεωρούμενα.

Θεω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΡΟΕ'.

§. τπθ'. „ Ουσίαν ἤτοι συνεχῶς, ἢ διεισμένως ποσω-
„ τικὴν ἐνεργείᾳ ἄπειρον ὑποςῆναι ἀδύνατον.

Ποσωτικὴ γὰρ οὕτως οὖσα τὰ ἐνδεχόμενα τῶν ὄντων, ὁμογενῆ ὄντα αὐτῇ κατά γε τὸ συνεχῆ εἶναι, καὶ τὸ πλῆθος, ἢ μέρη ταύτης ἂν εἴη, ἢ οὐχί. Ἀλλ' εἰ μὲν οὐχί, προστεθέντα δήπου τὸ ὁμογενὲς ἐπαυξήσει. Εἰ δὲ μέρη, ἀφαιρεθέντα τὸ ὁμογενὲς ἐκμειώσει. Ἐνδεχόμενα δὲ ὄντα, καὶ τοῦ εἶναι, καὶ μή, δεκτικά, (§. σγ'.) ταύτῃ τοι καὶ πράγματι προστεθῆναι ἂν ἔχοι, καὶ πράγματι ἀφαιρεθῆναι. Πραγματιώδους ἄρα αὐξήσεως, καὶ μειώσεως δεκτικὴ ἂν εἴη ἡ οὐσία αὕτη. Ἡ δὲ, ἤτοι συνεχῶς, ἢ διεισμένως ποσωτική, ἐνεργείᾳ ἄπειρος οὐσία ἀναυξὴς εἶναι ἐθέλει πάντῃ, καὶ ἀμείωτος. (§. τπζ'.) Ἄρα οὐσίαν, κτ. Ο. Ε. Δ.

## Σχόλιον

§. τϙ'. Αμυθήτοις ὅσαις ταῖς ἀτοπίαις ἀπαντήσει, ὁ τὸ ἐνεργείᾳ ἄπειρον, ἐπὶ οὐσίας κατὰ τὸ συνεχὲς ἐκτεινομένης, ἢ κατὰ πλῆθος διοριζομένης δυνατὸν εἶναι ὑποτιθέμενος. Τὸ γὰρ ἐνεργείᾳ ἄπειρον ἐπὶ τοῦ συνεχοῦς, ἢ διωρισμένου, ἔκτασιν ἢ πλῆθος σημαίνει μερῶν, ἐνδεχομένων ἐνεργείᾳ τοῦ ὅλῳ πέρατος αὐτοῦ. (ἐξ ὑποθ.) Τῶν δὲ μερῶν οὕτως ἐχόντων, εἴη ἄντι προσδιορίσαι, καὶ ἢ τοδέ τι λαβεῖν. Εἰ μὴ γάρ, οὐδ' ἐνεργείᾳ ἔσαι. Ἐκ δὲ δὴ τούτου, ὁτινοσοῦν τοῦ τυχόντος ἐνεργείᾳ προσδιορισθέντος πανταχόθεν διὰ τῶν ἐν αὐτῷ τῷ ἀπείρῳ χωροῦσιν, ὡς ἀπὸ ὅρον ἀφ' οὗ, ἔκτασις ἡμῖν πάντως ἀπαντήσει, ἢ πλῆθος, οἱονεὶ κατὰ διαμέρους. Ἡ δ' ἔκτασις ἥδε καὶ ἡ πληθύς, ἤτοι ἄπειρος κατὰ τέρμα, ἢ μή, ὡς οὐκ ἄλλως νοεῖν ἐξόν. Καὶ εἰ μέν, ἐξ ἀπείρων ἄρα τὸ ἄπειρον. Εἰ δὲ μή, ἐξ ἄρα πεπερασμένων. Ἑκάτερον δὲ τῶν ἀδυνάτων. Δι' ἐκεῖνο μὲν γάρ, ἀνακύψει τῷ λόγῳ τὸ ἀπειρότερον τοῦ ἀπείρου. Διὰ δὲ τοῦτο, τὸ ἐνεργείᾳ τοῖς μέρεσιν ἐνθεωρούμενον, οὐκ ἐνέσαι τῷ ἐκ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν μερῶν συγκεκροτημένῳ. Ὥστε εἶναι καὶ τὸ αὐτὸ καὶ μή, ὅπερ ἄτοπον. ( §. λ΄. ) Ὡς εἴγε τις ἡμῖν ὑποτείνας ἐκεῖνο εἴποι, ὅτι τὰ ἀπὸ τοῦ ληφθέντος μέρους, δι᾽ ὅλου, κατὰ θάτερον τῆς ἀπειρίας λαχόντα, ἑτέρωθεν πεπεράτωται, κἀκ τῶν ἡμιαπείρων οὕτω συστήσεται τὸ ἄπειρον, οὔτε δὲ ἐξ ἀπείρων, οὔτε ἐκ μή, ὅς ἰδοὺ ἡμῶν ὁ τοῦ λόγου τοῖος, θαυμαστὸς οὗτος ἔμοιγε τῆς λεπτονοίας, ἀλλ᾽ ἔμπης οὐκ ἔξω πάντη ἀρκύων βήσεται ὁ τοιοῦτος, οὐδὲ ταῦτα ἀποκειναμένος. Α΄. καὶ γάρ, εἰ ἐκ δυοῖν ἡμισειῶν τὸ ὅλον, ἐκ δυοῖν πάντως ἡμιαπείρων τὸ ὅλον ἄπειρον. Ἀλλ᾽ ἡμῖν κυκλόθεν ἀπείρως αἱ πρόοδοι πεπληθυσμέναι ἐξ ἀπείρων ἡμιαπείρων, παρέχον ἡμιάπειρα τῷ πλήθει, τὰ τὴν ἔκτασιν, ἢ τὸ πλῆθος, ὁλικῶς ἄπειρα. Β΄. τὸ ἡμιάπειρον τοῦτο, ἐπὶ μὲν τῶν κατὰ διαδοχήν, καίτοι ὂν νοητόν, ἔνθα ἐνεργείᾳ τίθεται πάντη ἐστὶν ἀπερινόητον. Καὶ πέρας οἷον τὸ πλαττόμενον, μήτε περαντὸν ὄν, μήτ᾽ ἀπέραντον. Γ΄. Καὶ εἰ μέτρον ὡρισμένον ἐπὶ τοῦ συνεχοῦς ληφθῇ ὁποσονοῦν, καὶ δι᾽ αὐτοῦ ἡ ἐνοῦσα ἐνεργείᾳ ἔκτασις διορισθῇ, ἐπὶ δὲ τοῦ διωρισμένου ἡ μονάς, ἀριθμὸς ἐντεῦθεν ἡμῖν ἀναφυήσεται ἐνεργείᾳ, ὃς αὖ οὔτε περιττὸς ᾖ, οὔτ᾽ αὖ ἄρτιος· ὅπερ οὐδὲν ἐλάσσονα τὴν ἀτοπίαν προβάλλεται. Ὁ γὰρ οὐδέτερος ἀριθμός, οὐδ᾽ ἀριθμὸς πάντως, περιττοῦ γὰρ μεταξὺ καὶ ἀρτίου μέσον οὐδέν. ( §. τμέ. ) Καὶ πλῆθος ἄρα μονάδων οὐδὲν ἀριθμοῦ ἔσται. Εἰ γὰρ εἴποις ὡς οὐδαμοῦ παῦλα τῆς ἀναμετρήσεως, ἢ τῆς ἀριθμήσεως ἔσται, ἐπὶ τὸ δυνάμει ἄπειρον καταφεύξῃ, περὶ τοῦ ἐνεργείᾳ ζητεῖν προκειμένου τῶν ὑποτεθέντων μερῶν, ἢ τῶν μονάδων, ἅπερ ὄντα πράγματι καὶ νοεῖται, καὶ δέδοται. Τί δεῖ πλειόνων; Ἀλλ᾽ ἔστω δὴ Δ΄. τὸ προσσημειωθὲν μέρος, οὔτι τῶν πολλῶν, εἰδὲ δοκεῖ καὶ τῶν ἀπείρων, τὸ Α. Καὶ ἐκ τούτου τὸ ἡμιάπειρον δι᾽ ὅλου τοῦ ἀπείρου σώματος χωρείτω. Ἀντίθετον δὲ τῆς ἐκτάσεως ἑτέρωθεν ἐπ᾽ εὐθείας, προσληφθήτω τὸ Β. Ἐντεῦθεν οὖν φανερόν, ὡς τὸ ἀπὸ Α ἄπειρον, ἔλαττον ἐστὶ τοῦ ἀπὸ Β. Καὶ ἐκ διαμέτρου τὸ ἀπὸ Β, ἔλαττον τοῦ ἀπὸ Α, καὶ ἔσται ἄρα τοῖς ἀφ᾽ ἑτέρωθεν ἀπείροις, τὸ μεῖζον, καὶ ἔλαττον. Τοιγαροῦν, καὶ τῷ ἐξ αὐτῶν ὁλικῶς ἀπείρῳ, τὸ ἐκ μειζόνων, καὶ ἐλασσόνων συμπεπληρῶσθαι ἐνεργείᾳ προσέσται. Ἀλλὰ γὰρ

ὥπερ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ῶπερ ἐκ μειζόνων, καὶ ἐλασσόνων ἡ ὁλοσχέρεια, οὐδὲ αὐτὸ τοῦτο, τὸ μεῖζον εἶναι καὶ ἔλαττον ἀπέσραπται. Τὸ ἄρα μεῖζον καὶ ἔλαττον τῆς τοῦ ἐνεργείᾳ ἀπείρου φύσεως, ἐκ ἀπελήλαται, καί τοι ἀναυξήτου, καὶ ἀμειώτου παντῃ εἶναι ὀφείλοντος. ( §. τπζ'. ) ὁ δ' αὐτὸς λόγος κρατεῖ, καὶ ἐπὶ τοῦ ἐνεργείᾳ ἀπείρου κατὰ πλῆθος μεθισαμένης τῆς ὑποθέσεως.

## Πόρισμα.

§. τϟα'. Ἐντεῦθεν οὖν ( §. τπθ'. τϟ'. ) καὶ ἐκ τοῦ §. ρϟς'. φανερὸν, ὡς τὸ μεγέθει, ἢ πλήθει ἄπειρον ἐνεργείᾳ ἐν τοῖς οὖσιν οὐδαμῶς ὑπάρχει.

## Σχόλιον.

§. τϟβ'. Συχνοὶ παρὰ τοῖς Παλαιοῖς ἐγένοντο, οἱ τὸ ἐνεργείᾳ ἄπειρον ἐν τοῖς οὖσιν ὑποςησάμενοι. (1) οἱ μὲν ὡς ἀρχὴν, οἱ δὲ καὶ ὡς ἐξ ἀρχῆς ἀπείρου ἄπειρον. Καὶ οἱ μὲν μεγέθει, οἱ δὲ πλήθει, οἱ δὲ καὶ ἑκάτερον. Τούτων ἐπισημότατοι ἐγένοντο Δημόκριτος, Ἐπίκουρος, καὶ Μητρόδωρος ὁ τούτων μαθητὴς, καὶ Διογένης, Ἀναξίμανδρος ὁ Μιλήσιος, καὶ Ἀρχέλαος ὁ Ἀπολλοδώρου Ἀθηναῖος, καὶ οἱ ἐκ τῆς Στοᾶς ἅπαντες. Κατὰ γοῦν τούτων Ἀριστοτέλης πολλαχοῦ τε τῶν αὐτοῦ συγγραμμάτων ἀγωνιζόμενος φέρεται, οὐχ ἥκιστα δὲ, καὶ ἐν τῷ Κ τῶν Μεταφυσικῶν Κεφ. θ'. ἔνθα λόγοις πολλοῖς, καὶ ποικίλοις, τῶν τε χωριςὸν τὸ ἄπειρον τῶν αἰσθητῶν ὑποτιθεμένων ( οἱ Πλατωνικοὶ οὗτοι ὑπῆρξαν. ) καὶ τῶν ἐν τοῖς αἰσθητοῖς ἐγκαθιδρυκότων αὐτὸ, ( οἱ πλεῖςοι δὲ τῶν φυσικῶν οὗτοι. ) καθαιρῶν τὰς ὑπολήψεις, ἀπείρως τε καὶ ἀπαιδεύτως

(1) Ὅρα Πλούτ. Ἀρεσκ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πως περὶ τοῦ ἀπείρου αὐτοὺς ὑποτοπῆσαι καταδηλόν ἐστιν. Ἀλλ᾽ ἴσως οὐκ ἀσύμφερον εἴη, καὶ τῶν ἐκείνου λόγων ἐνταῦθα ἀπομνημονεῦσαι.

„ Α΄. Καὶ γὰρ, εἰ μήτε μέγεθος ἐστὶ, φησὶ, μήτε πλῆ-
„ θος, οὐσία δὲ αὐτοῦ ( τοῦ χωριστοῦ ὄντος ) τὸ ἄπειρον, καὶ
„ μὴ συμβεβηκὸς, ἀδιαίρετον ἔσται. Τὸ γὰρ διαιρετὸν, ἢ
„ μέγεθος, ἢ πλῆθος. Εἰ δὲ ἀδιαίρετον, οὐκ ἄπειρον. Εἰ
„ μὴ καθάπερ ἡ φωνὴ ἀόρατος. Ἀλλ᾽ οὐχ οὕτω λέγουσιν,
„ οὔθ᾽ ἡμεῖς ζητοῦμεν, ἀλλ᾽ ὡς ἀδιέξοδον.

„ Β΄. Πῶς ἐνδέχεται καθ᾽ αὑτὸ εἶναι ἄπειρον, εἰμὴ εἴη
„ ἀριθμὸς, καὶ μέγεθος, ὧν πάθος τὸ ἄπειρον;

„ Γ΄. Εἰ τὸ ἄπειρον χωριστὸν, ἢ καθ᾽ αὑτὸ, καὶ ( καθά-
„ περ αὐτὸς φησὶν ) οὐσία, καὶ μὴ καθ᾽ ὑποκειμένου, ἢ κα-
„ τὰ συμβεβηκός. Καὶ οἷον εἰπεῖν πάθος χωριστῆς τινος τῶν
αἰσθητῶν οὐσίας. Ἀλλ᾽ εἰ μὲν κατὰ συμβεβηκὸς, ἐπιφέρει, οὐκ
„ ἂν εἴη στοιχεῖον τῶν ὄντων ἢ ἄπειρον· ὥσπερ οὐδὲ τὸ ἀό-
„ ρατον τῆς διαλέκτου, καίτοι ἡ φωνὴ ἀόρατος. ( Νόει δέ μοι
κατὰ συμβεβηκὸς λέγεσθαι τὸ ἀόρατον τῇ φωνῇ, ὡς πάθος.)
Εἰ δὲ οὐσία, καὶ μὴ καθ᾽ ὑποκειμένου, ἤτοι διαιρετὸν, ἢ ἀ-
διαίρετον. Καὶ εἰ μὲν, οὐδ᾽ ἄπειρον δηλονότι. „ Ποσὸν γὰρ
„ εἶναι ( τὸ ἄπειρον ) ἀνάγκη. Εἰ δ᾽ ἐκεῖνο, πολλὰ ἔσται,
„ τὸ αὐτὸ, ἄπειρα· ὥσπερ γὰρ μέρος ἀὴρ ἀέρος, οὕτως
„ ἄπειρον ἀπείρου ( μέρος ) εἰ ἐστὶν οὐσία καὶ ἀρχή. Τὸ
δὲ πολλὰ εἶναι ἄπειρα, ἀδύνατον.

Εἶτα καὶ ἐπὶ θάτερον μεταβαινόμενος, ὅτι ἐν τοῖς αἰσθητοῖς οὐκ ἔστι, φησὶ, τὸ ἐνεργείᾳ ἄπειρον, ἐνθένδε δῆλον.

„ Α΄. Εἰ σώματος λόγος ( ὁρισμὸς ) τὸ ἐπιπέδοις ὡρι-
„ σμένον, οὐκ εἴη ἂν ἄπειρον σῶμα, οὔτε αἰσθητὸν, ( φυσι-
„ κὸν ) οὔτε νοητόν. ( μαθηματικὸν τουτέστι. )

„ Β΄. Οὔτε ἀριθμὸς, ὡς κεχωρισμένος ( ἤπερ ἀριθμὸς
„ κατ᾽ ἀφαίρεσιν θεωρούμενος ) καὶ ἄπειρος. Ἀριθμητὸν γὰρ
„ ὁ ἀριθμὸς, ἢ τὸ ἔχον ἀριθμόν.

„ Γ΄. Φυσικῶς, φησὶν, ( ἤτοι διὰ ἐπιχειρημάτων, ἀπὸ τῆς
„ φυσιολογίας ληφθέντων. ) ἐκ τῶνδε δῆλον. οὔτε γὰρ σύν-
θετον οἷόν τε εἶναι, οὔθ᾽ ἁπλοῦν. ( τὸ περὶ οὗ ὁ λόγος ἄπειρον σῶμα. ) Εἰ γὰρ πεπέρανται τῷ πλήθει τὰ στοιχεῖα, ἢ καθ᾽ ἕκαστα ἄπειρα ἔσται, ἢ παρ᾽ ἓν, πεπερασμένα τὰ

λοι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λοιπά. Ἀλλ' εἰ μὲν τοῦτο ,, φθαρήσεται ὑπὸ τοῦ ἀπείρου τὸ πεπερασμένον. Εἰ δ' ἐκεῖνο, ἐπεὶ σῶμα τὸ πάντῃ ἔχον διάστασιν, καὶ ἄπειρον τὸ ἀπεράντως, διαχωρήσει δι' ἀλλήλων τὰ σώματα, ἄπειρα μεγέθει ὄντα. Ἀλλ' οὐθ' ἁπλοῦν ἂν εἴη τὸ ἄπειρον. ἢ γάρ τι παρὰ τὰ τέσσαρα, ἢ ἕν τι τούτων. Ἀλλ' οὐδὲν παρ' ἐκεῖνα, ἐπεὶ πάντα ὁρῶμεν εἰς ταῦτα διαλυόμενα. Οὐδὲν δὲ οὐδὲ τούτων· κατακρατήσειε γὰρ ἂν ἐκεῖνο τῶν λοιπῶν ,, τὸ ἄπειρον τῶν πεπερασμένων, ὥσπερ Ἡράκλειτός φησιν ἅπαντα ποτὲ γίγνεσθαι πῦρ. Ὁ δ' αὐτὸς λόγος καὶ περὶ τοῦ ἑνὸς ὃ ποιοῦσι παρὰ τὰ στοιχεῖα οἱ φυσικοί.

,, Δ'. Τὸ αἰσθητὸν σῶμα ποῦ, καὶ ὁ αὐτὸς τόπος ὅλου καὶ μορίου, οἷον τῆς γῆς. Ὥστε εἰ μὲν ὁμοειδὲς (τὸ ἄπειρον τοῦτο) ἀκίνητον ἔσται, ἢ ἀεὶ οἰσθήσεται. Τοῦτο δὲ ἀδύνατον, τί γὰρ μᾶλλον κάτω, ἢ ἄνω, ἢ ὁπουοῦν; οἷον εἰ βῶλος εἴη, ποῦ αὕτη κινηθήσεται, ἢ μενεῖ; ὁ γὰρ τόπος αὐτῆς τοῦ συγγενοῦς σώματος ἄπειρος. καθέξει οὖν τὸν ὅλον τόπον. Καὶ πῶς; τίς οὖν ἡ μονὴ, καὶ ἡ κίνησις; ἢ πανταχοῦ μενεῖ; οὐ κινηθήσεται ἄρα· ἢ πανταχοῦ κινηθήσεται; οὐκ ἄρα στήσεται.

,, Ε'. Εἴπερ ἀνόμοιον (ἐξ ἑτεροειδῶν σωμάτων συνεστὼς) τὸ πᾶν, ἀνόμοιοι καὶ οἱ τόποι. Καὶ πρῶτον μὲν οὐχ ἓν τὸ σῶμα τοῦ παντὸς (τοῦ ὅλου ἀπείρου.) ἀλλ' ἢ τὸ ἅπτεσθαι. Εἶτα ἢ πεπερασμένα ταῦτα ἔσται, ἢ ἄπειρα εἴδει. Πεπερασμένα μὲν οὖν οὐχ οἷόν τε· ἔσται γὰρ τὰ μὲν ἄπειρα, τὰ δ' οὔ, εἰ τὸ πᾶν ἄπειρον· οἷον πῦρ, ἢ ὕδωρ· φθορὰ δὲ τὸ τοιοῦτο τοῖς ἐναντίοις. Εἰ δ' ἄπειρα, καὶ ἁπλᾶ, καὶ οἱ τόποι ἄπειροι· καὶ ἔσται ἄπειρα τὰ στοιχεῖα. Εἰ δὲ τοῦτ' ἀδύνατον, καὶ οἱ τόποι πεπερασμένοι, καὶ τὸ πᾶν ἀνάγκη πεπεράνθαι.

,, ς'. Εἰ πᾶν σῶμα αἰσθητὸν βάρος ἔχει, ἢ κουφότητα (κατὰ δόξαν τὴν τῶν ἀρχαίων φησίν. αὐτῶν γὰρ δοκεῖ εἶναι τὶ τὸ μήτε βαρὺ ὄν, μήτε κοῦφον). ἤτοι ἐπὶ τὸ μέσον, ,, (βαρὺ ὂν) ἢ ἄνω οἰσθήσεται. (εἴγε κοῦφον.) ἀδύνατον δὲ τὸ ἄπειρον ἢ πᾶν, ἢ τὸ ἥμισυ ὁποτερονοῦν πεπονθέναι. Πῶς γὰρ διελῇς; ἢ πῶς τοῦ ἀπείρου ἔσται τὸ μὲν κάτω, τὸ δ' ἄνω; ἢ ἔσχατον, καὶ μέσον;

„ Ζ΄. Πᾶν αἰσθητὸν σῶμα ἐν τόπῳ. Τόπε δὲ εἴδη ἕξ.
„ ἀδωύατον δὲ ἐν τῷ ἀπείρῳ σώματι ταῦτα εἶναι.
„ Η΄. Εἰ ἀδωύατον τόπον ἄπειρον εἶναι, κ̀ σῶμα ἀδύ-
„ νατον. ( δείκνυται δὲ τὸ ἡγέμϑυον. ) Τὸ γὰρ ἐν τόπῳ
„ πȣ̃. Τȣ̃το δὲ σημαίνει, ἢ ἄνω, ἢ κάτω, ἢ τῶ̓ λοιπῶν
„ τί. Τέτων δ᾽ ἕκαστον πέρας τί. Καὶ ὁ τόπος ἄρα περά-
των ȣ̓κ ἔξω βήσεται. Ὥστε ȣ̓δὲ τὸ ἐν τόπῳ, ἤτοι τὸ
σῶμα.

Ἀλλ᾽ οἷς μὲν Ἀριστοτέλης τὸ ἐνεργείᾳ ἄπειρον καταπολε-
μεῖ, ὅπλα ταῦτα· ἃ καίτοι μὴ πάντῃ ἄῤῥηκτα ὄντα,
( ἔστι γὰρ ἃ, κ̀ πάνυ σαθραῖς δηλονότι αὖ ἐλεγχθείη βε-
βηκότα ταῖς ὑποθέσεσιν, εἴτις αὐτοῖς ἐκ τȣ̃ ἀληθȣ̃ς ἀν-
τεμβάλοι λόγος τομώτερος· οἷα τὰ ἐκ τȣ̃ τόπȣ μάλιστα κ̀
τῶ̓ διαφορῶν αὐτȣ̃ κεχαλκευμένα. ) Τοῖς γεμλὼ παλαιο-
τέροις, τὰς ἐξ ὧν ἐλήφθη ὁπλοθήκας σχεδὸν ἀποδεχομέ-
νοις, ἱκανώτατα εἶναι ἡγέμεθα.

## Πόρισμα.

§. τυγ΄. Ἐκ δὲ δὴ τέτων ἕπεται, πάθος εἶναι ἀναγ-
καίως παροπηδȣ̃ν τῇ πεποσωμένῃ φύσει τὸ πεπεράνθαι.
μηδὲ ὀρθῶς ἔχειν τὸ εἰρημένον „ ὅτι ἀριθμȣ̃ καὶ μεγέ-
„ θȣς πάθος τὸ ἄπειρον. Καὶ ὅτι ποσὸν εἶναι τὸ ἄπει-
„ ρον ἀνάγκη. Εἰ μή πȣ δυνάμει νοηθείη· ὡς εἴπερ τὸ
ἐνεργείᾳ, ȣ̓δὲν τῶν ἁπάντων πλέον τȣ̃τȣ, τῆς ἐνύλȣ ἠλλο-
τρίωται φύσεως. ( §. τπθ΄. τϟ΄. τγα΄. τγβ΄. )

## Θεώρημα ΡΟϚ΄.

§. τυδ΄. „ Τὸ δυνάμει ἄπειρον ἐπὶ τῆς ποσωτικῆς φύ-
„ σεως, προσθέσει, ἢ ἀφαιρέσει, νοητόν. Τὸ δ᾽ ἐνεργείᾳ ȣ̓-
„ δὲ νοητὸν ὅλως.

Τὸ γὰρ δυνάμει ἄπειρον, κατὰ μὲν πρόσθεσιν, ἐν προσθή-
καις ὑποτίθεται μονάδων, κατὰ δὲ ἀφαίρεσιν, ἐν τομαῖς, ἢ
διαιρέσεσι μερῶν, κατὰ διαδοχλὼ ἀεὶ κ̀ ἀεὶ ἐπανειλημμένως

θεω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεωρεμέναις τέρματος αὐδὲ. ( §. τπζ'. τπή. ) Τὸ δὲ, καὶ πάνυ νοητὸν εἶναι, ἐδεὶς ἂν ἔξαρνος γένοιτο. Αἱ γὰρ νοεραὶ αὗται προσθέσεις, ἢ ἀφαιρέσεις, ὁμοειδεῖς ἔσαι νῦ ἐνθυμήσεις, ἤτοι πᾶσαι δυναταί εἰσιν ἐκ διαδοχῆς, ὅσαι δηποτῦν, ἢ αἱ πᾶσαι ἀδυνάτως ἔχεσι. Τῦτο δ' ἐχί. ( Τί γὰρ τέτε ῥᾴδιον, ἢ μονάσι μονάδα διενθυμηθεῖσαι προστιθεμένην, καὶ ἔκτασιν δίχα, ἢ ἄλλως ὁπωσῦν τεμνομένην; Ἄλλως τε καὶ πᾶς τις ἑαυτῷ σύνοιδε τὰ τοιαῦτα νοεῖν δυνάμενος. ) Ἐκεῖνο ἄρα. Ὃ τὸ Α'.

Τὸ δ' ἐνεργείᾳ ἄπειρον τὰς ἀπείρες ταυτασὶ προσθήκας, ἢ τομὰς, δι' ἀπειροπληθῶν νῦ ἐνθυμήσεων ὁμοίων, φθάσας ἤδη γεγονυίαις προϋποτίθησιν, ὡς μηδεμίαν εἶναι προσθήκην, ἢ τομὴν ὅλως, ἐπὶ τῆς πεποσωμένης ἐσίας, παραπλησίαν ἐκείναις προσωτέρω ἐνθυμηθεῖσαι. Τὸ δὲ ἀδύνατον. Α'. γὰρ ἀναιρεῖ προφανῶς, τὸ νοητὴν εἶναι ( κατὰ τὸ Α'. μέρος ) ἀεὶ καὶ ἀεὶ ταῖς προληφθείσαις παραπλησίαν τὴν τομὴν, ἢ προσθήκην. Β'. ἀντιφάσκει τὸ πέρατος αὐδὲ τὰς ἐννοίας τιθέναι, ᾧ πέρας ἤδε, μεθ' ἣν ἐκ ἄλλη τις ἔννοια. Γ'. Καὶ τὴν φύσιν τινὰ ποσωτικὴν ἐννοῦντα, φύσιν ἔτι πεποσωμένην ἤτοι ἴσην, ἢ μείζονα, ἢ ἐλάσσονα, νοεῖν μὴ δύνειν, ἀδύνατον. Ἄρα τὸ ἐνεργείᾳ προσθέσει, ἢ ἀφαιρέσει, ἐδὲ νοητὸν ὅλως. Ὃ τὸ Β'.

## Σχόλιον.

§. τγέ. Καλῶς ἐν ἀκριβῦντες, (1) τὴν μὲν κατὰ ποσὸν τῦ ἀπείρε ἔννοιαν, ἢ μεγέθες, ἢ πλήθες, ᾧ μηκέτ' αὖτι προστεθείη, ἀδύνατον εἶναι ἔφασαν, τὴν δὲ τῆς ἀπειρίας ταύτης, καθ' ἣν διηνεκέσι προσθέσεσιν, ἢ ἀφαιρέσεσιν, ἀεί τι νοεῖται προσαυξανόμενον, ἢ μειέμενον, δι' ἐπανειλημμένων ὁμοειδῶν ἐννοιῶν, ἐπὶ τῶν ἐκτὸς ἀλλήλων τὰ μέρη ἐχόντων, ( οἷα τὰ ποσωτικὰ ) δυνατὴν καὶ πάνυ, μᾶλλον δὲ

(1) Ὅρα Λεξικ. Εὐφραὶμ τῦ Χάμβρες. Ἐν λέξ. ἀπείρε.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ καὶ τοῦ νοῦ τῇ φύσει παρακολουθοῦσαν, ἀποφαινόμενοι. Πεφύκαμεν γὰρ παντὸς ὁσουοῦν διαστήματος ἐκτὸς, ἢ ἐντὸς τῶν περάτων ἐθελήσαντες νοερῶς γίνεσθαι, καὶ τοῦ νοηθέντος ἀείτι μεῖον προσεπινοῆσαι, ἤτι ἐπέκεινα. Κἂν τοῦτο, καὶ αὐτοὶ, εὖ οἶδ' ὅτι, ἣν σωφρονῶσιν οἱ Ἀτομισταὶ καλούμενοι, τῷ Ἀριστοτέλει ὀφθήσονται ὁμογνώμονες. Καὶ δώσουσι μὲν ἀεὶ διαιρετὸν εἶναι τὸ συνεχὲς, δώσουσι δὲ ἀεὶ αὐξητὸν εἶναι νοεραῖς ἐπινοίαις, τοῦτό τε, καὶ τὸ διωρισμένον. Ὡς οὐδ' αὐτοῖς οἶμαι τ' ἀληθῆ ὁμολογεῖν μέλλουσιν, οὐδ' ἔκτασις ἂν γένοιτο νοητὴ ὅλως ὁποσηοῦν, τὸν εἰς ἡμίση τὰ ἑαυτῆς, ἐπινοούμενον διχασμὸν ἐκφεύγουσα, οὐδὲ πλῆθος ὁμοίως ὁποσηοῦν, πρὸς μονάδα τὴν αὐτῆς ἐπισυναπτομένην, ἀντιφατικῶς ἔχουσα· ὥστε μοι, καὶ περιττὰ δοκεῖν πολυπονεῖν, τοὺς διὰ γραμμῶν καὶ σχημάτων, τὴν εἰς ἄπειρον δυνάμει τοῦ συνεχοῦς, ἐκ τῶν Γεωμετρικῶν πειρωμένους κατασκευάζειν διαίρεσιν. Ἐνὸν ἐξ αὐτῆς, ἣν κοινῇ πάντες φέρουσιν, τῆς ἐννοίας τῆς ἐκτάσεως, ἁπλῶς τε καὶ εὐπετῶς κρατῦναι τὸ σπουδαζόμενον.

## Θεώρημα ΡΟΖʹ.

§. τγϛʹ. „ Τὸ ἐνεργείᾳ ἄπειρον, καθ' ὅ,τι ἂν ἄπειρον „ εἶναι ὑποτεθῇ, κατὰ διαμονὴν εἶναι ἐθέλει.

Εἰ γὰρ μὴ, κατὰ δὲ διαδοχὴν, ἕξει δὴ δυνάμει, πρὸς ὅ,τι ἔχειν κατ' ἐνέργειαν ὑποτίθεται. Ἀντίφασις δὲ τοῦτο. Ἄρα κτ.

## Πορίσματα.

§. τγζʹ. Αʹ. Οὔκουν ἄρα οὔθ' ἡ διαίρεσις, οὔθ' ἡ πρόσθεσις, οὐδ' ἡ κίνησις, οὐδ' ὁ χρόνος, οὐδ' οὐδὲν τῶν κατὰ διαδοχὴν ὄντων, ἐνεργείᾳ ἂν εἴη ἄπειρον.

Βʹ. Τὸ δυνάμει λεγόμενον ἄπειρον, ψιλὸν ἐστὶν ὄνομα ἀπειρίας· καὶ μᾶλλον ἢ ταύτης περάτων ἔλεγχος.

Γʹ. Τὸ δὲ πεπερασμένον οὐ πάντα ἔχει, ὅσα ἔχειν δύναται. Καὶ τούτου ὁποσονοῦν ἂν τεθῇ, ἀείτι μεῖζον, καὶ νοητὸν, καὶ δυνατὸν, ἢ κάλλιον.

Δʹ. Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δ΄. Καὶ ἐκ διαδοχῆς ἄρα αὐτὸ ποικίλλεσθαι πέφυκε, καὶ ἀλλοῖον ἀναφαίνεσθαι.

Ε΄. Τὸ δ' ἐνεργείᾳ καὶ κυρίως ἄπειρον, ἐπεὶ πᾶσαν τὴν αὐτῷ προσήκουσαν πλουτεῖ τελειότητα, καὶ διαδοχῆς καταστάσεων ἐστὶν ἀνεπίδεκτον, ἀναλλοίωτον ἄρα ἔσαι, καὶ οὐδὲν προσκτήσασθαι πεφυκός, οὗ μὴ δύμοιροίη, καθ' ὅ,τι ἄπειρον ὑποτίθεται.

# ΚΕΦΑΛΑΙΟΝ Η΄.

## Περὶ Ὅλου καὶ Μέρους, καὶ περὶ Ἁπλοῦ καὶ Συνθέτου.

§. τγη΄. Πᾶσα διαίρεσις, καὶ τινὸς εἶναι, καὶ εἰς ἃ νοουμένη, χέσεις ἀπαραιτήτως τινὰς συνεμφαίνει, τοῦτ' ἐπιδεχομένου αὐτὴν, ὅπερ ὅλον καλεῖται, καὶ τῶν εἰς ἅπερ αὐτὴ ἀποτερματίζεται, ἃ μέρη ἀκούει. Καὶ τὸ μὲν ὅλον, τῇ πρὸς τὰ μέρη ἀποναδύσει, εἰς ἃ διανέμεται γνωριζόμενον, διττῆς ἔλαχε τῆς ἀναφορᾶς, τῆς μὲν ἰσότητι πρὸς ἅμα πάντα, τῆς δὲ ὑπεροχῇ πρὸς τούτων ἕκασον. τὰ δὲ μέρη τριττῆς· τῆς μὲν γὰρ ἰσότητι πάντα ἅμα πρὸς τὸ ὅλον· τῆς δὲ τούτων ἕκασον ἐλλείψει πρὸς τὸ αὐτό· τῆς δὲ καὶ πρὸς ἄλληλα, τῇ μὲν ἰσότητι, τῇ δὲ ἐλλείψει, τῇ δὲ καὶ ὑπεροχῇ ὡς ἔτυχε μεταλαμβανόμενα· ὥσε τὸ μὲν ὅλον εἶναι τοῖς μέρεσι, τὸ δὲ μέρος τοῦ ὅλου, καὶ ἔτι πρὸς τὸ μέρος. Οὕτω δ' ἐχόντων χέσεως, καὶ ἡ φύσις συνδρομος, καὶ ἤτοι κατ' ἐπίνοιαν, ἥτε διαίρεσις καὶ τὸ ὅλον, καὶ τὰ μέρη, ἢ τοιαῦτα· ἢ πράγματι ἅπαντα· ὡς οὐκ ἐνὸν, τοῦ καίτοι πράγματι ὄντος, μὴ πράγματι δὲ ὅλου, πραγματιώδη εἶναι τὰ μέρη, ἢ τὴν διαίρεσιν, οὐδὲ τὸ ἀνάπαλιν.

§. τγθ΄. Τὸ τοίνυν ὅλον ἤτοι δυνάμει ἐστὶν, ὑφ' ὃ τὰ μέρη, οἷον τὸ γένος ὑφ' ὃ τὰ εἴδη, καὶ ἁπλῶς τὰ Καθόλου, ὑφ' ἃ τὰ ἐπὶ μέρους, κἀκείνων τόγε μᾶλλον, ὑφ' ὃ τὸ ἧττον. Ἢ ἐνεργείᾳ ἐν ᾧ τὰ μέρη. Καὶ τοῦτο ἤτοι μεταφυσικὸν, οἷον τὸ εἶδος ἐν ᾧ τὸ γένος, καὶ ἡ διαφορὰ, μέρη μεταφυσικὰ, καὶ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἁπλῶς κατ' Ἀριστοτέλην εἰπεῖν (1) „ τὰ ἐν τῷ λόγῳ τῷ „ δηλοῦντι ἕκαστον ( ἤτοι τῷ ὁρισμῷ ) καὶ ταῦτα γὰρ μόρια „ τοῦ ὅλου. Ὁ δὴ ὅλον ἐνεργείᾳ εἴρηται, τῷ καθόλου ἀντιδιαιρούμενον· τὸ μὲν γὰρ κατὰ πλάτος θεωρεῖται, ἐκεῖνο δὲ κατὰ βάθος, Κυρίως δ' εἰπεῖν ἐνεργείᾳ οὐκ ἔστιν ὅλον, ὡς μηδ' εἰς μέρη ἐνεργείᾳ διακρινόμενα, ἀλλ' ἢ δυνάμει (§. τδ'. τέ. τς'.) τὴν ἀναφορὰν ἔχον. Ἢ φυσικὸν τὸ ἐν ᾧ τὰ μέρη ἐνεργείᾳ ὅλον ἐστίν· οἷον ὁ ἄνθρωπος ἐν ᾧ σῶμα, καὶ ψυχή. Καὶ τὸ σύνθετον ἐν ᾧ ὕλη καὶ εἶδος, μέρη φυσικὰ εἴρηται, καίτοι καὶ ταῦτα καταχρηστικώτερον, ἅτε δὴ τὸ πραγματιῶδες τῆς ἀπ' ἀλλήλων διακρίσεως ἀποπτύοντα. (§. ριγ'. ρμγ'.) Ἢ ποσωτικὸν τὸ ὅλον ἐστί. Καὶ τοῦτο αὖθις διττὸν, ἢ γὰρ ἐκ μερῶν ἐνεργείᾳ διῃρημένων, οἷον τὸ πλῆθος, ἢ ἐκ μερῶν ἐνεργείᾳ διαιρουμένων, οἷον τὸ συνεχές. Δυσὶ δὲ τρόποις κοινὴ ἐπίτε πλήθους, καὶ ἐπὶ μεγέθους τὸ μέρος· „ τὸ μὲν γὰρ εἰς ὃ ἂν διαιρεθείη τὸ ποσὸν „ ὁπωσοῦν, οἷον δυὰς τριάδος, καὶ τὸ ὅλον μέρος τοῦ ἡμιολείου, „ καὶ ἁπλῶς τὸ μὴ καταμετροῦν. (2) Τὸ δὲ τῶν τοιούτων τὰ καταμετροῦντα μόνον· οἷον δυὰς τετράδος, καὶ τὸ ἥμισυ τοῦ ἡμιολείου. Διὸ καὶ τὸ μὲν μέρος, τὰ δὲ μέρη. Ἐκεῖνο γὰρ, καὶ μόνον, ποσάκις ἐπαναληφθὲν, τὸ ὅλον ἐξεμέτρησε, τὸ δὲ οὐχ οὕτω, προσδεῖ δὲ ἔτι αὐτῷ, καὶ ἐπαναληφθέντι εἰ τύχοι, καὶ μέρους ἑτέρου, πρὸς τὴν τοῦ ὅλου ἐξίσωσιν. Διέλοις δ' ἂν ἔτι τὸ συνεχὲς εἰς τὸ ὁμοειδὲς, καὶ ἑτεροειδὲς, καὶ ὁμοιομερὲς, καὶ ἀνομοιομερὲς, κατὰ συζυγίας. Καὶ ὁμοειδὲς μὲν καὶ ὁμοιομερὲς, οἷον σφαῖρα χαλκοῦ· ὁμοειδὲς δὲ καὶ ἀνομοιομερὲς, οἷον κύλιξ χρυσοῦ· ἑτεροειδὲς δὲ καὶ ὁμοιομερὲς, σφαῖρα ἐκ χαλκοῦ καὶ χρυσοῦ τὸ ἡμίτομον· ἑτεροειδὲς δὲ καὶ ἀνομοιομερὲς, ἡ καθ' ὕπνους ὁραθεῖσα τῷ Βαβυλωνίῳ εἰκών· καὶ πάντα ὅσα ὀργανικὰ προσείρηται σώματα· τοῖς γε μὴν παλαιοτέροις ἡ ὁμοιομέρεια, οὐ κατὰ σχῆμα, φυσικώτερον δὲ ἐπὶ τῶν ὁμοειδῶν εἴληπται. Περιττὸν δὲ ἴσως καὶ τὸ ὅλον εἰς τὸ τεχνικὸν, καὶ τὸ κατὰ φύσιν διατέμνειν. Πλὴν ἀλλὰ

(1) Μεταφ. Δ. (2) Αὐτ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λὰ καὶ ταύτας τὰς ὁλότητας ὑπαινίξασθαι μηδαμῶς κατοκνήσας ὁ Σταγειρίτης (1) τοῦτο δὴ ἐπισεσημείωκεν ὅτι τούτων
„ αὐτῶν μᾶλλον τὰ φύσει, ἢ τέχνῃ τοιαῦτα· ὥσπερ καὶ ἐπὶ
„ τοῦ ἑνὸς ἐλέγομεν· ὡς οὔσης τῆς ὁλότητος, ἑνότητός τινος.

§. ν'. Ἔτι δὲ οὐδὲ τοῦτο παραλειπτέον, ὡς τὸ μὲν ὡς καθόλου ὅλον, τῷ καθ' ἑκάστου ὧν περιέχει κατηγορεῖσθαι μάλιστα, πᾶν λέγεται, τὸ δὲ ἐνεργείᾳ καὶ κατὰ ποσὸν, μετὰ διαφορᾶς πᾶν, ἢ ὅλον. (2) „ Ὅσων μὲν γὰρ μὴ ποιεῖ ἡ θέ-
„ σις διαφορὰν πᾶν λέγεται· οἷον ὕδωρ, καὶ ὅσα ὑγρὰ, καὶ
„ ἀριθμός· ὅλος γὰρ ἀριθμὸς, καὶ ὅλον ὕδωρ οὐ λέγεται,
„ ἂν μὴ μεταφορᾷ. (ἐφ' οἷς δὲ τὸ πᾶν, ὡς ἐφ' ἑνὶ, ἐπὶ τούτοις καὶ πάντα, ὡς ἐπὶ διῃρημένοις· πᾶς οὗτος ὁ ἀριθμὸς, πᾶσαι αἵδε αἱ μονάδες.) Ὅσων δὲ διαφορὰν ποιεῖ, ὅλον·
„ ὅλος ὁ οἶκος, ὅλη ἡ ναῦς· ὅσα δὲ ἄμφω ἐνδέχεται, καὶ
„ ὅλα, καὶ πᾶν. Ἔστι δὲ ταῦτα ὅσων ἡ μὲν φύσις ἡ αὐτὴ
„ μένει τῇ μεταθέσει, ἡ δὲ μορφὴ οὔ· οἷον κηρὸς, καὶ ἱμά-
„ τιον. Καὶ γὰρ ὅλον, καὶ πᾶν λέγεται· ἔχει γὰρ ἄμφω.

§. να'. Τὸ μὲν οὖν κυρίως ὅλον, καὶ κολοβὸν λέγεται, οὐκ ἀεὶ δὲ, ἀλλ' ἐὰν τινὰ τοιαῦτα παρῇ, τὰ μὲν, ὡς ἀπὸ τοῦ ὅλου, τὰ δὲ ὡς ἀπὸ τῶν ἀφαιρουμένων μερῶν ἐπιζητούμενα, ἐφ' ᾧτι ὀρθῶς κολοβὸν ἔχειν καλεῖσθαι. „ (3) Α'. γὰρ εἶναι δέον ποσὸν (διὸ δὴ τὸ ὡς καθόλου ὅλον, καὶ μέρους, οἷον εἴδους ἀπὸ τοῦ γένους ἀρθέντος, κολοβὸν οὐκ ἂν λέγοιτο.) „ Β'. τὸ μεριστὸν διό, τὰ εἰς ἅ,τι ἔσχατα τέμνεται, οἷον τὰ ἁπλούστατα, θρὶξ, ἄτομον, κτ. κἂν ᾖ πόσα, ἥκιστα κολοβὰ ῥητέα εἰσί. „ Γ'. κἂν ᾖ ἴσον τὸ κολόβωμα οὐ
„ ῥηθήσεται· διὸ τὰ δύω οὐ κολοβὰ, θατέρου ἀφαιρουμένου
„ ἑνός. Δ'. οὐδὲ ἀριθμὸς οὐδεὶς, καὶ γὰρ τὴν οὐσίαν δεῖ
„ μένειν, οἷον εἰ κύλιξ κολοβὸς, ἔτι δεῖ εἶναι κύλικα· ὁ
„ δὲ ἀριθμὸς οὐκέτι ὁ αὐτός. Ε'. (καὶ ἀνομοιομερῆ δέον εἶναι, οἷς ἂν προσήκοι τὰ τῆς ἐπωνυμίας.) „ Κἂν ἀνο-
„ μοιομερῆ, οὐδὲ ταῦτα πάντα· ὁ γὰρ ἀριθμός ἐστιν ὡς, καὶ
„ ἀνόμοια ἔχει μέρη, οἷον δυάδα τριάδα. (ὅμοια δ' ἔχει

τὰς

(1) Μεταφυσ. Δ. (2) Αὐτ. (3) Αὐτ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰς μονάδας.) Ἀλλ' οὐ λαβεῖν αὐτὶ τούτου εἰς δεῖγμα, μικτόν τι, οὗ τινὰ τῶν μιγνυμένων ἀφῄρητο, εἰ καὶ μὴ διὰ τοῦτο κολοβὸν εἶναι λέγεται. „ ς'. ὧν μὴ ποιεῖ ἡ θέσις διαφοράν, οὐδὲν κολοβόν· οἷον ὕδωρ, ἢ πῦρ, καὶ τὸ εἰρημένον μικτὸν ὁμοίως. Ζ'. Εἶναι δεῖ συνεχῆ. Ἡ γὰρ ἁρμονία „ ἐξ ἀνομοιομερῶν μὲν, καὶ θέσιν ἔχει. (οὐ γὰρ ὡς ἔτυχον οἱ βαρεῖς τε καὶ ὀξεῖς τῶν φθόγγων ἠχοῦντες παρέχουσι τὴν ἁρμονίαν, δεῖ δὲ καὶ τούτων ὡρισμένην εἶναι τινὰ θέσιν, ἄλλων μετ' ἄλλους ἀνάλογον τονουμένων.) „ κολοβὸς δὲ „ οὐ γίνεται. Καὶ ταῦτα μὲν ὡς ἐκ τοῦ ὅλου, εἰς τὸ εἶναι τι κολοβὸν ἀπαιτεῖται. ὡς δ' ἐκ τοῦ μέρους, Α'. „ οὐ δεῖ τὰ „ κύρια τῆς οὐσίας (μέρη) ἀφῃρῆσθαι. (οὐκοῦν ὁ καρατομηθεὶς κολοβὸς οὐκ εἰρήσεται. Β'. „ οὔτε τὰ ὁπουοῦν ὄντα, οἷον „ ἐὰν τρυπηθῇ ἡ κύλιξ οὐ κολοβὸς, ἀλλ' ἂν τὸ οὖς, ἢ ἀκρω„ τήριόν τι. Καὶ ὁ ἄνθρωπος, οὐκ ἐὰν σάρκα, ἢ τὸν σπλῆ„ να, ἀλλ' ἐὰν ἀκρωτήριον. Γ'. Καὶ ὃ μὴ ἔχει γένεσιν ἀ„ φαιρεθὲν ὅλον. (οἷον ἐὰν ὁ βραχίων, ἡ ῥὶς, ἐὰν δὲ θρὶξ ἀποσπασθῇ ὅλη, οὐχὶ, ἀφαιρεθεῖσα καὶ γὰρ ἀναφύεται.) „ διὰ τοῦτο οἱ φαλακροὶ οὐ κολοβοί.

## Θεώρημα ΡΟΗ'.

§. υβ'. „ Τὸ αὐτὸ πρὸς τὸ αὐτὸ ἄλλως καὶ ἄλλως, εἴη „ ἂν ὅλον τε καὶ μέρος.

Καὶ γὰρ τὸ γένος ὅλον πρὸς τὸ ὑπ' αὐτὸ εἶδος. Καὶ τὸ αὐτὸ εἶδος ὅλον, ἐν ᾧ τὸ αὐτὸ γένος. (§. τγθ'.) Ἀλλὰ τὸ μὲν ὡς ὅλον δυνάμει, τὸ δ' ὡς ἐνεργείᾳ. (§. αὐτ.) Ἄλλως ἄρα καὶ ἄλλως τὸ αὐτὸ κτ.

## Σχόλιον.

§. υγ'. „ Τὸ γένος τοῦ εἴδους μέρος λέγεται· ἄλλως δὲ „ τὸ εἶδος τοῦ γένους μέρος (1).

Θεώ-

(1) Μεταφ. Ε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΡΟΘ΄.

§. υδ΄. „ Τὸ αὐτὸ πρὸς ἄλλο καὶ ἄλλο, ὡσαύτως καὶ ὅ-
„ λον, καὶ μέρος. Δεῖ δὲ ὁμογενὲς εἶναι, ἄλλως γὰρ τὰ ἑτε-
„ρογενῆ ἐςὶν ἀπαράθετα.

Οἷον ἡ κεφαλὴ μέρος μὲν πρὸς τὸ ὅλον σῶμα, ὅλον δὲ, πρὸς ὀφθαλμὸν, καὶ ῥίνα, καὶ οὖς, κτ. Ὅτι δὲ καὶ κατὰ τὸ συνεχὲς, ὡσαύτως. Ἄρα, κτ.

## Πόρισμα.

§. υε΄. Ἡ ἄρα τοῦ ὅλου πρὸς τὸ μέρος ἀντίθεσις ἐςὶ σχετικὴ ( §. τηή. ), καὶ τὸ αὐτὸ ὑποκείμενον σχέσεων ἀναδείκνυται ἀντικειμένων. ( §. υδ΄. )

## Θεώρημα ΡΠ΄.

§. υϛ΄. „ Καθ᾽ ἑαυτὸ δέτι καὶ μονωθὲν, μέρος οὐδέν.

Τὸ γὰρ μέρος καὶ τὴν πρὸς τὰ ἄλλα τοῦ αὐτοῦ ὅλου μέρη ἐπιδέχεται σχέσιν. ( §. τηή. ) Ἄρα, κτ.

## Θεώρημα ΡΠΑ΄.

§. υζ΄. „ Οὐδὲν ὅλον ἐνεργείᾳ, οὗ μὴ καὶ τὰ μέρη ἐνερ-
„ γείᾳ.

Σχετικὰ γὰρ ὄντα, καὶ τὴν φύσιν ἂν εἴη σύμφωνα. ( §. τηή. ) Εἴπερ οὖν τὰ μέρη ἐνεργείᾳ μὴ τεθῇ, δυνάμει δὲ, καὶ τὸ ὅλον ἔςαι δυνάμει, καὶ οὐκ ἐνεργείᾳ. Ἀλλὰ καὶ ἐνεργείᾳ ( ἐξ ὑποθ. ) ὅπερ ( §. λ. ) ἀδύνατον. Ἄρα, κτ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Πόρισμα.

§. υή. Ἐπεὶ δὲ καὶ μέρη ἐνεργείᾳ, ὧν ἡ διαίρεσις ἐνεργείᾳ (§. τγή.) οὐδὲν ἄρα ὅλον ἐνεργείᾳ ἂν εἴη, οὗ μὴ καὶ τῶν μερῶν ἡ διαίρεσις ἐνεργείᾳ.

## Θεώρημα ΡΠΒ΄.

§. υθ΄. „ Ἀνάγκη συγχωρεῖν ἐπὶ τῶν σωμάτων, καὶ ὅλον, ὃ μὴ μέρος, καὶ μέρος, ὃ μὴ ὅλον ᾖ φυσικῶς.

Εἰ μὴ γάρ, ἀεὶ δὲ πᾶν σῶμα τὸ δοθέν, καὶ μέρος, ἔσαι τι παρ᾽ ἐκεῖνο ἀεὶ καὶ ἄλλο, οὗ ᾧ μέρος. (§. υς΄.) Καὶ πέρας οὕτως οὐδὲν ἐπὶ τῶν σωμάτων· ἀλλ᾽ ἀδύνατον. (§. τπθ΄.) Ἄρα.... ὃ τὸ Α΄.

Εἰ δὲ καὶ μέρος μηδέν, ὃ μὴ καὶ ὅλον ᾖ φυσικῶς, παντὸς ἄρα ὁποσοῦν σωματίου, καὶ τὰ μέρη ἐνεργείᾳ (§. υζ΄.) καὶ ἡ διαίρεσις ἐνεργείᾳ. (§. υή.) Ἐξετελέσθη ἄρα φυσικῶς ἐπὶ τῶν σωμάτων ἐνεργείᾳ ἡ τούτων διαίρεσις, καὶ πέρας ἔχειν ἤδη γινομένη· ἄπειρος δὲ ἡ τῶν σωμάτων δυνάμει διαίρεσις. (§. τγδ΄. τγέ.) Μεταςάντος ἄρα τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ, τὸ ἄπειρον ἐνεργείᾳ ἐν πλήθει ἡμῖν ὑποςήσεται· ὅπερ ἀδύνατον. (§. τπθ΄.) Ἀνάγκη ἄρα καὶ μέρος ἐπὶ τῶν σωμάτων συγχωρεῖν, ὃ μὴ ὅλον ᾖ φυσικῶς. Ο. Η. τὸ Β΄.

## Σχόλιον.

§. υί. Ἔςιν οὖν ἐν τῇ φύσει ἁπλῶς μὲν ὅλον, τὸ ὅλον σύνταγμα. Ἁπλῶς δὲ μέρη, ἀπλούςατά τινα σωμάτια, εἰς ἃ ταῖς ἐν τῷ παντὶ δυνάμεσι, τὰ ἐξ αὐτῶν ἔχει ἀναλύεσθαι, ὡς εἰς ἔσχατα, ἐξ ὧν ὡς πρωτίςων καὶ τὴν σύνθεσιν ἔσχηκεν. Πῇ δὲ ἑκάτερον τὰ μεταξὺ τούτων, κατὰ τὸ μᾶλλον καὶ ἧττον, πρὸς ἄλλατε καὶ ἄλλα, (§. τγή. §. υδ΄.) τοῦ ὅλα, ἢ μέρη εἶναι τυχόντα.

Θεώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΡΠΓ'.

§. υιά. „ Τὸ ὅλον τοῖς ἑαυτῦ μέρεσιν, ἅμα πᾶσι, ταὐ-
„ τὸν, καὶ ἀνάπαλιν.

Ἔςι γὰρ ἐκεῖνο ταῦτα, ἢ συνῆπται· ἔςι δὲ ταῦτα ἐκεῖνο, ἢ μεμέριςαι. ( §. τγή. ) Ἄρα τὸ Α'. καὶ τὸ Β'.

## Πόρισμα.

§. υιβ'. Τοιγαροῦν ἐπεὶ καὶ τὸ ὅλον τοῖς μέρεσι τοῖς αὐτῦ, ἅμα πᾶσιν, ἴσον ἐςὶ καὶ ταυτὸν, καὶ ἀνάπαλιν. Καὶ τῦτο ἐκείνων ἂν ἀντικαθιςᾶν ( §. τλδ'. ), καὶ ἀνάπαλιν.

## Θεώρημα ΡΠΔ'.

§. υιγ'. „ Τὸ μέρος ἔλαττον τῦ ὅλυ, ὖ μέρος.

Τὸ γὰρ μέρος καθ' ἑαυτὸ μὲν ὄ, συνάμα δὲ τοῖς λοιποῖς, ἢ τῷ λοιπῷ, μέρος ἐςί. ( §. υς'. ) ἔλαττον δὲ αὐτὸ, ἑαυτῦ σὺν τοῖς λοιποῖς ληφθέντος. Ἄρα, κτ.

## Πόρισμα.

§. υιδ'. Ἄρα τὸ ὅλον μεῖζον ἑκάςυ τῶν μερῶν τῶν αὐτῦ.

## Περὶ τῦ Ἁπλῦ, καὶ τῦ Συνθέτυ.

§. υιέ. Ἁπλῦν ἐςὶν, ᾧ μέρη ὐκ ἔςι· σύνθετον δὲ, ᾧπερ ἐςί· διὸ τὸ μὲν, ὐδὲ ὅλον. ( τγή. ) Καὶ μὲν δὴ καὶ καθ' αὐτὸ μὲν, ὐδὲ μέρος. ( §.υς'. ) σὺν ἄλλῳ δὲ, ἁπλῷ, ἢ ἄλλοις συνιὸν τῦτο γίνεται· τῦ γεμὲν ὅλυ πλεοναχῶς λεγομένυ, ( §. τγθ'. ) καὶ δὴ, καὶ κατὰ τὰς διαφορὰς τὰς ἐκείνυ, καὶ τῦ μέρυς ποικιλλομένυ, τὸ μὲν δυνάμει ὅλον, τὸ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σύνθετον εἶναι, οἷα δὴ καὶ τὸ ὅλον ὑποκρινόμενον, χαίρει δὴ μᾶλλον τῇ ἁπλότητι· τά,τε μᾶλλον καθόλου, καὶ ἁπλούστερα· τὸ δὲ τῇ ἐπινοίᾳ ὅλον, οὔπω μετείληχε καὶ τῆς συνθέσεως, πράγματι ἁπλοῦν ὄν· οἷον τὸ μεταφυσικῶς, ἢ λογικῶς σύνθετον· ὅ,τι δὲ ἐκ μερῶν, αὐτῷ μὲν ἐνεργείᾳ ἐνυπαρχόντων, πράγματι δὲ διαιρετῶν συνολοῦται, ἐκείνῳ καὶ ἰδιάζει κυρίως τὰ τῆς συνθέσεως.

§. υις΄. Ἀλλὰ καὶ τὸ μάλιστα σύνθετον, οὐ τῆς αὐτῆς ἰδέας ἐστί· ἀλλ᾽ ἤτοι τὰ συντιθέντα αὐτὸ δι᾽ ἀλλήλων χωρεῖ, οἷον ἡ ψυχὴ διὰ τοῦ σώματος. „ (οὐ γὰρ δηλονότι „ καθόλου σύνθετον εἶναι, οὗ συνῆπται μὲν, ἐκτὸς δὲ κεῖ„ ται ἀλλήλων τὰ μέρη, καθάπερ τινὲς (1) ὑπειλήφαμεν. Ἐπ᾽ ἐνίων μὲν γὰρ ἑκάτερον ἀληθές, ἐπὶ δ᾽ ἐνίων τὸ ἕτερον· οἷον ἐπὶ μὲν ἀριθμοῦ, οὐκ ἀληθὲς τὸ πρῶτον· ἐπὶ δὲ τοῦ ἀνθρώπου ψευδὲς τὸ δεύτερον.) ἢ ἐκτὸς ἀλλήλων τέτακται. Καὶ ταῦτα ἤτοι ἀπολέλυται ἀπ᾽ ἀλλήλων διέχοντα, ὡς ἐπὶ ἀριθμοῦ, ἢ προσῆπται ἀλλήλοις τῷ ἅπτεσθαι ὡς ἐπὶ σωροῦ, ἢ δεσμοῦ· ἢ συνῆπται ἀλλήλων ἐχόμενα, ὡς ἐπὶ τοῦ συνεχοῦς. Οὕτω δέτοι συνημμένα, ἢ συγχυθῆ ταῦτα τυγχάνει, ἢ οὐχί. Καὶ εἰ μὲν τοῦτο, ἤτοι ἐξήλλακται συμπεφυρμένα ἀλλήλοις τὰ μέρη, καὶ ἐξηλλοίωται, ὡς μηδοπωσοῦν τῷ εἴδει διακρίνεσθαι ἡμῖν, καὶ μικτὸν ἀκούει τὸ ἐξ αὐτῶν σύνθετον, οἷον φάρμακον· ἢ διακρίνεται, καὶ σύνθετον τῷ εἴδει, οἷον τὸ ὀξυέλαιον. Ἅπαν οὖν μικτὸν, καὶ σύνθετον· οὐχὶ δ᾽ ἀνάπαλιν. Εἰ δ᾽ ἐκεῖνο, ἤτοι τὰ συγχυθῆ πράγματι ἀλλήλων ἐστὶ διαιρετὰ, καὶ ταῖς ἐν τῷ παντὶ δυνάμεσι τμητὰ, καὶ ἁπλοῦν μὲν τῷ εἴδει, σύνθετον δὲ ὅμως ἐκτάσει τὸ ἐξ αὐτῶν, οἷον ψῆγμα χρυσοῦ, ὃ δίχα ἔνι τεμεῖν· ἢ τέως ἔντι τῶν ὁμοφυῶν, τοιοῦτον ἐστὶ καθ᾽ ἑαυτὸ, οἷον καί τοι ἐκτάσεως τινὸς τυχὸν, οὔτ᾽ ἐξ ἁπλουστέρων δυοῖν, ἀλλήλοις συνεπιτεθέντων συνεστηκέναι, οὔτ᾽ εἰς ἁπλούστερα, οὐδεμιᾷ ὅλως τῶν ἐν τῇ φύσει δραστηρίων δυνάμεων, μεριστὸν εἶναι· καὶ ἄντικρυς ἁπλοῦν τὸ τοιοῦτον, οἷα ἐν τῷ παν-

τὶ

(1) Βαϋμεϊστέρ. Ὀντολ. Μέρ. Α΄. Κεφ. ί. §. 76.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὶ οἱ φυσικοὶ εἰσηγούμενοι, οἱ μὲν ἀτόμους, οἱ δὲ μονάδας, οἱ δὲ πρεσβυγενῆ μόρια, οἱ δὲ ἁπλούστατα σωμάτια, οἱ δὲ πρώτας φύσεις, οἱ δὲ στοιχεῖα ἐξωνόμασαν, οἱονεὶ πρώτους στήμονας ὄντας τῆς τῶν συνθέτων συστάσεως.

§. υιζ'. Διωρίσθω τοίνυν, τὸ μὲν ἁπλοῦν εἶναι οὐσιωδῶς, οὗ γνώρισμα οὐσιῶδες ἡ αὐλία, τοῦτο τὸ νοερὸν, καὶ καθ' αὑτὸ τῆς ὕλης ἀπηλλαγμένον, οἷον ἡ ψυχή. Καὶ κατ' ἐξαίρεσιν ἁπλούστατον, τὸ ἐν οὐσιώδει τῇ ὑπάρξει, ἁπάσας φέρον τὰς τελειότητας, οἷον τὸ ἀναγκαῖον ὂν, ὃ καὶ μόνον ὂν, κυρίως εἰπεῖν, ἐγεραίρομεν. (§. ρνζ'.) Ὡς τάγε ἄλλα κἂν οὐσίᾳ ἁπλᾶ ᾖ, διὰ τὸ ἄϋλον, παρὰ γε μὴν τὴν ἐξ οὐσίας τε καὶ ὑπάρξεως (ἥτις ἐνδεχομένως ἐκείνοις προσήκει.) σύνθεσιν, οὐ πάντη καθαρᾶς ἔλαχε τῆς ἁπλότητος, ὡς μηδὲ ἁπλᾶ, ἐκ παραθέσεως τῆς πρὸς ἐκεῖνο, οἷα ὄντα κατονομάζεσθαι. (§. σις'. σκβ'.) Τὸ δὲ ἁπλοῦν ἐστὶ μεταφυσικῶς, τὸ νοητὸν, καὶ ἀφαιρέσει, οἷον τὸ σημεῖον, τὸ καθόλου· τὸ δὲ φυσικῶς, καὶ αἰσθητὸν ὂν, τὸ εἴδει τὰ τῆς ἁπλότητος οἰκειούμενον· οἷον ἀὴρ, ὕδωρ, τὸ τί ἦν εἶναι. τὸ δὲ φυσικῶς, καὶ φανταστὸν ὄν· ὅπερ ἤτοι μεριστὸν ἐστὶν, ὡς ἡ αἰθερία (εἴτις ἐστὶν) ὕλη, ἢ φύσει ἀμέριστον, καίτοι ἐπινοίᾳ μεριστὸν, ὡς ἐλαχίστη ἄτομος· τὸ δὲ φανταστὸν μόλις, οἷον ἂν εἴη, τὸ ὑπὸ πολλῶν εἰσαγόμενον κενόν. Καὶ αὖθις, τὸ μὲν σύνθετον λογικῶς, καὶ μεταφυσικῶς, (τὸ οὐσιωδῶς, καὶ μέντοι καὶ φυσικῶς ἁπλοῦν.) τὸ ἐκ τῶν παραλλάσσων οἱ τελειοτήτων τὴν συγκρότησιν ἔχειν νοούμενον, οἷον ἡ ψυχὴ ἔκ τε νοῦ, καὶ βουλήσεως· τὸ γὰρ οὐδ' οὕτω σύνθετον, ἁπλοῦν δὲ καὶ μεταφυσικῶς εἰρημένον, οἷον τὸ καθόλου, τὸ σημεῖον, ἀτελειότητος φέρει ἔλεγχον· τὸ δὲ σύνθετον ποσωτικῶς, οἷον τὸ πλήθει, ἢ μεγέθει· ὃ καὶ διαιρετέον εἰς τὸ φύσει μεριστὸν, ἢ ἀμέριστον. (§. υις'.) Τὸ δὲ τελευταῖον, καὶ μάλιστα σύνθετον, φυσικῶς, τὸ ἐκ πλειόνων μερῶν τῷ εἴδει διαφερόντων ἀπαρτιζόμενον. (§. αὐτ.)

Θεώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΡΠΕ΄.

§. υιη΄. „ Τὸ οὐσιωδῶς ἀμοιροῦν τῆς ἁπλότητος ἐστὶν ἀ-
„ σώματον.

Τοῦ γὰρ τοιούτου γνώρισμα οὐσιῶδες ἡ αὐλία. (§. υιζ΄.) Ἀρχὴ δὲ ἡ ὕλη τῶν σωματικῶν. (§. ρκα΄. ρκβ΄. ρκγ΄.) Ἄρα κτ.

## Πορίσματα.

§. υιθ΄. Ἀλλότρια ἄρα τούτου Α΄. ἡ κατὰ παχύτητος ἔκπτωσις. Β΄. τὸ κατὰ πηλικότητα μέγεθος. Γ΄. καὶ ἡ κατὰ ταύτην διαίρεσις. Δ΄. καὶ τὸ κατὰ περιγραφὴν ποῦ. Ε΄. καὶ τὸ σχῆμα. Καὶ ὅσ' ἄλλα τῆς ἐνύλου ἐκπτώσεως πάθη κρίνεται.

## Σχόλιον.

§. υκ΄. Διαφέρει δὲ τὸ εἶναι ἁπλῆν τὴν οὐσίαν, τοῦ οὐσιωδῶς εἶναι ἁπλῆν· τὸ μὲν γάρ, τὸ μὴ ἐξ ἁπλουστέρων, καὶ ἀρχοειδεστέρων, καὶ τῷ εἴδει διαφερουσῶν συγκεκροτῆσθαι, σημαίνει. (§. σλθ΄. σμ΄.) Κἂν ἄλλως ἔνυλος ᾖ, ἢ τὸ μηδ' ἐξ ὁμοειδῶν συνηθροῖσθαι, οἷον ὕλης μόριον ἁπλούστατον. (§. υις΄.) Τὸ δὲ παντελὴς ἐστὶ τοῦ ἐνύλου ἐξόμωσις. Διὸ καὶ ἡ ἑκάστου οὐσία, κἂν ᾖ σύνθετος, τῷ λόγῳ τῆς τῶν ἰδίων χαρακτήρων εἰς ταυτὸ συνελεύσεως, μία οὖσα (§. σμα΄.) ταύτῃ πως καὶ ἁπλῆ λέγοιτ' ἄν, ἑνότης γάρ τις ἐστὶν ἡ ἁπλότης· τὸ δὲ οὐσιωδῶς ἁπλοῦν οὐχ ἕξει, εἰ μεταξὺ τῶν συνιόντων εἰς σύστασιν αὐτῆς χαρακτήρων, ἐναρίθμιον ἀπαιτεῖται αὐτῇ καὶ τὸ κατὰ τὴν ὕλην γνώρισμα.

Θεώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΡΠϚ'.

§. υκα'. „ Τὸ οὐσιωδῶς ἁπλοῦν ἐκ προϋφεστῶτος ὡς ἐξ „ ὑποκειμένου, οὐκ ἂν σχοίη τὴν γένεσιν.

Εἰ γὰρ ἐκ προϋφεστῶτος ὑποκειμένου, φανερὸν ὅτι ἐξ ὕλης ἐνυπαρχούσης αὐτοῦ. ( §. ρί. ) Καὶ οὕτως οὐσιώδους αὐτοῦ οὔσης τῆς ὕλης, οὐκ ἂν εἴη γνώρισμα κατ' οὐσίαν αὐτοῦ προσῆκον ἡ ἀϋλία. ( §. λ'. ) Ἀλλ' ἔστι τοῦτο. ( §. υιζ'. ) Οὐκ ἄρα ἐκεῖνο.

## Σχόλιον.

§. υκβ'. Ἢ φέρε δὴ, εἰ δοκεῖ, ἐκ προϋφεστῶτος ὡς ἐξ ὑποκειμένου γινέσθω, τὸ μετέχον οὐσιωδῶς τῆς ἁπλότητος. Πότερον οὖν, τὸ ἐξ οὗ αὐτὸ, ὕλη τὶς οὖσα τυγχάνει, ἢ ἁπλῆτις φύσις οὐσιωδῶς κἀκείνη, καὶ συνελόντι εἰπεῖν, ἄϋλος; Θάτερον εἴποις ἄν. Ἀλλ' εἰ μὲν ἐκεῖνο, οὐκ ἄρα οὐσιωδῶς ἁπλοῦν ἔσται, ὡς ὑποτίθεται τὸ γινόμενον, τῆς ὕλης αὐτοῦ ἐμφιλοχωρούσης ( §. υιζ'. ) ὡς ἀρχῆς τῆς οὐσιώδους συνθέσεως. ( §. ρί. ) Εἰ δὲ τοῦτο, ἤτοι πάντως μετασκευαζομένης τῆς προϋφεστώσης εἰς τὴν νεουργουμένην, ἢ ταύτῃ συμμιγνυμένης, ἢ ὅτι ἡ νεοπαγὴς ἐξ ἐκείνης πως ἀποτέμνεται. Ἀλλ' οὐδὲν ὑγιὲς τούτων ὅ,τι ποτ' ἂν ἄρα καὶ λέγειν ἕλοιο. Εἰ μὲν γὰρ ἀποτομὴν, ταύτην ( ὅπερ ἦν τὸ ἔσχατον. ) δοίης, οὐκ ἄρα ἁπλῆ ἦν ἐκείνη ἐξ ἧς, ὅπερ ὑπετίθετο· ἔδει γὰρ δὴ ἀνέκτατον οὖσαν, εἶναι καὶ ἄτμητον. ( §. υιθ'. ) Εἰ δ' ἐπὶ τὴν μίξιν προσφύγοις, ἦν ἄρα καὶ πρὶν γενέσθαι, τὸ λεγόμενον ἔχειν τὴν γένεσιν· ὥστε μηδὲ ἀληθῶς γίνεσθαι. Ἄλλως τε καὶ ὁποία τις ἡ τῶν ὕλης ἀμιγῶν μίξις; Εἰ δὲ τέως πρὸς τὴν ἀλλοίωσιν ἀναδράμης, πότερον ποτὲ θέσεως μεταβολῇ τῆς τῶν μερῶν, καὶ κινήσει, καὶ τοῖς τοιούτοις ὡς ἐπὶ τῶν σωμάτων, ἐπισκήψει τῷ προϋποκειμένῳ τούτῳ τὰ τῆς ἀλλοιώσεως; ἀλλ' ἔσται σωματικὴ οὕτως, οὐχ ὅπως ἡ προϋφεστῶσα φύσις, ἀλλὰ καὶ ἡ ἐξ ἐκείνης. τοὐναντίον δὲ ὑπετίθετο. Ἀλλὰ τροπή τις ἄλλη ἀϋλωτέ-

ρα,

ρα, τὴν ἑτέραν εἰς τὴν ἑτέραν οὐσίαν μεταῤῥυθμίζεται; Ποτέρων τοίνυν ἡ μεταβολὴ, τῶν οὐσιωδῶν παθῶν, ἢ γοῦν τῶν ἐπουσιωδεστέρων; Ἀλλ' εἴπερ ἐκείνων, παυσαμένης ἄρα τοῦ εἶναι τῆς πρώτης, (οὐ γὰρ ἐθέλει οἰχομένου τοῦ οὐσιώδους, ἤτοι τοῦ πρὸς οὐσίαν ἀναγκαίου, μένειν ποτὲ ἡ οὐσία. (§. σβ'. σκή.) Ἐξ ὑπαρχῆς ἡ δευτέρα τὸ εἶναι ἔχει. Καὶ οὐδὲ ἐξ ἐκείνης αὐτῆ, ὥς γε προϋφεστώσης, καὶ ἐνυπαρχούσης ὑλικῶς (ὅς ὁ τοῦ Θεωρήματος ἐστὶ νοῦς.) ἐξ ἐκείνης δὲ μόνον, ὡς ἄρα μετ' ἐκείνην. Εἰ δὲ τῶν ἐπουσιωδεστέρων ἡ μεταβολὴ εἴη, τῶν οὐσιωδῶν μενόντων, φαίης ἄν, ὡς τὸ οὐσιωδῶς ἁπλοῦν κατὰ συμβεβηκός πως ἠλλοίωται, οὐκοῦν δὲ ὅτι καὶ οὐσιωδῶς, ὡς ἐξ ὑποκειμένου τινὸς τὴν γένεσιν ἔχον. Ἄρα, κτ.

## Πορίσματα.

§. υκγ'. Α'. Φανερὸν οὖν, ὡς οὔτε ἐξ ἁπλοῦ τὸ οὐσιωδῶς ἁπλοῦν, οὔτε μὴν ἐκ συνθέτου τινὸς, ὡς ἐξ ὑποκειμένου τὴν γένεσιν ἔχοι ἄν.

Β'. Φανερὸν δὲ καὶ ὅτι, ἐκ τοῦ μηδενὸς τὸ τοιοῦτον, εἴπερ ἐνδεχομένως αὐτῷ προσήκει ἡ ὕπαρξις. (§. σνζ'.) Δεῖ δὲ τὸ ἐκ τοῦ μηδενὸς ἐκλαβέσθαι κἀνταῦθα, ὡς ἐν §. σνή. κξ., τὴν τούτου δηλ. πρὸς τὸ ὑπὸ τοῦ μηδενὸς εἶναι, διαφορὰν, ἀεὶ πρὸ ὀφθαλμῶν ἔχοντας.

Γ'. Φανερὸν δὲ καὶ ὅτι, οὕτως ὑπάρχον, οὐκ εἰς ἄλλο τι ἂν μετασταίη, ἀλλ' εἰς τὸ μὴ ὂν ἂν τραπείη, τοῦ εἶναι παυσάμενον.

## Θεώρημα ΡΠΖ'.

§. υκδ'. „ Τὸ οὐσιωδῶς ἁπλοῦν, καὶ τὴν ὕπαρξιν ἐνδε-„ χόμενον, ἐν ἀκαρεῖ τήν τε παραγωγὴν ἴσχει, καὶ τὴν εἰς „ τὸ μηκέτ' εἶναι τροπὴν, ὁμοίως.

Τὸ γὰρ τοιοῦτο ἀσώματον (§. υιή.). καὶ ἀνέκτατον (§. υιθ'.) καὶ οὔτ' ἐξ ὕλης προϋφεστώσης, (§. υκά. υκβ'.) οὔτ' ἐξ

ἁπλοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἁπλȣ̃ τινος ὅλως, ἢ συνθέτȣ συνιςάμενον, ἀλλ' ἐκ τȣ̃ μηδενὸς, καὶ εἰς τὸ μὴ ὄν. ( §. υκγ'. ) Οὐκ ἄρα κινήσει τȣ̃ τοιȣ́τȣ ἔθ' ἡ γένεσις, ἔθ' ἡ φθορά. Τί γὰρ ἂν εἴη τὸ κινέμενον, εἰ ἐκ μηδενὸς προϋφεςῶτος, καὶ ἐδὲ ὕλην ἔχει τὴν ἐπιδεξομένην τὸ πάθημα; Ἀλλ' ἔνθα μὴ κίνησις, ἐδὲ τὸ πρότερον καὶ ὕςερον, ἐδὲ χρόνος. Ταῦτα γὰρ ἐςὶ τὰ κατὰ διαδοχήν. (1) Ἄρα ἐν ἀκαρεῖ τοῖς τοιȣ́τοις συμβαίνει, τό, τε ἐκ τȣ̃ μὴ ὄντος εἰς τὸ εἶναι παράγεσθαι, καὶ τὸ ἐκ τȣ̃ εἶναι, ἐπὶ τὸ μὴ, ἀνάπαλιν μεταπίπτειν. Ἄρα κτ.

## Θεώρημα ΡΠΗ'.

§. υκέ. „ Πρὸς τὴν ἐξ ἐσίας τε καὶ ὑπάρξεως σύνθεσιν ἀπιδȣ̃σιν, ἐδὲν, παρὰ τὸ ἀναγκαῖον ὄν, ἁπλȣ̃ν ἔςαι.

Κατ' ἐκείνην μὲν γὰρ τὴν σύνθεσιν, ἡ ὕπαρξις ἐκ ἀναγκαῖον τὶ ἐςὶ πρὸς ἐσίαν, ἐδ' ἐσιώδης, ἐνδεχομένως δὲ ἐπισυμβαίνεσα, καὶ ἔξωθεν ἐπακτή. ( §. σβ'. υιζ'. ) Οὐδὲν δὲ παρὰ τὸ πάντῃ πάντως ἀναγκαῖον, κρεῖττον ἂν εἴη τῆς τοιαύτης συνθέσεως ( §. σιδ'. υιζ'. ) Ἄρα κτ.

## Θεώρημα ΡΠΘ'.

§. υκς'. „ Ἐπανάγκες συγχωρεῖν ἐν τοῖς ȣ̃σι τὰ φυσικῶς ἁπλέςατα σώματα, τὰ μὲν διὰ τὸ μονοειδὲς, τὰ αἰσθήσει, τὰ δὲ καὶ δι' ὄγκȣ βραχύτητα, τὰ μόνῃ τῇ φαντασίᾳ ληπτά.

Εἰ μὴ γὰρ, ἀλλ' ἦν ἅπαντα, καὶ ἀεὶ σύνθετα φυσικῶς καὶ ποσωτικῶς, ἦν ἂν ταύτῃ γε ἅπαντα, καὶ ἀεὶ ὅλα. ( §. υιέ. ) Ἀνάγκη δὲ ἐπὶ τῶν σωμάτων εἶναι καὶ μέρος, ὃ μὴ ὅλον φυσικῶς. ( §. υθ'. υί. ) Ἄρα κτ.

Σχό-

(1) Λογικ.

## Σχόλιον.

§. υκζ΄. Εἶτα τί δήποτε φύσεις μὲν τινὰς ἁπλουστάτας, ἀναγκαίως εἶναι ἐν τοῖς σώμασιν ἀξιώσομεν, ἐξ ὧν αἱ τῶν μικτῶν συστάσεις, οὐχὶ δὲ τῷ ἴσῳ λόγῳ καὶ μόρια εἶναι τινὰ ἐλάχιστα, ἐξ ὧν αἱ τῶν σωματικῶν ἐκτάσεων ὁλοσχέρειαι, ὑφεστάναι οὐ δικαιώσομεν; Καὶ πέρας μὲν ἀναλύσεων ἐν τῇ φύσει δώσομεν, πέρας δὲ διαιρέσεων οὐ συγχωρήσομεν; Αὕτη γὰρ δὴ κοινὴ μία, τῶν ὅσοι ποτὲ φιλοσοφεῖν ἐπεχείρησαν, δόξα, μηδόλως εἶναι δυνατὴν ἐν τῇ φύσει τὴν εἰς ἄπειρον πρόοδον ἀξιοῦσα, χρῆναι δὲ τέως ἀπὸ τῶν συνθέτων ὡρμημένους, ἐπὶ τινὰς ἀφικέσθαι φύσεις, ἐξ ὧν τὰ μικτὰ, ὡς ἐκ στοιχείων συναρμολογεῖται, καὶ εἰς ἃς αὐτὰ δὴ ταῦτα ἐσχάτας, καὶ ἀναλύεται. Καὶ γὰρ καὶ οἱ ἀπείρους ἐν τῇ φύσει τὰς ἀρχὰς ὑποθέμενοι, οὐχὶ καὶ ἐπ' ἄπειρον ἀναλυομένας ἐτίθεντο, ἀλλὰ πρώτας. Εἰ γοῦν ταῦτα, φανερὸν ὅτι, διὰ τὸν αὐτὸν λόγον, οὐκ ἐξέσται ἐς ἄπειρον χωρεῖν, οὐδ' ἐπὶ ταῖς διαιρέσεσι. Τέρματα δὲ κἀνταύταις θετέον οὐδὲν ἧττον, καὶ ἀφικτέον ἐς τὰ ἐλάχιστα, ἐξ ὧν ὡς πρωτίστων συνολοκληροῦται τὰ σώματα, καὶ εἰς ἃ ταῦτα, ἔσχατον ἀποκερματίζεται. Ἐπίσης δ' ἑκατέρωσε τὴν ἀπειρίαν φευκτέον, ἐκεῖσε μὲν τῶν εἰδῶν, ὧδε δὲ τῶν μερῶν. Ὡς οὐδὲν ἧττον δέον ἐνεργείᾳ ἐν τοῖς συνθέτοις τὰ εἴδη ἐνεῖναι, ἐξ ὧν ἐκεῖνα, ἢ ἐν τοῖς ὁλοσχερέσι τὰ μέρη, ἐξ ὧν ταῦτα. Τὸ γὰρ δυνάμει λέγειν τὰ μέρη τοῦ ὁλοσχεροῦς, τὴν ἐν τούτῳ ἔχειν ἐνύπαρξιν, τί ποτ' ἂν ἄλλο εἴη, ἢ καὶ τοῦ ὅλου αὐτοῦ τὸ εἶναι ἐξόμνυσθαι; (§. υζ΄. υή.) Σύνδρομα γὰρ ἀεὶ τῷ ὅλῳ τὰ μέρη, καὶ τῷ μὲν δυνάμει, δυνάμει· τῷ δ' ἐνεργείᾳ, ἐνεργείᾳ, (§. αὐτ. καὶ τγή.) καὶ ταῦτα ὁ ὀρθὸς λόγος αἱρεῖ· οὐδὲν γὰρ ἐκεῖνο ἕτερον, ἢ ταῦτα, ἢ ἅμα· οὐδὲν δὲ ταῦτα, ἢ ἐκεῖνο, ᾗγε μεμέρισται. (§. υιά.) ὡς εἴπερ ἡμῖν τὸ δυνάμει τῆς διαιρέσεως ἐπὶ τοῦ ποσοῦ ὑποκρούσειαν, τὸ δυνάμει τῆς ἀναλύσεως ἐπὶ τοῦ μικτοῦ ἀντικρούσομεν. Καὶ καθάπερ δυνάμει μὲν ἡ τοῦ μικτοῦ ἀνάλυσις εἰς τὰ ἁπλᾶ, ἐνεργείᾳ δὲ τὰ ἁπλᾶ τῷ μικτῷ ἐστὶν ἐγκείμενα. Οὕτως ἐκ τοῦ παραπλησίου, δυνάμει

μὲν

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

μὲν ἡ τοῦ συνεχοῦς διαίρεσις ἐστὶν ἐροῦμεν, εἰς τὰ μέρη, ἐνεργείᾳ δὲ τὰ μέρη ἐν τῷ συνεχεῖ. Εἰ δὲ διὰ τὸ ἐνεργείᾳ ἐνεῖναι τῷ μικτῷ, τὰ ἐξ ὧν αὐτὸ, πέρας αὐτοῖς τῷ ἀριθμῷ ἐπιθετέον, ὡς ἂν μὴ τὸ ἐνεργείᾳ παρεισενεχθῇ ἄπειρον, ὅπερ ἡ φύσις ἀπέστραπται, οὕτως ἐκ παραλλήλου διὰ τὸ ἐνεργείᾳ ἐνεῖναι τῷ συνεχεῖ τὰ ἐξ ὧν καὶ τοῦτο, πέρας καὶ τούτοις δοτέον διὰ τὸν αὐτὸν λόγον. Ἀλλὰ γὰρ πεπερασμένων ὄντων τῶν ἁπλῶν, ἄχρι τινὸς χωρεῖ τὰ τῆς ἀναλύσεως, ἄρ' οὖν καὶ τῶν μερῶν τὰ τῆς διαιρέσεως. Ναὶ φήσεις. Ἀλλ' ἡ μὲν ἐξ ἁπλουστέρων εἰδῶν σύνθεσις, οὐκ ἐξ ἀνάγκης παρεπόμενον τῷ σώματι καθέστηκε πάθημα, ἡ δὲ ἔκτασις καὶ τῶν πάνυ ἀναγκαιοτάτων· ὡς ἐκείνης γε ἄνευ, εἴη ἂν ῥᾳδίως ἡ σωματικὴ φύσις, καὶ νοηθείη, ταύτης δὲ δίχα, θᾶττον ἂν παρῇ τὸ εἶναι, ἢ νοηθείη. Παρέπεται δὲ τῇ μὲν ἀνάλυσις, τῇ δὲ διαίρεσις, ταύτῃ τοι καὶ τὸ συνεχὲς οὐκ ἐξ ἀνάγκης μὲν ἀναλυτὸν, ἐξ ἀνάγκης δὲ διαιρετόν. Λέγεις δή μοι τὴν κατ' ἐπίνοιαν διαίρεσιν, ἢ τὴν φυσικῶς τελουμένην; Εἰ γὰρ ἐκείνην, δώσω ἀσμένως· ἔργον γὰρ οὐδὲν ἐπὶ ὁποστοῦν μορίου τὴν νοουμένην ἔκτασιν, ψιλῇ διανοίας ἐπιβολῇ διχάσαι. (§. τγδ'. τγε'.) Εἰ δὲ ταύτην, μέγα μ' αἰτεῖς, καὶ πολλῶν πάνυ δεόμενον· δεῖ γὰρ δυνάμεως, δεῖ δ' ἐνεργείας, δεῖ δὲ διαχωρήσεως, δεῖ δὲ πόρων, δεῖ δὲ τέως δυοῖν ἐλαττόνων τοῦ ἐλαχίστου, τῆς ἐπ' ἀλλήλοις ἐπιθέσεως. Ἔλαττον δὲ τοῦ ἐλαχίστου λέγειν εἶναι ἀεὶ, καὶ πέρατος οὐδὲν ἐν τῇ φύσει, ἧς τὸ ἄπειρον ἀπελήλαται, μόνου ἂν εἴη τοῦ προφανῶς ἑαυτῷ ἀντιπίπτειν παρ' οὐδὲν τιθεμένου. Τοιγαροῦν ἐρεῖς, παρ' ἔλλειψιν τῶν ἐκτὸς αἰτίων, καὶ οὐ καθ' αὑτὸ ἀδιαίρετον εἰρήσεται τὸ σωμάτιον· μὰ Δί', ἀλλὰ καὶ καθ' αὑτὸ, ἅτε δὴ ὁλόπληρες ὂν, καὶ μηδενὶ πεφυκὸς ἐπιτρέπειν τὴν δι' αὐτοῦ δίϊξιν, ὑφ' οὗπερ ἂν καὶ διαιρεθείη. Διὰ μὲν γὰρ πόρου πῶς ἂν οἷόν τε, εἰ μὴ ἐκ δυοῖν ἁπλουστέρων συνεστηκὸς, πόρων ἠμοίρησεν; Διὰ δὲ τοῦ πλήρους πῶς ἐνδέχεται; εἰ σῶμα διὰ σώματος χωρεῖν ἀδύνατον; Ἀλλ' οὕτως ἀπαντήσεις καὶ ὁ Ἄθως ὅλος, γένοιτ' ἂν ἡμῖν ἀδιαίρετος. Πάνυ μὲν οὖν, εἴγε καὶ πάντῃ ἄπορος. νῦν δὲ, οὐδὲ τοσοῦτον ἐστὶν ἐν τῇ φύσει οὐδὲν τὸν ὄγκον, ὃ διὰ τὸ ἀμερῶς ἐκτετάσθαι, κρεῖσσον ἐστὶ διαιρέσεως,

ἐδ᾽ εἴτι ἐκ μερῶν ἀλλήλοις ἐπικειμένων τῆς ὁλοχερείας ἐκ ἔτυχε, φύσει ποτὲ τομὴν ὑποςήσεται. Ἀλλὰ περὶ τέτε τῶν τεινόντων εἰς τὰς μεταφυσικὰς λόγες αὐτοὶ καθαψάμενοι, τὰ πλείω, ὅσα φυσικωτέραν ἔχει τὴν θεωρίαν, τοῖς φυσιολογεσιν ἀκριβεν παρήσομεν.

## Πορίσματα.

§. υκή. Ἐκ τῶν ἄχρι τέδε εἰρημένων φανερὸν, Α΄. ὡς ἡ ἔκτασις ἥκιςα λωβᾶται ἔτε τῇ φυσικῇ, ἔτε τῇ ποσωτικῇ τῶν σωμάτων ἁπλότητι. Β΄. κὴ ὅτι τὰ ὕτως ἁπλᾶ σωμάτια, σχήματος ἀμοιρεῖ, κὴ τέτε ἄτρεπτα. Ἐπεὶ μηδὲ πέφυκεν ἄλλως ἡ κατὰ σχῆμα τροπὴ συμβαίνειν, ἢ πυκνώσει, ἢ μανώσει, ἢ διαιρέσει, τῶν δὲ τοιέτων τὰ πάντῃ ἄπορα ἀνεπίδεκτα, ὃ κὴ πᾶσι τοῖς παλαιοῖς κὴ νέοις τῶν Ἀτομιςῶν ἔδοξε. Γ΄. κὴ τὸ θέσιν ἔχειν πρὸς ἄλληλα, ἣν πέφυκε καὶ ἀμείβειν ἄλλῃ πῃ κὴ ἄλλῃ μετατιθέμενα. Διὸ κὴ τὸ ἐκ τέτων, ἐκ μερῶν θέσιν ἐχόντων συνεςὼς εἴρηται. (1) Δ΄. κὴ τὸ μὴ ἐξ ἄλλων εἶναι, ὡς ἐκ ςοιχείων, ἐδ᾽ ἐξ ἀλλήλων, ἐδ᾽ εἰς ἄλληλα μεταποιεῖσθαι, ἢ ἄλλα. (ὡς ἐκ ἐνὸν ἐδὲ μίξει, ἐδ᾽ ἀποτομῇ τε κὴ ἀφαιρέσει, τέτο παθεῖν, ἀμέριςα πεφυκότα.) ἐξ αὐτῶν δὲ τὰς ποικίλας τῶν σωμάτων συςάσεις, ὡς ἐξ ἀρχῶν ἀπλεςάτων γίγνεσθαι. Ε΄. λαμβάνειν δὲ τὸ εἶναι ταῦτα, ἐκ τε μὴ ὄντος ἁπλῶς παραγόμενα, κὴ ὕτως αὖ εἰς τὸ μὴ εἶναι ἔχειν καὶ τρέπεσθαι. (§. σνθ΄. σξέ.) Ταύτῃ τοι κὴ ἐν ἀκαρεῖ, μηδαμῶς ἐν αὐτοῖς χώραν ἐχέσης, τῆς κατὰ γένεσιν, ἢ φθορὰν, ἐν χρονικοῖς διαςήμασι περαινομένης κινήσεως.

Θεώ-

(1) Ἀριςοτέλης ἐν τοῖς περὶ Ποσε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα Ρϙ'.

§. υκθ'. „ Τῶν σωμάτων τὰ ὁμοιοτρόπως ἁπλᾶ, τοῦ
„ κατὰ τὴν ἁπλότητα μᾶλλον καὶ ἧττον εἰσὶν ἀνεπίδεκτα.
„ Τὰ δὲ ὁμοιοτρόπως σύνθετα, δεκτικὰ, τὰ μὲν εἴδεσι, τὰ
„ δὲ μέρεσι τοῦ μᾶλλον, καὶ ἧττον τῆς συνθέσεως.

Ὁμοιοτρόπως γὰρ ἁπλᾶ τὰ σώματα ἐστὶν, ἢ διὰ τὸ μονοειδῆ εἶναι, καὶ ἐν πλήθει μερῶν, ἢ διὰ τὸ μονοπαγῆ, καὶ ἐν μεγέθει ἐκτάσεως. (§. υιζ'. υκζ'.) ἀμέλειτοι τὰ μὲν διὰ τὸ ἑνιαῖον τοῦ εἴδους, τὰ δὲ διὰ τὸ ἑνιαῖον τοῦ μέρους· καὶ τὰ μὲν διὰ τὴν ἀπουσίαν τῆς ἐξ εἰδῶν, τὰ δὲ διὰ τὴν τῆς ἐκ μερῶν συνθέσεως. (§. αὐτ.) Ἀλλὰ γὰρ ἐν οἷς ἑνὰς τὸ προκείμενον, καὶ ἁπλῶς ἀπουσία, οὐδὲ τὸ μᾶλλον ἐν τούτοις, καὶ ἧττον χωρεῖ. Τί γὰρ ἂν εἴη ἧττον τοῦ εἶδος; τί δ' ἂν γένοιτο ἧττον τοῦ ἁπλῶς μὴ ἔχειν; Ἄρα κτ. Ο. Η. τὸ Α'.

Ὁμοιοτρόπως δὲ σύνθετα τῇ κατὰ τὰ εἴδη συνθέσει, ἐν οἷς πλῆθος εἰδῶν ἁπλουστέρων ἐνθεωρεῖται φύσει διαφερόντων. (§. υιζ'.) Τῇ δὲ κατὰ μέρη, ἐν οἷς πλῆθος μορίων ἐνυπάρχειν νοεῖται πράγματι διαιρετῶν. (§. αὐτ.) Τῷ δὲ πλήθυϊ τὸ μεῖζον καὶ ἔλαττον παρέπεται. Ἄρα καὶ τῇ κατ' αὐτὴν συνθέσει τὸ μᾶλλον καὶ ἧττον ἐφέψεται. Ἄρα κτ. Ο. Η. τὸ Β'.

## Θεώρημα ΡϙΑ'.

§. υλ'. „ Τὸ ὅμοιον καὶ ἀνόμοιον, οὐ μόνον ἐπὶ τῶν ἐν
„ τοῖς σώμασιν ὁμοιοτρόπως συνθέτων, ἀλλὰ δὴ καὶ ἐπὶ
„ τῶν ἁπλῶν οὐδὲν ἧττον ἢ εἴδει, ἢ μέρει σωμάτων, πα-
„ ρακολουθεῖ· λέγω δὲ ὅπωσοῦν διὰ τὰ ἐν §. τκά. τκβ.
„ καὶ τκϛ'.

Τῶν γὰρ εἴδει συνθέτων δύω τὰ τυχόντα, ἢ ἐκ τῶν αὐτῶν, καὶ ἰσαρίθμων εἰδῶν συγκροτεῖται, ἢ μὴ ἐκ τῶν αὐτῶν, μηδὲ ἰσαρίθμων. Καὶ πάλιν τῶν μέρεσι συνθέτων, ἤτοι ἐξ ἰσοπληθῶν μερῶν, καὶ ὁμοιοθέτων, καὶ ὁμοιοσχημό-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νων ἑκάτερον, ἢ τὸ μὲν ἐκ πλειόνων, τὸ δὲ ἐξ ἐλασσόνων, καὶ τὸ μὲν ἐκ τῶν οὕτω θέσει καὶ σχήματι ἐχόντων, τὸ δὲ ἐκ τῶν ἄλλως. Ἀλλ' ἐκείνως μὲν ὅμοια, οὕτω δ' ἀνόμοια. Ἄρα κτ. Ο. Η. τὸ Α΄.

Ἀλλ' ἔσω δὴ μονοειδῆ δύω τὸ μὲν Α, τὸ δὲ Β, καὶ ἐξ ἰσοπληθῶν μερῶν, καὶ ὁμοιοσχημόνων, καὶ ὁμοιοθέτων, καὶ ὅμοια ἔσαι. Ἄλλως ἀνόμοια. Ἢ καὶ δύω τῶν ἀπλουςάτων σωμάτια, εἴδει καὶ μεγέθει, καὶ σχήματι, δυνατὸν εἶναι καὶ ὅμοια, καὶ μή. (§. τκβ΄. τκϛ΄.) Ἄρα κτ.

# ΚΕΦΑΛΑΙΟΝ Θ΄.

## Περὶ Τελειότητος, καὶ Ἀγαθότητος.

§. υλα΄. Παρωνύμως ἀπὸ τοῦ τέλους εἰρῆσθαι τὴν τελειότητα, σὺν Ἀριστοτέλει (1) πειθόμενος „ ἐσχάτην εἶναι φημὶ „ τοῦτο ἀκρότητα, καθ' ἣν γινομένῳ τῷ πράγματι μηδὲν ἐλ„ λείπει τοῦ κατὰ φύσιν μεγέθους. Ἐπειδὴ δὲ ἢ ἐφ' ἑνί τινι καὶ μόνῳ ἀπλουςάτῳ γνωρίσματι ἐπιθεωρεῖται τὸ τῆς ἀκρότητος, ἢ ἐπὶ τῇ ἐκ γνωρισμάτων πλειόνων συνισαμένῃ φύσει, τούτου χάριν τὴν μὲν προσόντος τελειότητα ἀποκαλεῖν ἀξιῶ, τὴν δὲ ὄντος. Καὶ τὴν μὲν ἁπλῆν, ἧς ἐν ἐπιτάσει τὸ ἔσχατον, οἷα ἂν εἴη ἡ κατ' ἐπιςήμην, ἡ κατὰ δικαιοσύνην, καὶ αἱ παραπλήσιαι τελειότητες. Τὴν δέπως σύνθετον λογικῶς, ἧς ἐν πλήθει τῶν προσόντων τὸ πλήρωμα, ὧν οὐσία τις μετέχειν νοεῖται. Καὶ αἱ κατὰ τὰ προσόντα δὲ ἁπλούςεραι τελειότητες, ἤτοι ἁπλῶς ἁπλαῖ παρὰ τοῖς Σχολαςικοῖς ἀκούουσι, καὶ ἄκρατοι, οὐδὲν οὐδ' ἴχνος γοῦν ἀτελειότητος ὑπεμφαίνουσαι, οἷαι δικαιοσύνη σοφία, ἃς καὶ παρεῖναι ἄμεινον, ἢ ἀπεῖναι φασίν. Ἢ γοῦν ἀτελειότητι εἰσὶν ἀνακεκραμμέναι τινὶ, καὶ ἐν μέρει πως τῆς κλήσεως ἐξιούμεναι,

(1) Μεταφ. Δ. Κεφ. ιϛ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ναι, οἷον αἴσθησις, κίνησις, ὧν οὐδ' ἡ ἀπουσία ἀεὶ τῆς παρουσίας δευτέρα τίθεται. Ἐκεῖναι δὲ αὖθις, ἢ ἀναυξεῖς τε οὖσαι καὶ ἀμείωτοι, ἐν ἀπειρίᾳ τὸ ἄκρον ἀραρὸς πλουτοῦσαι, τῆς θειοτέρας ἔσονται μοίρας, ἢ τοὐναντίον ὑπερβολῆς εἰσὶ δεκτικαὶ, καὶ ἐλλείψεως, καὶ τῆς πεπερασμένης φύσεως εἰσὶν ἴδιαι.

§. υλβ'. Τὸ μὲν οὖν ΟΝ τὸ ὑπέρτατον, καὶ ἐπιτάσει καὶ πλήθει, μεθ' ὑπερτελοῦς τῆς ἁπλότητος, τὰς ἁπλῶς ἁπλᾶς ἐν ἀπειρίᾳ ἔχον, μᾶλλον δὲ οὐδ' ἔχον, ἀλλ' ὄν, ἡλίκας τε καὶ ὅσας οὐδ' αὖ περινοεῖν θνητή τις ἐξισχύσειε φύσις, εἰκότως ὑμνεῖται ἀπειροτέλειον, καὶ ἀπολύτως τέλειον. Τὰ δὲ παρ' αὐτὸ λεγόμενα ὄντα, τοῖς ἐσχάτοις ὅροις τῆς ἐπιτάσεως καὶ πληθύος, τῶν κατὰ φύσιν αὐτοῖς προσηκουσῶν τελειοτήτων ἐπιβάντα, τέλεια καὶ αὐτὰ γεραίρεται. Καὶ ταῦτα μὲν, ὡς Ἀριστοτελικῶς εἰπεῖν,, τῷ μὴ ἔχειν ὑπερβολὴν πρός τι ,, γένος, ἤ τινα γένη, (1) κατὰ τὸ μᾶλλον καὶ ἧττον τέλεια, καὶ ,, κατά τι. Τὸ δὲ τῷ μὴ ἔχειν ὑπερβολὴν ἐν ἑκάστῳ γένει, ἁπλῶς τέλειον, καὶ ὑπερτέλειον.

§. υλγ'. Τὰ δ' ἐκείνως λεγόμενα τέλεια, καὶ κατὰ γένη τῶν αὐτοῖς προσουσῶν τελειοτήτων διαφέροντα, ἤτοι ἠθικῶς ἐστὶ τέλεια, ἢ φυσικῶς, ἢ μεταφυσικῶς. Καὶ ἠθικῶς μὲν, δι' ὑπεροχὴν καὶ περιουσίαν ἀρετῶν, ὧν διὰ πόνου πολλοῦ, καὶ πυκνῆς μελέτης, ἐν ἕξει ἀκροτάτῃ ἐγένετο, τέλειος, ὅς τις δή ποτε καὶ ἐγένετο. Φυσικῶς δὲ ὁ τῶν κατὰ φύσιν προσηκουσῶν αὐτοῦ τῷ εἴδει δυνάμεων, ἐν ἀκροτάτῃ δεξιᾷ τε καὶ ἀκμῇ θάλλων, τέλειος ἄνθρωπος, καὶ ἵππος, καὶ εἴτι ἕτερον. Μεταφυσικῶς δὲ ἅπαντα τέλεια, ὅσα τοῖς συστατικοῖς αὐτῶν τῆς οὐσίας γνωρίσμασι νοεῖται κοσμούμενα.

§. υλδ'. Ἐκ δὲ δὴ τούτων καὶ ἀτελὲς εἶναι κατὰ τὸν ἐναντίον λόγον ὁρισόμεθα, ὅπερ αὖ ἀπείη τι, τῶν κατὰ τὰ ἀνωτέρω γένη (§. υλγ'.) παρεχομένων τὸ εἶναι τέλειον, ἢ καὶ πλείω· ἢ γοῦν, εἰ μὴ παρὸν εἴη κατὰ ἐπίτασιν τὴν ἀξιόχρεων. Ἔτι δὲ καὶ τῶν τελειοτήτων ἃς ἐλάσσονας εἶναι κεί-

(1) Ἀρισ. ἔνθα ἀνωτέρ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κείνομεν, παραθέσει τῇ πρὸς τὰς μείζους, ἐν μοίρᾳ πίπτειν ἀτελειοτήτων εἰώθαμεν. Τὸ δὲ ἧττον τέλεον, πρὸς τὸ μᾶλλον παραμετρούμενον, ἀτελὲς ἀποφαίνεσθαι. Ἐπὶ τούτοις, καὶ τὸ ἀτελὲς ἡμῖν ἔλεγχος ἐστὶ σαφής, ὅτι τὸ τοιοῦτο πεπέρασται. Ἄπειρος δὲ εἶναι τίθεται ἡ τελειότης, ἧς οὐδοῦ κρεῖττον περινοῆσαι ἐθέλομεν. Ὅπερ εἶδος ἐστὶν ἀπειρίας ἀποφατικῆς. Τὸ γὰρ θετικῶς ἄπειρον, ὡς ἄρα τὴν καθ' ἡμᾶς γνῶσιν πεπερασμένην οὖσαν ὑπερβεβηκός, ἀνθρώποις οὖσιν ἀπερινόητον.

## Θεώρημα ΡηΒ΄.

§. υλέ. „ Ἅπαν ὂν μεταφυσικῶς ἐστὶ τέλειον ἐξ ἀνάγ-„ κης· φυσικῶς δὲ, ἢ ἠθικῶς ἐνδέχεται καὶ μή.

Τὸ γὰρ μεταφυσικῶς τέλειον, ἐν τοῖς συστατικοῖς ἐτέθη γνωρίσμασι τῆς ἑκάστου οὐσίας. ( §. υλγ΄. ) παντὸς δὲ ὄντος ἡ οὐσία τῶν ἐν αὐτῇ οὐσιωδῶν γνωρισμάτων ἐσωτερικῶς οὖσα ἀπηρτημένη ( §. σλγ΄. ) κατ' αὐτὰ καὶ ἀναγκαία ἐστὶ, ( §. σμδ΄. ) καὶ δὴ καὶ ἄτρεπτος. ( §. σμέ. κξ΄. ) Ἅπαν ἄρα ὂν, τὸ μεταφυσικῶς εἶναι τέλειον ἐξ ἀνάγκης πλουτεῖ. Ο. Η. τὸ Α΄.

Ἀλλὰ γὰρ οὐθ' αἱ τὴν φύσιν ἑκάστου περικοσμοῦσαι δυνάμεις, ἀπαραποδίστως ἀεὶ πρὸς ἐνέργειαν ἔχουσι, τῇ πρὸς τὰ ἐναντία κράσει τε καὶ ἀντιπεριστάσει συχνῶς κολαζόμεναι, καὶ δὴ καὶ τέλεον τὰ πολλὰ ἐκλείπουσαι. Τό,τε πρὸς τὰς κατ' ἀρετὴν ἐπιδόσεις καματηρὸν καὶ ἐπίπονον, καὶ τ' ἄλλα ἅπερ πλεῖστα ὅσα ἐμποδὼν γίνεσθαι φιλεῖ, δυνατὰ πολὺ τῆς τούτων ἐστὶ περικόπτειν ἀκρότητος· καὶ οὐχ' ὅπως, ἀλλὰ καὶ ἐπὶ τὴν ἐναντίαν μοῖραν πολλάκις ἀντιπεριάγειν, ὡς καὶ πείρᾳ μὲν παντίπου ἐστὶ προφανὲς, καὶ μὲν δὴ καὶ λόγῳ οὐδὲν ἧττον τὸ πιστὸν ἔχει καὶ βέβαιον, διὰ τὸ ἐνδεχομένως τὰ τοιαῦτα περὶ τὴν οὐσίαν γίνεσθαι. ( §. σξή. σξθ΄. σό. ) Ἀρ... α τὸ Β΄., καὶ τὸ Γ΄.

Θεώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΡϞΓ΄.

§. υλϛ΄. „ Τὸ μέζον τῆς ἑκάστῳ παρεκούσης μεταφυσικῆς „ τελειότητος, ἐπ᾽ ἀκριβὲς περινοῆσαι ἀδυνατοῦμεν.

Διασόθεν. Καὶ γὰρ καὶ τὴν πληθὺν ἁπαξαπάντων τῶν προσόντων, ὧν ἡ ἑκάστου οὐσία ἠυμοίρηκε, διελθεῖν πρὸς ἀκρίβειαν χαλεπόν. ( §. σλά. ) Καὶ τὴν κατ᾽ ἐπίτασιν ἀκρότητα τούτων, εἰς ἣν ἐλάσαι ἂν ἔχοι, στῆσαι ἀδύνατον. Πόθεν γάρ; ἀλλ᾽ ἑκατέρωθεν τοῖς οὖσι συγκροτεῖται τὸ τέλεον. ( §. υλά. υλβ΄. ) Ἄρα κτ.

## Πόρισμα.

§. υλζ΄. Εἰ δ᾽ οὕτως ἐπέκεινα νοῦ γίνεται τὸ περιγεγραμμένον ἔχον τὸ τέλειον, κατά τε πληθὺν, καὶ κατ᾽ ἐπίτασιν, πόσῳ δὴ μᾶλλον τὸ καθ᾽ ἑκάτερον διαφέρον τῇ ἀπειρίᾳ, ἁπάσης ἔσται ὑπερδεδραμένον νοήσεως;

## Θεώρημα ΡϞΔ΄.

§. υλή. „ Τὰ πρός τι μόνος τέλεια, τῇ τε κατ᾽ αὐτὸ τοῦ„ το περιγραφῇ, καὶ τῇ πρὸς τὰ ἄλλα συγκρίσει τῶν γένε„ σι διαφερόντων, ἀτελῆ εἶναι ἁπλῶς εἰκάζομεν. Παραθέ„ σει δὲ τῇ πρὸς τὸ ἐν ἑκάστῳ γένει τέλειον, οὐδαμῶς.

Περιγραφόμενα γὰρ τὰ τοιαῦτα εἰδότες τισὶ τελειότησι, καὶ ἄλλα ἄλλαις τῶν ἡμῖν καταφανεστέρων καλλυνόμενα, ἄλλων δὲ πλειόνων ἀποστερούμενα, οὔτ᾽ ἐκεῖνα τούτων ἐν μεθέξει κείμενα, οὐδὲ ταῦτα ἐκείνων, καὶ πέρατα οὕτως αὐτοῖς, καὶ ὅρους οἷον τινὰς ταῖς περιγραφαῖς τιθέαμεν τῶν τελειοτήτων ἑκάστου τῷ πλήθει. Τὰ δ᾽ ὧδε πως νοητὰ κατά τι τέλεια. ( §. υλβ΄. ) Ἁπλῶς οὐκ ἔστι τέλεια. Ἀτελῆ ἄρα. Ὃ τὸ Α΄.

Εἰ δὲ τῇ παραθέσει τῇ πρὸς τὸ ἐν ἑκάστῳ γένει τέλειον, εἰς ὑπόνοιαν τῆς κατ᾽ ἐκεῖνα ἀτελειότητος ἐγινόμεθα, ἣν ἂν ἡμῖν αὐτὸ τοῦτο νοητὸν πρὸς ὃ ἡ παράθεσις, ἡλίκον



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τε καὶ ὅσον ἐστὶ, πολὺ πρότερον. ( ἔδει γὰρ δῆλον εἶναι τὸν ὅρον ) Ἀλλ' οὐκ ἔστιν. Ἀτονεῖ γὰρ ὁ νοῦς περιδράξασθαι τοῦ ἀπείρου. ( §. υλζ'. ) Εἴπερ οὐδὲ πρὸς τὴν γνῶσιν τῶν πεπερασμένων ἰσόπαλος κρίνεται. ( §. υλς'. ) Τὸ δὲ ἐν ἑκάστῳ γένει τέλειον, καὶ ἀπειροτέλειον. ( §. υλβ'. ) Ἄρα καὶ τὸ Β'.

## Σχόλιον.

§. υλθ'. Φαντιᾷν οὖν ἐμοὶ δοκεῖ ἀτέχνως ὁ Γάλλος Καρ-
τέσιος, ἐν οἷς (1) ἐκ τῆς ἐννοίας τῆς ἀτελειότητος τὴν φερο-
μένην, προσνοῦσαν ἡμῶν τῇ ψυχῇ τὴν ἰδέαν τῆς τελειότητος
εἰσβάλλων, καινήν τινα καὶ ἀήθη, καὶ ἀτριβῆ τοῖς ἄλλοις
ἐξευρηκέναι δεῖξιν ἐκόμπασεν, ἥπερ αὖ κατασκευάσειε τοῦ
ἀκροτάτου ὄντος ἡμῖν τὴν ὕπαρξιν. Πόθεν γάρ; „Ἡ ἀποφατι-
„κὴ, φησὶν, ἰδέα ἐξῆπται τῆς θετικῆς. Ἆρ' οὖν καὶ ἡ τῆς
„ἀτελειότητος φύσει ὑστέρα τῆς παρισώσης τὴν τελειότητα.
„Ἀλλαμὴν ἅπανθ' ὅσα ἐν τοῖς οὖσιν, ἀτελῆ οἶδα ὄντα.
„Οὐκοῦν φέρω προηγουμένως τὴν τοῦ τελείου, κατὰ νοῦν, ἔν-
„νοιαν. Ἡ δὲ πόθεν ἄν μοι ἐγγένοιτο ἄλλοθεν, ἢ παρ' αὐ-
τοῦ τοῦ ὄντος τοῦ ὑπερτελοῦς ἀποκληρωθεῖσα, καὶ ἀπὸ γενετῆς
ἐμοὶ ἐγκατασπαρεῖσα; ὑπάρχει ἄρα τὸ ὑπερτελὲς Ὂν ἐκεῖ-
νο ( ὡς ὑποσυνάπτειν ἀξιοῖ ) καὶ ἀκρότατον. Ἀλλ' ἔχομεν
ἄρα καὶ Πηλοβάμονά τινα, ἐκ διαμέτρου τῷ Οὐρανοβάμονι ἀν-
τιβαίνοντα. Ὁ μὲν γὰρ ἐκ τῆς καλλονῆς τῶν ὁρωμένων,
τὴν τῶν ἀοράτων εἰσέβαλλεν, οὗτος δὲ τοὐναντίον ἡμῖν ἐκ
τούτων δὴ τῶν κρειττόνων, σταθμᾶσθαι ἀξιοῖ τὰ ὁρώμενα.
Τοῦτο οὖν ἐγὼ ἡδέως πυθοίμην, εἰ αἱ ἀποφάσεις ἐπὶ Θεοῦ
οἰκειότεραι τῶν καταφάσεων εἰσὶ καὶ ἀσφαλέστεραι, καὶ αἱ ἄρ-
σεις τῶν θέσεων, ἢ τὸ ἀνάπαλιν; Εἰ μὲν γὰρ τοῦτο, ἐπεὶ οὐ-
δὲν ἂν ἔχοιμεν τῷ ὑπερτελεῖ ἀναθέσθαι, ὅσον ἂν καὶ νοῦν
θήξαιμεν, εἰς ἀπειρίαν προῆκον, πεπερασμένην ἤπου αὐτῷ

καὶ

(1) Ἐν Μελέτῃ τρίτῃ τῶν αὐτοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τὴν τελειότητα προσαναπλάσομεν· οἷον δηλονότι κατὰ διάνοιαν φέρομεν, οὐ γὰρ ἄλλως. Εἰ δὲ αἱ ἄρσεις (ὃ καὶ τοῖς θεσπεσίοις Πατράσιν, ἀσυγκρίτως ἄμεινον ἐκείνου θεολογοῦσι, κοινῇ δεδοκίμασται.) ἡ ἄρα τελειότης ἡ ὑπεράπειρος, καθ᾽ ἣν ἐξυμνεῖν τὸ Θεῖον εἰώθαμεν, οὐδὲν, ὅ,τι μὴ τῶν ἡμῖν νοουμένων τυπωνὶ τελειοτήτων, καὶ ἐπιτάσει καὶ πλήθει, ἐστὶν ἐξαίρεσις. Ὥστε οὐ καλῶς, ὁ τὸ ἀστιβὲς ἡμῖν ὑποδείξας τουτὶ χωρίον Φιλόσοφος, θετικὴν ὑπέθετο ἐπὶ Θεοῦ, τῆς κατ᾽ αὐτὸν τελειότητος ἣν ἔχομεν ἔννοιαν. Καὶ τῆς κρηπῖδος τοίνυν οὕτω; αὐτῷ ὑποσαλευθείσης, εἰς ἔδαφος ἐῤῥύη τὸ (οὐκ οἶδ᾽ ὁπότερον εἴπω ὑπὲρ τοῦ Θεοῦ, ἢ κατὰ τοῦ Θεοῦ;) ἐπαιρόμενον ὕψωμα. Ἀλλ᾽ ὑπολαβὼν ἐρεῖ τάχα ἐκεῖνος, πόθεν ἡ τῆς κατὰ τὰ ὄντα ἀτελειότητος, ἐμπεφιλοχώρηκεν ἡμῖν ἔννοια; Πόθεν δή; εἰμὴ ἐκεῖθεν, ὅθεν τὸ Θεώρημα φθάσαν ἐδίδαξεν; (§. υλή.)

## Θεώρημα ΡϞΕ'.

§. υμ'. „ Τὸ ἀπειροτέλειον ὌΝ ἅπασαν ἰδέαν πλουτεῖ „ τελειότητος. Καὶ αἱ μὲν κατά τι οὐκ εἰσὶν αὐτῷ εἰδικῶς. „ Τὰς δὲ ἁπλῶς ἁπλᾶς, οὐδὲν κωλύει, μᾶλλον δὲ ἐπάναγ- „ κες αὐτῷ εἰδικῶς ἐνεῖναι. Πλὴν οὐχ ὥσπερ ἡμῖν τυγ- „ χάνουσιν οὐδ᾽ αὐταὶ ἐννοούμεναι, λόγῳ δὲ ἀσυγκρίτως ὑπερ- „ τέρῳ καὶ κρείττονι.

Τούτῳ γὰρ ἐν ἀπειρίᾳ, καὶ ἐπιτάσει καὶ πλήθει αἱ προσοῦσαι εἰσὶ τελειότητες. (§. υλβ'.) Ἄρα τὸ Α'.

Ἀλλ᾽ αἱ κατά τι τελειότητες λεγόμεναι εἰδικῶς ἐκληφθεῖσαι, παρυφιστάμενον αὐταῖς, τὸ τῇ ἀναμίξει τῆς ἀτελειότητος φέρουσιν αἶσχος. (§. υλά.) ἀτελειότητος δὲ πάσης ἐπέκεινα τὸ ἀπειροτέλειον. (§. λ'.) Ἄρα καὶ τὸ Β'.

Αἱ δὲ ἁπλῶς ἁπλαῖ ἄκρατοι παντὴ τῆς τοῦ χείρονος ὑπάρχουσι μίξεως. (§. υλά.) Δέος οὖν οὐδὲν μήτιγε τὴν ἄχραντον ἐπιχραίνωσιν ἐντελέχειαν. Ἐπεὶ δὲ παρεῖναι αὐταῖς ἄμεινον, ἢ ἀπεῖναι (§. αὐτ.) καὶ ἐξ ἀνάγκης εἰσίν. Οὐδὲν γὰρ τοῦ ἀπειροτελοῦς κάλλιον. (§. υλδ'.) Ἄρα οὐδὲν κωλύει, μᾶλλον δὲ ἐπάναγκες κτ. Ο. Η. τὸ Γ'.

Ἐπεὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐπεὶ δὲ τῶν προσουσῶν τῷ ὑπερτελεῖ ὄντι τελειοτήτων ἑκάστη, τὸ κατ᾽ ἐπίτασιν ἄπειρον πλουτεῖ. ( §. υλβ΄. ) ἡμῶν δὲ ὁ νοῦς, ( ἅτε δὴ πεπερασμένος τὴν δύναμιν ὤν. ) θετικῶς ἑαυτοῦ πεπερασμένας, ταύτας παριστᾶν οἷος ἐστίν. ( §. υλδ΄. ) Οὐκ᾽ ἄρα ὥσπερ ἡμῖν εἰσὶν ἐννοούμεναι, λόγῳ δὲ ἀσυγκρίτως ὑπερτέρῳ καὶ κρείττονι, κτ. Ο. Η. τὸ Δ΄.

## Σχόλιον.

§. υμα΄. „ Ταῦτα γοῦν εἰδότες οἱ Θεολόγοι, καὶ ὡς ἀνώ-
„ νυμον τὴν θεαρχίαν ὑμνοῦσι, ( διὰ τὸ Δ΄. ) καὶ ἐκ παν-
„ τὸς ὀνόματος. ( διὰ τὸ Α΄. )... Καὶ πάντα τὰ ὄντα,
„ φασὶν αὐτὴν εἶναι ( κατὰ τὸ Α΄. ) καὶ οὐδὲν τῶν ὄντων ( κα-
„ τὰ τὸ Δ΄. )... Καὶ οὕτως ἐν τῇ πάντων αἰτίᾳ, καὶ ὑπὲρ
„ πάντα οὔσῃ, καὶ τὸ ἀνώνυμον ἐφαρμόσει, ( διὰ τοῦτο. ) καὶ
„ πάντα τὰ τῶν ὄντων ὀνόματα. ( δι᾽ ἐκεῖνο. ) (1)

## Περὶ Ἀγαθότητος.

§. υμβ΄. Τῇ τελειότητι πάντως ἡ ἀγαθότης συνέπεται· καὶ τούτων μεταξὺ, τοσοῦτον μόνον, ἀληθείας θηράτωρ ἀκριβὴς, εὕροι ἂν τὸ διάφορον, ὅσον τὸ ἐκείνης τῇ κατὰ τὸν νοῦν γνωστικῇ δυνάμει ὑποκειμένης, ταύτην τῇ κατὰ θέλησιν ὀρεκτικῇ καθυποβάλλεσθαι· κἀξ ἐκείνης μὲν τὸ τέλειον νοητὸν καθεστάναι καὶ ἀγαστὸν, ἐκ δὲ ταύτης τὸ ἀγαθὸν βουλητὸν τυγχάνειν καὶ ἐφετόν. Εἶναι γὰρ τ᾽ ἀγαθὸν οὗ πάντα ἐφίεται, τοῖς πᾶσιν ἠξίωται. Καὶ εἴποις ἂν, ὡς παρὰ τὸ ἄγαν θέειν περὶ αὐτὸ τὴν λογικὴν φύσιν, δι᾽ ἐφέσεως ἀνατεινομένην, ἀγαθὸν εἴρηται. Τοῦτο δὲ λέγω, οὐχ ὅτι τοῦ ἀγαθοῦ τῷ ὄντι πᾶς τις ἐρᾷ, ἀλλ᾽ ὅτι ὡς ἀγαθοῦ πᾶς παντὸς τῷ πόθῳ ἑάλω τε καὶ ἁλίσκεται.

§. υμγ΄.

(1) Διονύσ. Ἀρεοπαγ. Περὶ Θείων Ὀνομάτων Κεφ. α΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§. υμγ'. Ἐν γοῦν τῷ Διαλόγῳ, ὃς ἐπιγράφεται Φίληβος, τὰ τοῦ ἀγαθοῦ στοιχεῖα μανθάνειν ἐστὶ κατὰ Πλάτωνα, τρία τὰ κυριώτατα ὄντα, (1) „ τὸ ἐφετὸν, τὸ ἱκανὸν, καὶ τὸ „ τέλειον. Καὶ ἐφετὸν μὲν, ὡς ἅπαντα πρὸς ἑαυτὸ ἐπιστρέφον. Ἱκανὸν δὲ, ὡς τῇ μεταδόσει, τὸ εἶναί τε καὶ εὖ εἶναι τοῖς οὖσιν ἐπαρκοῦν· διὰ δὲ τὸ τέλειον εἶναι, ἑκάτερον. Τοιοῦτον δ' ἂν εἴη ἡ ὑπεράγαθος πρὸ πάντων ἀγαθαρχία, δι' ἧς κατὰ μέτρον, καὶ τὰ λοιπὰ ἀγαθύνεται. Τὸ γὰρ αὐτάγαθον πάντων ἐστὶ τῶν ὄντων κέντρον, καὶ ἡ πρὸς αὐτὸ τάσις τε καὶ ἔφεσις τῶν ὄντων ἄσβεστος ἐστίν. „ Ἄγνωστον γὰρ ὂν, ποθεῖ τὰ ὄντα τὸ ἐφετὸν τοῦτο, καὶ ἄληπτον, μήτε οὖν γνῶναι μήτε ἑλεῖν ὃ ποθεῖ δυνάμενα, περὶ αὐτὸ πάντα χορεύει, καὶ ὠδίνει μὲν αὐτὸ, καὶ οἷον ἀπομαντεύεται, (ὠδίνει μὲν, ὅτι οὐκ ἔχει ἑλεῖν, ἀπομαντεύεται δὲ, ὅτι οὐκ ἔχει γνῶναι.) τὴν δὲ ἔφεσιν ἀκατάληκτον ἔχει, καὶ ἄπαυστον, τῆς ἀγνώστου καὶ ἀῤῥήτου φύσεως αὐτοῦ λειπόμενα, „ καὶ περιπτύξασθαι, καὶ ἐγκολπώσασθαι τὸ ἐφετὸν ἀδυνατοῦντα.... Τὸ μὲν οὖν ἐφετὸν τοιοῦτον. Τὸ δέ γε ἱκανὸν δυνάμεως ἐστὶ πλῆρες ἀγαθοειδοῦς, καὶ πρόεισιν ἐπὶ πάντα.... Τοιαύτην γὰρ δὴ τὴν ἱκανότητα νομίζομεν εἶναι, „ δύναμιν ἐπὶ τὰ ἔσχατα διϊκνουμένην, καὶ διατείνουσαν.... „ Τὸ δὲ τέλειον ἐστὶ σύμμικτον ἐκ τοῦ ἐφετοῦ καὶ τοῦ ἱκανοῦ. „ Πᾶν γὰρ τὸ τοιοῦτον ὀρεκτὸν ἐστὶ, καὶ γεννητικὸν τῶν ὁμοίων. „ Ἢ οὐχὶ κἂν τοῖς τῆς φύσεως ἔργοις, τὰ τέλεια πανταχοῦ „ καὶ ἐραστὰ, διὰ τὴν τῆς ὥρας ἀκμὴν, καὶ γόνιμα τυγχάνει „ ὄντα; (2)

§. υμδ'. Κατὰ μὲν οὖν τὰς ἀνωτέρω ἀποδοθείσας διαιρέσεις τῆς τελειότητος, (§. υλγ'.) εἰς μεταφυσικήν τε, καὶ φυσικὴν, καὶ ἠθικὴν καὶ τῆς ἀγαθότητος διαιρουμένης, ἡ μὲν τὸ κατὰ τὸ τί ἦν εἶναι συνίστησιν ἀγαθόν· οἷον δὴ πᾶν ὂν ἐκ τῶν συστατικῶν αὐτοῦ τῆς οὐσίας γνωριζόμενόν τε καὶ τελειούμενον, ἐξ αὐτῶν, καὶ τὸ ἐφετὸν εἶναι κεκλήρωται. Ἡ

(1) Παρὰ Πρόκλ. τοῦ Διαδόχ. εἰς τὴν Θεολογ. τοῦ Πλάτ.
(2) Πρόκλ. ἔνθα ἀνωτέρω.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἡ δὲ τὸ φυσικὸν, τὸ ὑπὸ τῶν πρὸς τὰς κατὰ φύσιν αὐτοῦ συντελέσας ἐνεργείας, ἀκμαζουσῶν δυνάμεων συγκροτούμενον. Ἡ δὲ τὸ ἠθικὸν, τὸ ἐκ τῶν τελειωτικῶν τῆς ψυχῆς ἕξεων, καὶ νεύσεων ὁποιανοῦν, εἰς αἵρεσίν τε καὶ πρᾶξιν ἑτοίμην, τῶν συμφωνούντων τοῦ ὀρθῷ λόγῳ, περιγραφόμενον.

§. υμέ. Ἡ τοίνυν κινοῦν ταῖς τῆς ἐφέσεως ἴυγξιν ἕκαστα τ᾽ ἀγαθὸν, (§. υμγ΄.) ταύτῃ τοι καί τινος μετείληχεν ἀεὶ σχέσεως. Κοινὴ γεμὴν ἡ τοῦ ἀγαθοῦ εἰς τὸ ἄσχετον καὶ τὸ σχετικὸν διαίρεσις δεδοκίμασται. Καὶ ἄσχετον μὲν τὸ ἑαυτοῦ τελειωτικὸν ἂν ῥηθείη, σχετικὸν δὲ, τὸ παρ᾽ ἑαυτὸ, καὶ ἄλλῳ γινόμενον· ὃ δὴ καὶ ἠθικὸν πλατύτερον ὀνομάζειν εἰσὶν οἳ ἀξιοῦσιν. Τριττὸν δὲ τοῦτο. Ἤτοι γὰρ διότι ἕτερον αἱρετὸν τυγχάνει ὂν, καὶ συμφέρον καλεῖται· οἷον τὸ φάρμακον πρὸς ὑγίειαν, καὶ τὰ χρήματα διὰ τὰς χρείας, καὶ τ᾽ ἄλλα τῶν ἐκτὸς λεγομένων ἀγαθῶν, οἷς οἱ πολλοὶ κατεπτηχότες τὸ μακάριον προσπηγνύουσιν. Ἢ δι᾽ αὐτὸ θηρατὸν ἐστὶ, καὶ ἡδὺ λέγεται, ὡς ἄρα ἡδονῆς ὂν καὶ τέρψεως τοῦ ἔχοντι πρόξενον. Διττῶς δὲ, ἤτοι γὰρ καθ᾽ αὑτὸ αἱρετὸν τυγχάνον, καὶ ἐπαινετὸν ἐστὶν, οἷα ἡ ἀρετὴ, ἡ κατὰ Ζήωνα καὶ τοὺς Στωϊκοὺς ἀκραιφνὴς τοῦ κατὰ σχέσιν ἀγαθοῦ οὖσα ἀκρότης· ἢ ψεκτὸν ἐστὶ, καὶ τὸ κηλοῦν ἔχον τῇ τοῦ λόγου ὀρθότητι προσιστάμενον, οἷα ἡ κατὰ τὸ σῶμα ἡδονὴ, ὃν Ἀρίστιππος, καὶ οἱ ἐκ τῆς Κυρηναϊκῆς Αἱρέσεως κακοδαιμονοῦντες, ἔσχατον ὅρον εὐδαιμονίας ἐτίθεντο. (1)

§. υμς΄. Ἀντίθετον δὲ τοῦ ἀγαθῷ τὸ κακὸν, καὶ τούτου τὰ εἴδη τοῖς ἐκείνου· ὧν ἕκαστον ἐφ᾽ ὅσον διολισθαίνει τε καὶ ἐκπίπτει τῆς ἀγαθότητος, ἐπὶ τοσοῦτον καὶ τὸ ἐφετὸν εἶναι, καὶ ἱκανὸν, καὶ τέλειον παραιρεῖται, καὶ τὴν τοῦ κακοῦ ἀειδίαν ἀμπίσχεται. Καὶ κακὸν μὲν ἀσχέτως ἂν εἴη, τὸ καθ᾽ ἑαυτὸ τῆς προσηκούσης ἀπολειπόμενον τελειότητος. Κατὰ σχέσιν δὲ, ὃ καί τοι καθ᾽ αὑτὸ τοῦ ἀγαθοειδεῖ κάλλει σεμνυνόμενον, ἄλλῳ γεμὴν τοῦ ἐκστῆναι τε καὶ ἐκπεσεῖν τῆς ἀγαθότητος παραίτιον γίνεται· οἷον δὴ περιουσία πλούτου, ἢ δόξης κόμπος,

(1) Ὅρα Ἀριστοτέλην Α΄. Ῥητορικ. Κεφ. θ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πος, κόρον ἐμποιήσαντα, πρὸς ὕβριν τὸν ἔχοντα πολλάκις κατήνεγκε. Καὶ ἀρετῆς δὲ περιουσία καὶ μέγεθος ἄλλον, ἐπὶ κεφαλὴν ὥστε κατὰ κρημνοῦ μοχθηρίας ὑποτυφώσασα. Καθάπερ οὖν καὶ τοὐναντίον, τὸ αὐτὸ ἄλλως κακὸν, ἀγαθοῦ τινι πρόξενον ἀνεδείχθη· οἷον φέρ' εἰπεῖν ἡ τοῦ βραχίονος ἀποτομὴ, τὴν σωτηρίαν τοῦ ἀνθρώπου ἐπραγματεύσατο.

## Θεώρημα Ρϟϛʹ.

§. υμζʹ. „ Τὸ ἀπειροτέλειον, καὶ ἀπειράγαθον.

Τῇ γὰρ τελειότητι τῆς ἀγαθότητος ἐφεπομένης (§. υμβʹ.) ἀμφοῖν τε ἡ ἀπειρία σύνδρομος ἔσται, καὶ προσέσονται τοῦ αὐτοῦ.

## Θεώρημα ΡϟΖʹ.

§. υμηʹ. „ Τῷ ἀπειραγάθῳ οὐδὲν ἀγαθὸν ἂν εἴη σχε-
„ τικῶς· ἐκεῖνο δὲ ἀγαθὸν σχετικῶς τοῖς πᾶσιν.

Σχετικῶς γὰρ ἀγαθὸν ἐστὶν, ὅπερ ἄλλῳ τινὶ τελειωτικὸν γίνεται. (§. υμεʹ.) Ἐκεῖνο δὲ ἐστὶ τὸ Αὐτάγαθον, ᾧ οὐδὲν ἂν ἔξωθεν τελειωτικὸν γένοιτο ἀπείρῳ ὄντι, καὶ τελειωτικῷ ἁπάντων τῶν ἐξ αὐτοῦ ἀγαθυνομένων. (§. υμγʹ.) Ἄρα τὸ Αʹ. καὶ τὸ Βʹ.

## Πόρισμα.

§. υμθʹ. Καὶ ἀνενδεὲς δὲ ἄρα πάντῃ πάντως ἡ Αὐτάγαθος Ἀγαθαρχία· αὐτῆς δὲ δεῖται τὰ πάντα.

## Θεώρημα ΡϟΗʹ.

§. υνʹ. „ Τὸ ἀπειράγαθον καὶ αὐτάγαθον, δι' ἐκεῖνο μὲν,
„ παρυφισαμένην ἐν ἑαυτῷ κακίαν, διὰ δὲ τοῦτο ἀνθυφεστὼς
„ ἐκ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ ἐκτὸς αὐτῷ, τὸ αὐτοκακὸν πλαττόμενον ἔχειν, τῶν ἀδυ-
„ νάτων.

Παρυποςαίη γὰρ ἂν ἐν αὐτῷ κακία, ἐκςαῦτι τῆς ἀγαθότητος. ( §. υμς΄. ) Ἐκςαίη δ' ἂν τῆς ἀγαθότητος, ἤτοι ἐκλελοιπείας αὐτῷ τινὸς τῶν τελειοτήτων, ἢ τῆς μὴ προσηκέσης, εἰ τύχοι, προσγινομένης. ( §. υμβ΄. ) Ἀλλὰ τὸ ἀπειροτέλειον διὰ τὴν περιέσαν αὐτῷ ἀπειρίαν ἀναυξές τε καὶ ἀμείωτον. ( §. τπζ΄. ) Τὸ δὲ ἀπειροτέλειον καὶ ἀπειράγαθον. ( §. υμζ΄. ) Ἄρα... Ο. Η. τὸ Α΄.

Αὐτοκακὸν δ' ἂν εἴη ( ἐξ ὑποθ. ) τὸ πάντη πάντως τῷ αὐταγάθῳ ἀντίθετον. Καὶ οἱασὲν ἑπομένως τελειότητος ἄμοιρον. Εἴπερ ἦν ἀνθυφεςήκει τῦτο ἐκείνῳ, ἤτοι ὂν ἂν εἴη, ἢ μηδέν. Ἀλλ' εἰ μὲν τὸ πρῶτον, εἶχεν ἂν τὴν τῦ εἶναι τελειότητα, εἰ μηδὲν ἄλλο, καὶ ταύτῃ δὲ καὶ ἀγαθότητος τινὸς δὲ μοιρῦν, ἐκ ἂν εἴη αὐτοκακόν. ( §. υμβ΄. ) Οὐδὲ τῷ αὐταγάθῳ πάντῃ πάντως ἀντίθετον. Εἰ δὲ τὸ Β΄. ἐδ' ὑφεςὼς ἄρα τὴν ἀρχὴν ἂν εἴη. Ἄρα καὶ τὸ δεύτερον.

## Σχόλιον.

§. υνα΄. Καὶ τῦτον ἄρα τὸν τρόπον ἐπιῤῥαπίζεται ἡ τῶν Μανιχαίων ἄνοια, τῶν ὑπόςασιν τῷ ἀνυποςάτῳ χαριζομένων, καὶ φύσιν τινὰ αὐτόκακον ἀναπλαττομένων. Κατὰ τέτων γῦν θείως τῷ ὄντι καὶ ὁ Ἀρεοπαγίτης Διονύσιος (1) ἀγωνίζεται, ἀνυπόςατον πάντῃ τὸ κακὸν ἐν τοῖς ἦσιν ἀποδεικνὺς, καὶ τέως ἐπιφέρων, ὡς ἄρα ςέρησις ἐςὶ τῦτο, καὶ
„ ἔλλειψις, καὶ ἀσθένεια, καὶ ἀσυμμετρία, καὶ ἁμαρτία, καὶ
„ ἄσκοπον, καὶ ἀκαλλὲς, καὶ ἄζωον, καὶ ἄνεν, καὶ ἄλογον, καὶ
„ ἀτελὲς, καὶ ἀνίδρυτον, καὶ ἀναίτιον, καὶ ἀόριςον, καὶ ἄγονον, καὶ ἀργὸν, καὶ ἀδρανὲς, καὶ ἄτακτον, καὶ ἀνόμοιον, καὶ
„ ἄπειρον, καὶ σκοτεινὸν, καὶ ἀνέσιον, καὶ αὐτὸ μηδαμῶς μηδαμῇ μηδὲν ὄν. Ἀλλ' ἔςιν οἷς ἔδοξε μηδὲ τὲς Μανιχαίες ἐκεί-

(1) Περὶ Θείων Ὀνομ. Κεφ. δ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκείνους τὸ αὐτόκακον οὕτως ἐκδεξαμένους, ὃν δὴ τρόπον ἀνίδρυτον πάντῃ ἐστὶν, ἐν τοῖς οὖσι καθιδρυκέναι, νῦν δὲ ἄλλως εἰσαγηοχέναι τινὰ, οὔκουν μὲν πονηρὸν ὄντα φύσει, σχετικὴν δὲ τὴν πονηρίαν ἐπιφερόμενον, ( §. υμϛ΄. ) καὶ τοῖς πονηροῖς ἐπιχαίροντα. (1) Οὕτω γὰρ δὴ, ( ὅπερ ἡμῖν πρεσβεύεται περὶ τοῦ κακοδαίμονος ) μόνῃ ἂν τῇ προαιρέσει τοῦ παλαμναίου τελχῖνος ἐκείνου προσειβείη τὰ τῆς κακίας. Ἀγαθὴ δ' ἂν εἴη ἡ οὐσία, ὥσπερ καὶ παντὸς ὄντος, πολλαῖς τε κἀγαθαῖς δυνάμεσιν οὖσα κατάκομος. Τὸ τοίνυν περὶ τούτου, εἰ καὶ οὕτως ἔχειν ὑποτιθέμενον, ἐπὶ τὸ εὐλογώτερον ἔοικε ῥέπειν, καὶ οὐδ' ἐπὶ ποσὸν ἡμῖν τὸ Θεώρημα, ( §. υν΄. ) οἷον ἐστὶν ὑποσείειν, ( ἔῤῥωται γὰρ, εἰ οὕτως ἔχει, τὸ ἐν ἐκείνῳ δειχθὲν, ὡς τὸ αὐτόκακον ἀνυπόστατον, ἀγαθυνθέντος ὁπωσοῦν τοῦ περὶ οὗ ἡ σκέψις, κατὰ γοῦν τὸν λόγον τοῦ εἶναι, καὶ δύνασθαι. ) τὸ μέντοι δόγμα τόδε τοῦ Μάνεντος φευκτέον ὅσῳ καὶ αὐτὸ τὸ εἰσαγόμενον ἀρχέκακον. Ἐκεῖνος γὰρ ἀντίθεόν τι ἴσῃ τὸ τοιοῦτον, ἄναρχον, ἀΐδιον, πανσθενὲς, δημιουργὸν (2), τῶν ὅσα δοκεῖ τῆς μοίρας εἶναι τῆς χείρονος, ἀντιπαρεξάγων τῷ ἀγαθῷ καὶ μόνῳ Θεῷ, καὶ πολὺ μέρος οὕτω τῆς δυνάμεώς τε καὶ ἀγαθότητος τοῦ ἀκροτάτου ὄντος ὑποτεμνόμενος. Ἤτοι γὰρ οὐ δύναται ἀγαθὸς ὢν τὴν ἐκείνου μοχθηρίαν κολοῦσαι, καὶ οὐδὲ παντοδύναμος ἔσται, ἢ δυνάμενος οὐ βούλεται, καὶ οὐδ' αὐτάγαθος, ὧν τί ἄν τις ἔχοι νοεῖν ἢ λέγειν περὶ Θεοῦ βλασφημότερον;

## Θεώρημα ΡϞΘ΄.

§. υνβ΄. „ Τὸ αὐτάγαθον οὐδενὶ ἂν εἴη κακὸν σχετικῶς.

Ἐκεῖνο γὰρ σχετικῶς ἀγαθὸν τοῖς πᾶσιν ἐστὶν, ( §. υμή. ) ὑφ' οὗ κατὰ μετοχὴν ἅπαντα ἀγαθύνεται. ( §. υμγ΄. ) Σχετικῶς δὲ κακὸν, τὸ τοῖς ἄλλοις τοῦ ἐκστῆναι τῆς ἀγαθότητος γινό-

(1) Ὅρα Πλούταρχ. Ἐν τοῖς περὶ Ἴσιδος, καὶ Ὀσίριδος.
(2) Ὅρα Ἐπιφάν. Κύπρου Βιβλίῳ β΄. Αἱρέσ. μϛ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γινόμενον αἴτιον. (§. υμς΄.) Ταὐτὸν εἰπεῖν, ᾧ τ' ἄλλα κακοῦται. Ἄρα, κτ.

## Σχόλιον.

§. υνγ΄. „ Πῶς ἂν μὴ εἶναι κακίαν ἐν τῇ πόλει, ἣν „ ὁ Κύριος οὐκ ἐποίησε τὸ προφητικὸν φησὶ λόγιον; (1) Ἀλλὰ κακίαν ἐνταῦθα πλατύτερον, τὴν ἐν δίκῃ τοῖς πονηροῖς προσεπιβαλλομένην ποινὴν οἶδεν ὁ λόγος· ἡ δὲ κυρίως εἰπεῖν κακία οὐκ ἔστι, μᾶλλον δὲ ἀγαθότης, ὅτι πλεῖστον εἰς τὴν τοῦ ὅλου συμβάλλουσα τελειότητα. „ Οὕτω γὰρ καὶ „ οἱ Ἄγγελοι τῷ κολάζειν τοὺς ἁμαρτάνοντας εἰσὶ κακοί· „ τούτῳ γοῦν τῷ λόγῳ καὶ οἱ σωφρονισταὶ τῶν πλημμελούντων „ κακοὶ, καὶ τῶν ἱερέων οἱ τὸν βέβηλον τῶν θείων μυστη- „ ρίων ἀπείργοντες. Καί τοι οὐδὲ τὸ κολάζεσθαι κακὸν, ἀλ- „ λὰ τὸ ἄξιον γενέσθαι κολάσεως· οὐδὲ τὸ κατ' ἀξίαν ἀπείρ- „ γεσθαι τῶν ἱερῶν, ἀλλὰ τὸ ἐναγῆ καὶ ἀνίερον γενέσθαι, καὶ „ τῶν ἀχράντων ἀνεπιτήδειον. (2) Τοῦ τοίνυν ἀγαθοῦ ἂν „ εἴη, τὸ καὶ ἐκ τῶν δοκούντων ἐναντίων ἀγαθύνειν τὰ ὄντα, ἐπὶ τὸ κρεῖττον μετάγοντα, κακοῦν δὲ ἀλλότριον, καὶ μᾶλλον ἢ τοῦ πυρὸς τὸ ψύχειν, καὶ τοῦ φωτὸς τὸ ἐπισκοτεῖν. „ Θέ- „ μις γὰρ οὔτ' ἦν, οὔτε ἔστι τῷ ἀρίστῳ δρᾶν ἄλλο, πλὴν τὸ „ κάλλιστον. (3) Διὸ καὶ Ἰάμβλιχος (4) καὶ Πρόκλος (5) καὶ Χρύσιππος (6) καὶ οἱ ἐκ τῆς Ἀκαδημίας ἅπαντες, τοὺς ὑπειληφότας τῶν θεῶν τοὺς μὲν ἀγαθοποιοὺς εἶναι, τοὺς δὲ κακοποιοὺς, δικαιοτάτοις ἐλέγχοις καθυποβάλλουσι. Καὶ γάρ τοι (7) „ Εἰ θεοί τι δρῶσιν αἰσχρὸν, οὐκ εἰσὶ θεοί.

Θεώ-

---

(1) Ἀμὼς Κεφ. γ΄.
(2) Διονύσ. Ἀρεοπαγ. περὶ Θείων Ὀνομ. Κεφ. δ΄.
(3) Πλούταρχ. Περὶ Εἱμαρμ.
(4) Περὶ τῶν κατ' Αἰγυπτ. Μυστηρ. Τμῆμ. ά. Κεφ. ιή.
(5) Εἰς τὴν Πλάτων. Θεολόγ. Βιβλ. ά. Κεφ. ιέ. ιζ΄. ιθ΄.
(6) Παρὰ Πλουτάρχ. Ἐν τῷ περὶ Στωϊκ. Ἐναντιωμ.
(7) Εὐριπίδ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα Σ΄.

§. υνδ΄. „ Μεταφυσικῶς ἅπαν ὂν ἐστὶ καὶ ἀγαθόν.
Μεταφυσικῶς γὰρ ἅπαν ὂν τέλειον. ( §. υλέ. ) Ἡ δὲ τέλειον, καὶ ἀγαθόν. ( §. υμβ΄. )

## Θεώρημα ΣΑ΄.

§. υνέ. „ Τῆς φυσικῆς ἀγαθότητος πολλὰ ἐστὶν ἐν μέ-
„ ρει ἐκπίπτοντα.

Ταύτηγε ἥπερ οὐδὲ τῶν φύσει προσηκουσῶν αὐτοῖς δυνάμεων ἕκαστα ἀνελλιπῶς ἀεὶ εὐμοιρεῖ, ὑφ᾽ ὧν αὐτοῖς ἡ φυσικὴ λεγομένη τελειότης προσεπαθροίζεται. ( §. υμδ΄. ) Ἡ γὰρ τυχοῦσα καὶ πᾶν εἶδος τελειότητος παρεκτροπὴ, τῆς ὁμοειδοῦς ἀγαθότητος ἀπόπτωσις κρίνεται. ( §. υμβ΄. υμϛ΄ )

## Σχόλιον.

§. υνϛ΄. Προσεκτέον δὲ τὰ τοιαῦτα μὴ φύσει ὀνομάζειν κακὰ, διὰ τὸ οὐσιώδη τινὰ κακίαν ὑπεμφαίνειν αὖ τῆς φύσεως τὸ ἐπώνυμον, ὥσπερ ἄλλοις τε πολλοῖς, καὶ τῷ θεσπεσίῳ Διονυσίῳ παρείληπται. (1) Ἣν δήπερ οὐσιώδη κακίαν, καὶ μεταφυσικὴν, ἀνυπόστατον, καὶ πάντη μηδὲν φθάντες ἐδείξαμεν. ( §. υν΄. υνά. καὶ υνδ΄. )

## Θεώρημα ΣΒ΄.

§. υνζ΄. „ Τῶν ἀγαθῶν τὰ ἠθικὰ τῆς ἐφ᾽ ἑκάτερα ῥέ-
„ πειν πεφυκυίας δυνάμεως εἰσὶν ἴδια. Ὡσαύτως δὲ καὶ τὰ
„ ἀντιδιαστελλόμενα τούτων κακά.

Κοι-

(1) Ἐν ὅλῳ τῷ Δ΄. Κεφ. τοῦ περὶ Θείων Ὀνομ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κεῖται γὰρ τὰ μὲν ἐν τῇ καθ' ἕξιν, ἢ ὁποίανδηποτῶν νεῦσιν τῆς ψυχῆς ἑτοιμοτάτη τοῦ ἐλέσθαι καὶ πρᾶξαι τὰ τῷ ὀρθῷ λόγῳ συνᾴδοντα, ( §. υμδ'. ) τὰ δὲ τοὐναντίον. ( §. υμς'. ) Ἡ δὲ δὴ αἵρεσις τῆς δύω τινῶν ἑκάτερον ἐν μέρει ἐλέσθαι ἐχούσης ἐστὶ δυνάμεως. ( ἐξ ὑποθ. ) Ἄρα, κτ. Ὅπερ ἦν τὸ Α'. καὶ τὸ Β'.

## Πορίσματα.

§. υνή. Α'. Διὸ καὶ τὰ ἄλλα παρὰ τὸν ἄνθρωπον, προαιρετικῆς δυνάμεως ἀμοιρήσαντα, ἀρετῆς καὶ κακίας τῆς κατ' ἦθος ἀνεπίδεκτα κρίνεται.

Β'. Οἵτε τὴν Εἱμαρμένην εἰσάγοντες, σὺν αὐτῇ τῇ κατὰ προαίρεσιν αὐτεξουσιότητι, καὶ τῶν ἀγαθῶν καὶ κακῶν τὰ ἠθικὰ συναποσκευάζουσιν.

## Θεώρημα ΣΓ'.

§. υνθ'. „ Νόμου δὲ ἄνευ, τὰ κατ' ἦθος ἀγαθὰ καὶ κα„ κὰ πάμπαν ἀσύστατα.

Τὰ μὲν γὰρ ἡ πρὸς τὸν ὀρθὸν λόγον συμφωνία ( §. υμδ'. ) τὰ δὲ, ἡ ἀπὸ αὐτοῦ τούτου παρεκτροπή τε, καὶ ἀπολίσθησις ( §. υμς'. ) συνίστησιν. Νόμος δὲ ὁ ὀρθὸς λόγος ἐστὶν, ὁ φύσει, ἢ θέσει ἡμῖν ὑπαγορευόμενος. ( ἐξ ὑποθ. ) Ἄρα, κτ.

## Πορίσματα.

§. υξ'. Α'. Καὶ νόμος ἄρα οὐ κεῖται, οἷς οὐκ ἔστι προαίρεσις.

Β'. Οἵτε τὴν Εἱμαρμένην εἰσάγοντες, καὶ τοὺς νόμους αὐτοὺς περιττοὺς ἀποφαίνουσιν.

Σχό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Σχόλιον.

§. υξα΄. Διὸ καὶ τοὺς Ἐπικουρίους εὕροις ἂν κατὰ λόγον τῆς ἀλογίας συῤῥάπτοντας. Ἐκείνοις γὰρ ἀθέμιτον ἦν οὐδέν, ἐπεὶ οὐδὲ θέμις. Καὶ πάντα νόμον, καὶ αὐτὸν τὸν ἐν πλαξὶ καρδίας ἀχάρακτον, ἀπαλεῖψαι βιασάμενος, ἀκόλουθον ἦν οὐδὲν ἡγεῖσθαι οὐδ' ἄνομον. Προαποκεῖσθαι γὰρ ἐπάναγκες ἐπὶ τῶν ἠθῶν, γνώμονα οἱονεί τινα, καὶ κανόνα, ᾧ προσευθύνοιτο· ὥστε καὶ ὅ τινες τῶν παρὰ Λατίνοις θεολογούντων, φασὶ „ τὰ μὲν εἶναι φαῦλα ὅτι ἀπηγόρευται, τὰ „ δ' ἀπηγορεῦσθαι ἅτε δὴ φαῦλα, καὶ τούτων οὐσιῶδη πως εἶναι τὴν πονηρίαν, εἰ μὴ τοιαῦτα λέγωσι τὰ τῷ νόμῳ τῷ φυσικῷ ἀντιστρατευόμενα τῷ πρεσβυτάτῳ, ἄτοπον ἅμα, καὶ γελοῖον τὸ λεγόμενον. „ Οὗ γὰρ οὐκ ἔστι νόμος, μηδὲ πα- „ ράβασιν εἶναι, (1) καὶ αὐτοὶ οἱ θεῖοι χρησμοὶ ἀπεφθέγξαντο.

## Θεώρημα ΣΔ΄.

§. υξβ΄. „ Παρὰ τὴν τῶν πλειόνων ἐπιπλοκήν, τῶν ἐπὶ „ μιᾷ καὶ τῇ αὐτῇ πράξει συνιόντων, τὸ μὲν ἀγαθὸν κα- „ τ' ἦθος, ἐκ τοῦ ὁλοκλήρου συναρτύεσθαι συμβαίνει, τὸ δὲ „ κακὸν καὶ ἐκ τοῦ μέρους.

Ἔστι γὰρ καὶ ὁ πράττων, καὶ τὰ περὶ ἅ, καὶ τὰ δι' ὧν, καὶ τὰ ἐξ ὧν, καὶ τὰ ἀνθ' ὧν, καὶ ὁ χρόνος καθ' ὅν, καὶ ὁ τόπος ἐν ᾧ, καὶ ἐπὶ πάντων τούτων ἐπιτάσεις τε καὶ ὑφέσεις, καὶ πολλὰ ἅττα ἐν ἑκάστῃ πράξει ἐπιθεωρεῖται, ὧν τὰ τε δέοντα καὶ τὰ μή, νόμου διαγορεύοντος, τὰ τῆς αἱρέσεως ἀπαιτεῖται. Ἤτοι γοῦν ἐπὶ τῆς οὕτως ἐχούσης πράξεως, καθ' ἑκάστην τῶν εἰρημένων περιστάσεων, συμφώνως τῷ ὀρθῷ λόγῳ βαίνει ἡ αἵρεσις, ἢ κατά τινα καὶ διαφωνεῖ. Ἀλλ' εἰ μὲν ἐκεῖνο, ἀγα-

(1) Παῦλος πρὸς Ῥωμ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀγαθὸν ἠθικῶς τὸ πραττόμενον. ( §. υμδ΄. ) Εἰ δὲ τοῦτο, ἅτε δὴ ἐν μέρει τοῦ ὀρθοῦ λόγου ἀπολισθαῖνον, κακόν. ( §. υμϛ΄. ) Ἄρα, κτ.

## Σχόλιον.

§. υξγ΄. „ Συνελόντι δὲ φάναι, τὸ ἀγαθὸν ἐκ τῆς „ μιᾶς, καὶ τῆς ὅλης αἰτίας· τὸ δὲ κακὸν ἐκ πολλῶν, καὶ „ μερικῶν ἐλλείψεων. (1) Τὸ μὲν γὰρ ἀγαθὸν ἐκ πολ„ λῶν οἷον ἀριθμὸν, εἰς ἕνα καιρὸν ἡκόντων, ὑπὸ συμ„ φωνίας τινὸς καὶ ἁρμονίας ἐπιτελεῖται· τὸ δὲ κακὸν ἐξ „ ἑνὸς ἀτόπως ἐλλείποντος, ἢ προσόντος, εὐθὺς ἑτοίμην „ ἔχει τὴν γένεσιν. (2)

# ΚΕΦΑΛΑΙΟΝ Ι΄.

## Περὶ Ἀληθείας, καὶ Τάξεως.

§. υξδ΄. Η δὲ ἀλήθεια ἀπόφασιν τινὰ λήθης τε, καὶ ἀπάτης ἐμφαίνουσα, ἐν αὐτῷ τῷ ὀνόματι, σχέσιν τινὸς ἀπαραίτητον ἐκφέρειν ἀεὶ δοκεῖ πρὸς τὸν νοῦν τὸν ἔξω τῆς λήθης, καὶ τῆς ἀπάτης γινόμενον· καὶ ἀντιστρόφως τοῦ νοῦ πρὸς ἐκεῖνο. Σχέσιν δὲ τὴν τῷ ὄντι βεβηκυῖαν, ὅπερ ἐστὶν, ἐν ἀκριβεῖ συνισταμένην τῇ συμφωνίᾳ καὶ ὁμοιότητι. Καθάπερ δὴ καὶ τὸ ψεῦδος τὴν ἀντίθετον, τὴν ἐρειδομένην τῇ διαφωνίᾳ, καὶ ἀνομοιότητι. Ἐπειδὴ δὲ Νοῦς ὁ μὲν παραίτιος ἂν εἴη τοῦ συχετικοῦ, ὁ δὲ μὴ, ἐκείνου δὲ μόνον ἀντιληπτικὸς, καὶ τὸ συχετικὸν δὲ, ἤτοι μόνον ἐν λόγοις ὑπὸ τοῦ νοῦ θεωροῖτο, ἢ καὶ ἐν πράγμασιν, ᾗ πέφυκεν, ἐντεῦθεν

(1) Διονυσ. Ἀρεοπαγ. Περὶ Θείων Ὀνομ. Κεφ. Δ΄.
(2) Πλούταρχ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεν τρία ἡμῖν τῆς ἀληθείας τὰ εἴδη ἀνακύπτοντα φέρεται· τῆς μὲν μεταφυσικῆς, τῆς δὲ λογικῆς, τῆς δὲ ἠθικῆς.

§. υξε΄. Ἐὰν γὰρ πρὸς Νοῦν τὸν ὑποστησάμενον, τὸ ὑφεστὼς ἀναχθὲν, συμφώνως πρὸς αὐτὸν ἐκεῖνον ἔχῃ τὸ εἶναι, μεταφυσικὴ ἔσται (ὡς ἀξιοῦσι καλεῖν) ἡ ἀλήθεια, καὶ τὸ κατ' αὐτὴν, μεταφυσικῶς ἀληθὲς, οἷα δὴ πάντα τὰ ὄντα, πρὸς τὸν τεχνίτην λόγον ἀκούει παραβαλλόμενα· πρὸς ὃ δὴ εἶδος ἀναλόγως ἂν ἔχοι, καὶ τὸ τῆς τεχνικῆς ἀληθείας, καθ' ἣν ἀληθὲς εἶναι λέγεται καὶ τὸ τεχνιτευθὲν, πρὸς τὸν τεχνησάμενον νοῦν διασῶζον ἀκριβῆ τὴν ἐμφέρειαν. Οὕτως ἀληθὴς ναῦς, καὶ οἶκος ἀληθὴς λέγεται, κατὰ σκοπὸν ἀποβάντα, τῷ ναυπηγήσαντι, καὶ οἰκοδομήσαντι. Ἐὰν δὲ πρὸς τὸν μηδαμῶς μὲν αἴτιον ἀναδειχθέντα, ἀντιλαβέσθαι δὲ ἐσπουδακότα νοῦν, τὸ ὂν ἀναφέρηται, μεταξὺ δὲ τοῦ νοῦ καὶ τοῦ νοητοῦ, ἀπαραποίητα ὡς οἷόν τε σώζηται τὰ τῆς συμφωνίας, λογικὴ ἡ ἀλήθεια, καὶ λογικῶς ἀληθὲς τὸ οὕτως ἀληθεῦον ἀκούσεται· οἷον τὸ τὸν ἄνθρωπον, φέρ' εἰπεῖν, κεκοσμῆσθαι λόγῳ, καὶ πλευρῶν τριῶν εὐμοιρεῖν τὸ τρίγωνον, καὶ τὰ παραπλήσια. Ἧς δήπου τάξεως, οὐδὲ τὰ κατ' ἀφαίρεσιν, οἷον τὸ ἐφ' ἓν, ἢ δίχῃ διαστατὸν, οὐδὲ τὰ κατ' ἐπίνοιαν, οἷον τὸν ἄνθρωπον ᾗ εἶδος, ἢ ὑποκείμενον, κ. ξ. ἐξοβελιστέον· τὰ μὲν γὰρ, κἂν ᾖ χωρὶς τῶν οἷς σύνεστι καθ' αὑτὰ θεωρούμενα, ἀλλὰ γνωρίσματα ἐστὶ τοῖς οὖσιν ἐνυπάρχοντα. Τὰ δὲ σχέσεις τινές εἰσιν, ἃς ὁ νοῦς τοῖς ἑαυτοῦ φιλεῖ ἐπιλογίζεσθαι ἐννοήμασι, διὸ εἰκότως καὶ τούτοις τὸ τῆς λογικῆς ἀληθείας ἐπιφημίζεται. Ἐὰν δὲ τελευταῖον τῶν ἐνεργημάτων τῆς ψυχῆς αἱ φωναὶ πισταὶ γινόμεναι ὑπηρέτιδες, σύμφωνα ταῖς ἐννοίαις ἐξαγγέλλωσι τὰ λεγόμενα, ἐν ὁλοτελεῖ καὶ ἀδιστάκτῳ πληροφορίᾳ τοῦ λέγοντος, κἂν ἄλλως τῶν πραγμάτων αὐτὸν ἀπᾴδειν λανθάνοι ἐν οἷς ἂν λέγοι, ἠθικὴ εἰρήσεται ἡ ἀλήθεια. Ὁ δὲ καίτοι ψευσάμενος, ὅτι γεμὴν ἄκων τουτὶ πεπόνθοι, ψεύστης οὐκ ἐν δίκῃ ὀνομασθήσεται.

§. υξϛ΄. Τοσαυταχῶς δὲ καὶ τὸ ψεῦδος ῥηθήσεται. Καὶ μεταφυσικῶς μὲν ἂν εἴη, ἢ τεχνικῶς, εἰ μὴ τὸ γεγονὸς σύμφωνον ᾖ, τῷ τοῦ ὑποστησαμένου, ἢ τεκτηναμένου νοήματι· λογικῶς δὲ εἰ μὴ οἰκείως ἔχῃ τοῖς ἐννοήμασι τὰ νοούμενα· ἠθικῶς δὲ, εἰ μὴ αἱ φωναὶ ταῖς ἐννοίαις συμβαίνωσιν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΣΕ΄.

§. υξζ΄. „ Ἅπαν ὂν μεταφυσικῶς ἐστὶν ἀληθὲς, οὐδὲν „ δὲ ὅπως ἐστὶ ψευδές.

Εἰ μὴ γὰρ, ἀλλ' ἔστι τι καὶ ὅπω ψευδὲς, οὐκ ἄρα καθ' γνώμην τὰ πάντα, ἀλλ' ἔστι καί τι, ὃ παρὰ γνώμην ἀπέβη τῷ δημιουργήσαντι. ( §. υξς΄. ) Τὸ δὲ τοῦ πανσθενοῦς πλείστην ὅσην κατηγορεῖν τὴν ἀσθένειαν, τίς οὐ συνορᾷ; Ἄρα, κτ.

## Σχόλιον.

§. υξη΄. Τοὺς ἐκ ταυτομάτου ὑποστῆναι τὰ ὄντα, καὶ εἰκῇ καὶ ἀπρονοήτως ἕκαστα φέρεσθαι δογματίσαντας, μόνους ἂν εὕροις ἀπομαχομένους τῷ δόγματι. Ἀλλ' ἐρρέτωσαν ἡμῖν ἤδη Δημόκριτοι, καὶ Ἐπίκουροι, καὶ τῶν λοιπῶν ἀθέων τὸ σῖφος· ὧν ἐν ἄλλοις ὑπερτεθείσθω ἀπελεγχθησομένη ἡ ἄνοια. Οὐδὲν δὲ πρὸς τὸ Θεώρημα οὐδὲ τὸ φρόνημα τὸ τοῦ Πλάτωνος, τοῦ τὸν μὲν ἀκρότατον θεὸν οὐδαμῶς, τοὺς δὲ ἐλάσσονας θεοὺς εἰσῆγε, δημιουργούς τε καὶ συνοχεῖς τοῦ παντὸς ὑποστησαμένου (1). Τὸ μὲν, ὅτι τοῦτο μόνης τῆς ἀπείρου ἂν εἴη δυνάμεως ἐκείνου, τὸ τοῖς οὖσι τὸ εἶναι παρασχεῖν, ( §. σξα΄. σξβ΄. ) καὶ παρασχοῦσαν διασώζειν· τὸ δὲ, ὅτι καὶ Πλάτων αὐτὸς τοὺς δευτέρους θεοὺς, ἐξ αὐτοῦ τοῦ πρώτου εἰληφότας τὰ παραδείγματα, κἀκείνου τοῖς νεύμασι καὶ τοῖς θεσμοῖς πειθαρχοῦντας, τὰ ὄντα διακοσμεῖν ὑποτίθησιν. Αὐτὰ δὴ ταῦτα ἀπαντητέον, καὶ πρὸς τοὺς τὰ νοερὰ εἴδη, κοσμήτορας οἱονεὶ τῶν ὑπὸ σελήνην καθιστῶντας. Τί δ' ἂν εἴποιμεν πρὸς τοὺς τὰς συμβαινούσας ὁσῶραι τῇ φύσει μεταβολὰς, καὶ φθορὰς, καὶ τὰς ἐν τοῖς τέρασι διαμαρτίας οἷον τῆς φύσεως προβαλλομένους, καὶ τούτων τὸ, πρὸς τὰς ἀσέπτους, καὶ ἀσφαλεῖς, καὶ ἐς ἀεὶ ἀραρείας τοῦ τεχνίτου λόγου νοήσεις, ἀσύμφωνον

---

(1) Ἐν Τιμαίῳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φωνον ἐν κάκῃ τιθεμένους καὶ ἐκφαυλίζοντας; ἢ ὅτι καὶ τύπον εἰς τὴν ἀπαιτουμένην τῷ παντὶ διαρμοσίαν καὶ τάξιν συντελεσῶν, ἐν τῷ ἀρχετύπῳ κόσμῳ ἀμεταθέτως οἱ ὅροι πεπήγασι, καὶ θεσμοῖς ἀϊδίοις ἕκαστα πειθαρχεῖ, τὰ ἐν χρόνοις τεταγμένοις ἐκβαίνοντα. Εἰ δέ τις καὶ τὰς κατὰ προαίρεσιν ἐκτροπὰς ἡμῖν ὑποκρούσειεν, ἐννοείτω δὴ, ὡς οὐδὲ ὄντα αὗται εἰσὶν, εἰ μηδὲ ἀγαθὰ ὅλως, ( §. υνά. ) καὶ οὐδὲ τῆς τοῦ ὄντων ἀληθείας εἰσὶ δεκτικά. ( §. υξζ'. ) Τὸ γέμειν τὴν αἱρουμένην δύναμιν ἐλευθέρως τε καὶ ἀπαραβιάστως, περὶ τὰ ἐναντία στρέφεσθαι ἔχειν, καὶ κατὰ τὸ δοκοῦν, πρὸς ὁπότερον ῥέπειν, τῇ φύσει τῇ ἀνθρωπίνῃ τελειότητα ταύτην τυγχάνειν μάλιστα διαφέρουσαν, ὡς ἀγαθόν τε ὄν, καὶ ὑπὸ τοῦ ἀγαθοποιοῦ οὕτω Δημιουργοῦ ὁροθετηθὲν, τῆς μεμεταφυσικῆς καὶ τοῦτο ἀληθείας οἷα δὴ καὶ πάντα τὰ ὄντα μέτοχον κεῖνται.

## Θεώρημα Σϛ'.

§. υξθ'. „ Ἐνδεχόμενον εἶναι καί τινα τὰ κατὰ τέχνην „ μηδαμῶς ἀληθεύοντα.

Ὅτι καὶ τοῦ κατὰ τὴν τέχνην ὀρθοῦ λόγου ἐνδέχεται ἀπᾴδειν τὰ τεχνουργούμενα, ταῦτα δέ τοι τεχνικῶς ψευδόμενα εἶναι λέλεκται. ( §. υξϛ'. ) Ἀληθεύει γὰρ τὸ πρὸς τὸν ἐπιτεχνησάμενον νοῦν διασῶζον τὴν κατ' ἰδέαν ἐμφέρειαν. ( §. υξέ. ) Ἄρα κτ.

## Θεώρημα ΣΖ'.

§. υό. „ Πολλὰ δὲ καὶ λογικῶς εἰσὶν ἀληθεύοντα, πολ„ λὰ δὲ καὶ οὐχί.

Πολλὰ γὰρ τοῦ νοητοῦ, ταῖς κατὰ νοῦν ἐπιβολαῖς συνᾴδοντα ἐστί· πολλὰ δὲ καὶ τούτων ἀπᾴδοντα. Τὰ μὲν οὖν λογικῶς ἀληθῆ, ( §. υξέ.) τὰ δ' οὕτω ψευδῆ. ( §. υξϛ'.) Ἄρα τὸ Α'. καὶ τὸ Β'.

Σχό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Σχόλιον.

§. υοά. Τίς γὰρ ἂν ἐπιεικῶς ἀμφισβητήσειε ποτὲ περὶ ἑαυτοῦ, εἰ ὑπάρχει, εἰ νοεῖ, καὶ περὶ τῶν ἐκτὸς αὐτοῦ σωμάτων, εἰ ταῦτα ὑφέστηκε, καὶ τὰ παραπλήσια; Τοὺς γὰρ παρὰ τοῖς Ὑβερνοῖς Ἰδεΐτας ἐκείνους, (1) οὓς συμφαντιᾷν αὐτῶν ἀνέπεισεν ὁ θαυμαστὸς Μαλεβράγχιος (2) τοὺς μηδὲν παρὰ τὸν νοῦν, καὶ τὰς ἐν αὐτῷ ἰδέας ἀποδεχομένους ἕτερον· πρὸς δὲ δὴ τούτοις καὶ τὸν τῆς Γαλλικῆς αἱρέσεως ἐξάρχοντα, (3) σὺν αὐτῷ αὐτοῦ τῷ ξένῳ θεσμῷ, τοῦ περὶ ὁτουοῦν ἁπλῶς ἅπαξ γοῦν δεῖν ἐνδοιάζειν, εἰς Κυνόσαργες ἀποπέμψομεν. Οὐ γὰρ μόνον ἡμᾶς τε εἶναι ἀνενδοιάστως ἴσμεν, καὶ τὰ περὶ ἡμᾶς ἅπαντα ὅσα δήποτε κινεῖν ἔλαχεν αἴσθησιν (ἵνα μηδὲν εἴπω περὶ τῶν κρειττόνων, εἰς ἅττα ἐξ ἀποκαλύψεως πιστεύομεν, καὶ ἐκ τῆς καλλονῆς τῶν ὁρωμένων εἰσβάλλομεν.) ἀλλὰ καὶ τούτων σχέσεις παντοίας, ἃς πρός τε ἄλληλα αὐτὰ, καὶ πρὸς ἡμᾶς ἔχει ἐπιγιγνώσκομεν (4)· οἷον ὅτι ἄλλα ἄλλων, καὶ ἡμῶν αὐτῶν, ἤτοι μείζονα, ἢ ἐλάσσονα, ἢ ἐγγυτέρω, ἢ ἀπωτέρω· καὶ τὰ μὲν μᾶλλον ὀνησιφόρα, τὰ δ' ἧττον, καὶ τὰ μὲν πλειόνων διμοιροῦντα τελειοτήτων, τὰ δ' ἐλασσόνων· ἐπιβάλλομεν δὲ καὶ τῶν ὄντων πολλαῖς ἰδιότησιν, ἐκτάσεις τὰς αὐτῶν διακρίνοντες, καὶ κινήσεις, καὶ ἠρεμίας, καὶ σχήματα, καὶ τὰ τούτοις ἐοικότα. Δῆλον δὲ πολλαχῇ τε ἄλλῃ, καὶ ὅτι οὐδὲ ἓν, ἀλλὰ πολλά· καὶ οὐδὲ ταὐτὰ, ἕτερα δέ. Καὶ οὐδ' ἀκριβῶς ἐμφερῆ, πολὺ δὲ πρὸς ἄλληλα τὸ ἀνόμοιον ἔχοντα κρίνομεν· ἀλλὰ καὶ οὕτως ἔμπης περὶ τούτων ὑπολαμβάνοντες, πάνυ πολλὰ τῶν ἐν τοῖς οὖσι κρείττω ἢ ὥστε ἡμῖν εἶναι ληπτὰ ὁμολογοῦμεν. Καὶ τοὺς τὰ ἐκ διαμέτρου νενοσηκότας δογματιστὰς (εἴτινες καὶ γεγόνασι.) τοὺς

οὐδὲν

(1) Ἐν τοῖς κατὰ τὸ Δουβλῖνον ἐκδοθεῖσι Διαλόγοις.
(2) Ὅρα Οὐόλφιον ἐν ψυχολογ. λογικῇ.
(3) Καρτέσιος.
(4) Ὅρα Γενουένσ. Μεταφ. Μέρ. ά. Προτ. ρ. ρά. ρβ'. ργ'. ρδ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὐδὲν ὅλως ἀμφισβητήσιμον, ὐδ' ἀπεραινόντων σφίσιν αὐτοῖς εἶναι κομπάζοντας, τῷ ἴσῳ λόγῳ ἀποξεπόμεθα. Καὶ ἑκατέρου δὲ τοῦ κόμματος τ' ἀνθρώπια τὰ μὲν ἀνοίας, τὰ δ' ἀπονοίας ὄντα μεςὰ, καὶ τὰ μὲν κέντρε, τὰ δὲ χαλινοῦ δεόμενα, διαπτύομεν.

## Θεώρημα ΣΗ'.

§. υοβ'. „Λογικὸν ψεῦδος ἐν ἁπλαῖς νὲ ἐπιβολαῖς ὐ„δὲν ἂν εἴη.

Τὸ γὰρ λογικὸν ψεῦδος ἐν ἀσυμφωνίᾳ κεῖται τὲ νοήματος, καὶ τὲ νοεμένε. (§. υξς'.) Ἀλλ' ὐδὲν καθ' ἁπλῆν νὲ ἐπιβολὴν ἐννόημα, ἀσύμφωνον ἂν εἴη ποτὲ τῷ νοεμένῳ. Αὐτὲ γὰρ θίγει ὁ νὲς τὲ νοητὲ, καὶ ὐκ ἄλλε, καὶ τὲτο πως αὐτὸ ἐνεργείᾳ γίνεται, ὡς ἐν τοῖς περὶ ψυχῆς λόγοις δείκνυται. Ἄρα, κτ.

## Σχόλιον.

§. υογ'. Διὸ καὶ Ἀριςοτέλης περὶ τὰ ἁπλᾶ „μὴ ἐξεῖναι „λέγει ἀπατηθῆναι ὅλως, ἢ ψεύδεσθαι· ἐπὶ τέτων γὰρ τὸ „μὲν θίγειν, καὶ φᾶναι ἀληθές. (ὐ γὰρ ταὐτὸ κατάφα„σις, καὶ φάσις.) Τὸ δὲ ἀγνοεῖν, μὴ θιγγάνειν. (1) Τὰ περὶ τέτε καὶ αὐτοὶ ἐς πλάτος, ἐν τοῖς εἰς τὴν Λογικὴν τείνεσι ζητήμασιν ἐπραγματευσάμεθα.

## Περὶ Τάξεως.

§. υοδ'. Η πλειόνων τινῶν κατὰ διαμονὴν, ἢ διαδοχὴν θεω-

(1) Ἀρις. Μεταφ. Θ'. Κεφ. ι'. Καὶ περὶ ψυχῆς Βιβλ. γ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεωρουμένων, σειρά τε καὶ ἀλληλουχία, ἐν ὁμοιότητί τινι συμπροϊόντων, τάξις ἤκουσεν, ἡ δὲ ἐν ἀνομοιότητι, ἀταξία. Δεῖ τοίνυν πολλά τε εἶναι οἷς ἡ τάξις ἐνεπιφαίνεται, καὶ ταῦτα πῆ μὲν διαφέροντα, πῆ δὲ καὶ ὁμοίως πρὸς ἄλληλα ἔχοντα· τὸ δὲ, καθ᾽ ὃ τὰ διαφέροντά πη, ὁμοίως ἔχει, κανὼν τῆς τάξεως, εἴωθε λέγεσθαι. Καὶ ἑνὸς μὲν παρόντος κανόνος ἁπλουστέρα ἡ τάξις, πλειόνων δὲ, μᾶλλον σύνθετος.

## Θεώρημα ΣΘ΄.

§. υοε΄. „ Οὐκ ἐπὶ πάντων οἷς ἔνεστιν ἡ τάξις καταφα„ νής.

Οὐδὲ γὰρ ὁ κανὼν, καθ᾽ ὃν τὰ ὄντα ὁμοίως ἔχειν, ἀεὶ σαφὴς, πολλῶν ἀγνοουμένων. ( §. υοβ΄. ) Ἐν τούτοις δὲ τὰ τῆς τάξεως σώζεται. ( §. υοδ΄. ) Ἄρα, κτ.

## Σχόλιον.

§. υοϛ΄. Οὕτω τοὺς τοῦ καλοῦ τῆς Γεωμετρείας ἀμοιρήσαντας, δι᾽ ἄγνοιαν τῆς ἀναλογίας ἡ τῶν σχημάτων πολλάκις λανθάνει τάξις. Καὶ ἡ τῶν ἀστέρων δὲ ἀπειροπληθὴς χορεία, ἀτάκτως ἔχειν τοῖς πολλοῖς κρίνεται, ὅτι ὁ κανὼν ᾧ στοιχοῦσιν ἠγνόηται. Καὶ τὸ τῆς παροιμίας δὲ, ὄνος πρὸς λύραν, προσεμπεδοῖ τὸ λεγόμενον.

## Θεώρημα ΣΙ΄.

§. υοζ΄. „ Ἐνδέχεται καὶ ἀτακτεῖν πως τὰ τάξιν ἔχοντα, καὶ ἀτάκτως ἐκκεῖσθαι τὰ ἀτακτοῦντα, ἄλλως καὶ ἄλ„ λως.

Ἐνδέχεται γὰρ τῇ μὲν ὁμοίως, τῇ δ᾽ ἀνομοίως ἔχειν πρὸς ἄλληλα. Ἄρα ( §. υοδ΄. ) κτ.

Θεώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΣΙΑ'.

§. υοή. „ Ἀκριβεστέρα δὲ τάξις, ἡ μᾶλλον σύνθετος. Ἅτε δὴ πλείοσι στοιχοῦσα κανόσιν. ( §. υοδ'. )

## Θεώρημα ΣΙΒ'.

§. υοθ'. „ Ἄκρατος ἀταξία ἐπὶ τῶν ὑφεστώτων οὐκ ἔστι. Συνδεῖ γὰρ ἅπαντα, ἐν πολλοῖς κοινωνοῦντα, πρὸς ἄλληλα, εἰς τὴν τοῦ ὅλου διακόσμου συμπλήρωσιν, περὶ οὗ ἑξῆς.

## Τέλος τῆς Ὀντολογίας.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΠΟΥΡΓΕΙΟΝ ΠΟΛΙΤΙΣΜΟΥ ΚΑΙ ΕΠΙΣΤΗΜΩΝ
ΚΙΝΗΤΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

**ΗΜΕΡΟΜΗΝΙΑ ΕΠΙΣΤΡΟΦΗΣ**

ΥΠΟΥΡΓΕΙΟΝ ΠΟΛΙΤΙΣΜΟΥ & ΕΠ)ΜΩΝ ★ ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ ★ ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ (ΒΛ)ΚΗ ΒΕΡΟΙΑΣ

No 3

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

500
ΒΟ Βούλγαρης, Εὐγένιος.
ΣΤΟΙΧΕΙΑ ΤΗΣ ΜΕΤΑΦΥΣΙΚΗΣ
ἀριθ. χρ. 684

| Ἡμερομηνία ἐπιστροφῆς | ΟΝΟΜΑΤΕΠΩΝΥΜΟΝ |
|---|---|
| | |
| | |

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροια